This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Columbia University
in the City of New York

THE LIBRARIES

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google




# ΜΗΝΑΙΟΝ
## ΤΟΥ
# ΔΕΚΕΜΒΡΙΟΥ

ΠΕΡΙΕΧΟΝ
ΤΗΝ ΠΡΕΠΟΥΣΑΝ ΑΥΤῼ͂ ΑΠΑΣΑΝ

## ΑΚΟΛΟΥΘΙΑΝ

*Μετὰ καὶ τῆς ἀναγκαιοτέρας προσθήκης*

## ΤΟΥ ΤΥΠΙΚΟΥ.

*Νεωστὶ μετατυπωθὲν, καὶ ἐπιμελῶς διορθωθέν.*

ΕΝΕΤΙΗΣΙΝ.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1820.

Digitized by Google




Digitized by Google



# ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

Ἔχων ἡμέρας, λα΄. Ἡ ἡμέρα ἔχει ὥρας, θ΄. καὶ ἡ νὺξ ὥρας, ιε΄.

Εἰς τὴν Πρώτην, Τοῦ Ἁγίου Προφήτου Ναούμ.

Ἑσπέρας. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος γ΄.

Μεγάλη τοῦ Σταυροῦ σου.

Ἡ Χάρις, τοῦ Ἁγίου Πνεύματος ἐσκήνωσεν, ἐν σοὶ Θεοῦ Προφῆτα, καὶ τῆς ἰδίας αἴγλης, ἀπειργάσατο, λαμπάδα περιφανεστάτην, καὶ διὰ σοῦ θεσπίζει, τὰ μέλλοντα, Νινευὶ τῇ μεγάλῃ.

Νεφέλη, φωτοβόλος ὤφθης ἀποστάζουσα, Ναοὺμ Θεοῦ Προφῆτα, θεογνωσίας ὄμβρον, καὶ ἐπότισας τὸ πόμα τῆς θεογνωσίας, Νινευΐτων τὴν Πόλιν, ἀσέβειαν, ὠδινήσασαν αὖθις.

Εὐκλείας, ἀκηράτου μέτοχος γενόμενος, Ναοὺμ Θεοῦ Προφῆτα, καὶ ἀπορρήτου δόξης, καὶ χαρᾶς τῆς ἀνεκφράστου, καὶ τρυφῆς ἐνθέου, ὑπὲρ ἡμῶν δυσώπει, Θεόπνευστε, τὸν τῶν ὅλων Δεσπότην.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μεγάλης διὰ σοῦ, εὐεργεσίας Ἄχραντε, τυχόντες σὺν Προφήταις, γεραίρομεν τὸν τόκον σου, τὸν καὶ καταξιώσαντα, ἐκ μήτρας σου τεχθῆναι, δι᾽ ἄκραν ἀγαθότητα (?) ... καὶ ἀναπλάσαντα, τῶν ἀνθρώπων τὸ γένος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσα, τὸν ἐκ σοῦ τεχθέντα Παναμώμητε, κρεμάμενον ἐν ξύλῳ, ἄπειρον πικρῶς ἐβόας· ποθεινότατόν μου Τέκνον, πῶς ἔδυ, τὸ τῆς μορφῆς σου κάλλος, ἐκὼν κρυβέν, τῇ σκιᾷ τοῦ θανάτου;

Εἰς τὸν στίχ. στιχηρὰ τῆς Ὀκτωήχου. Ἀπολυτ.

Τοῦ Προφήτου σου Ναοὺμ τὴν μνήμην, Κύριε ἑορτάζοντες, δι᾽ αὐτοῦ σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Προφήτου.

Οὗ ἡ ἀκροστιχίς.

Ναοὺμ τὸ λῆμμα συντόμως ἐπαινέσω.

Ὠδὴ α΄. Ἦχος Πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Ναοὺμ τὸ θεῖον λῆμμα, τῆς διανοίας σου, τῆς ἐνθέως ληφθείσης, ὑπὸ Θεοῦ Θεόληπτε, καὶ τούτου τῇ χάριτι, λαμπομένης χαίροντες, μακαρίζομεν ὦ Θεόπνευστε.

Ἄνωθεν ἐνηχοῦσα, Προφῆτα σοῦ τῇ ψυχῇ, ἡ τοῦ Πνεύματος χάρις, προφητικὴν ἐνέργειαν, ἀξίως ἐνέπνευσε, καὶ θεόπνευστον γλῶσσαν σοι, κατεσκεύασεν ἀξιάγαστε.

Ὄργανον ἀνεδείχθης, ἀνακρουόμενον, τῷ τοῦ Πνεύματος πλήκτρῳ, τὸν ζηλωτὴν Θεὸν ἀνυμνῶν, καὶ πᾶσι φθεγγόμενος, τῆς ἐνθέου κρίσεως, τὸν ἀδέκαστον παναοίδιμε.

Θεοτοκίον.

Ὑπερευλογημένη, Παρθένε Πανάγνε, τοὺς σὲ πίστει καὶ πόθῳ, οἷα Θεοῦ Μητέρα σεπτήν, ὑμνοῦντας διάσωσον, τῶν κινδύνων λύουσα, τὴν ἀτίθασσον ἀγριότητα.



Digitized by Google

ᾨδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Μετέσχες θεοποιοῦ τε καὶ θείου Πνεύματος, τὴν ψυχὴν ἐγένου φωτοειδέστατος· ὅθεν καὶ τὰ πόῤῥω φανερῶς πᾶσι προκαταγγέλλειν, ἐκ θειοτέρας ἐπιπνεύσεως, σὺ προεχειρίσθης Θεόπνευστε.

Τὸ κρίμα τῆς κατὰ τῶν ἐχθρῶν ἐκδικήσεως, προεώρας Μάκαρ Θεοπτικώτατε. τῶν καταφρονούντων δυσσεβῶν, θείας μακροθυμίας, καὶ ἀνοχῆς τε καὶ χρηστότητος, ἐξ ἀθεραπεύτου κακότητος.

Θεοτοκίον.

Ὁ πάλαι ἐξ οὐδενὸς, ποιήσας τὰ σύμπαντα, ἐκ τῆς σῆς ἁγίας, γαστρὸς προέρχεται, ἄνθρωπος γενόμενος Ἁγνὴ, ὑπὸ φιλανθρωπίας διαφερόντως ὁ φιλάνθρωπος, ἵνα τοὺς ἀνθρώπους λυτρώσηται.

Ὁ Εἱρμός. Ὁ πήξας ἐπ' οὐδενός.

Καθίσματα. Ἦχος Πλ. α'.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι.

Ἀμιγὴ χαρακτήρων τῶν κάτω Ἔνδοξε, σὺ τὸν νοῦν κεκτημένος, τοῦ θείου Πνεύματος, καθαρώτατον Ναοὺμ, δοχεῖον γέγονας, τὰς ἐλλάμψεις τὰς αὐτοῦ, εἰσδεχόμενος λαμπρῶς, καὶ πᾶσι διαπορθμεύων· διό σε ἐκδυσωποῦμεν, ὑπὲρ εἰρήνης τοῦ Κόσμου πρέσβευε. Θεοτοκίον. Ὅμοιον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄσπορος τόκος, ὁ τῆς γεννήσεως, ἐν σοὶ ἐγνωρίσθαι Ἁγνὴ Ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξίστησι τὸν λογισμὸν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Σταυροθεοτοκίον. Ὅμοιον.

Τῷ Σταυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε, τῶν Εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται. διὰ τοῦτο οἱ πιστοὶ πάντες ἀξίως, σε Κόρη ὑμνοῦμεν εὐσεβῶς, καὶ προσκυνοῦμεν εὐλαβῶς, καὶ πόθῳ σε δυσωποῦμεν, ὡς κυρίως Θεοῦ Μητέρα, καὶ προστασίαν τοῦ παντὸς ἀσφαλῆ.

ᾨδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.

Λαμπόμενος τῇ αἴγλῃ τοῦ Πνεύματος, Νινευϊτῶν τὴν ἀπειλὴν, τῆς ἐρημίας προήγγειλας, τῆς τοῦ Θεοῦ δυναστείας, προφαίνων θεοφάντορ τὴν ἄφυκτον.

Ἡ κρίσις ἡ δικαία τοῦ κτίσαντος, καταψηφίζεται δεινὴν, πανωλεθρίαν λαοῦ δυσμενοῦς, ὡς προφητεύων ἐφθέγξω, Ναοὺμ Θεοῦ Προφῆτα Πανόλβιε.

Μετεώρῳ κοσμουμένη φρονήματι, ἡ τοῦ Προφήτου σου ψυχὴ, πρὸς θεοπτείαν τὴν σὴν ἀγαθὲ, ὑπερφυῶς ἀνηνέχθη, καὶ θείας θεωρίας λαμπρότητα. Δόξα.

Μαρία ἡ Κυρία τῆς Κτίσεως, ὡς Βασιλέα τοῦ παντὸς, τεκοῦσα μόνη Παναμώμητε, τῆς τῶν παθῶν τυραννίδος, ἐλεύθερον με δεῖξον πρεσβείαις σου.

ᾨδὴ ε'. Ὁ ἀναβαλλόμενος φῶς.

Ἄμωμον καὶ ἄληπτον, βίον κτησάμενος, τῆς ἐνεργείας, καὶ φωταυγείας τοῦ Ἁγίου Πνεύματος, Ναοὺμ ἠξιώθης, Προφῆτα θαυμαστότατε.

Σάρκα καθυπέταξας, τῷ αὐτοκράτορι, νοῒ προθύμως, τὰς ἀναβάσεις ἐν καρδίᾳ θέμενος· ὅθεν ἐμφανείας, θεοπρεποῦς ἐπέτυχες.

Ὑπὲρ τὰ ὁρώμενα, τὰ προτερήματα, τῶν προφητείᾳ τετιμημένων. δι' αὐτῶν γὰρ φθέγγεται, τὸ Ἅγιον Πνεῦμα, τὸ ἀγαθὸν Κύριον. Θεοτοκίον.

Νοῦς οὐδὲ οὐράνιος, ὄντως δυνήσεται, σὲ Θεοτόκε ὑμνῶν ἀξίως. τὸν γὰρ Κτίστην τέτοκας, τὸν ταῖς οὐρανίαις, ὑμνούμενον δυνάμεσιν.

ᾨδὴ ς'. Μαινομένην κλύδωνι.

Ναὸν τῆς θείας χάριτος, πεφηνότα, τέμενος πιστοὶ, καὶ δοχεῖον ἄχραντον γενόμενον, τῆς ὑπὲρ νοῦν, θεοφανείας ὑμνήσωμεν.

Ὁ τοῦ θείου Πνεύματος, δεδεγμένος, ἄδυτον αὐγὴν, καὶ τὸν νοῦν θειότερον κτησάμενος, τοὺς εὐσεβεῖς, πρὸς ὑμνῳδίαν προτρέπεται. Θεοτοκίον.

Νοεραὶ δυνάμεις σε, καὶ ἀνθρώπων, πᾶσαι γενεαὶ, ὡς Θεὸν γεννήσασαν δοξάζουσι, διαπαντὸς εὐλογημένη Παναμώμε.

Ὁ Εἱρμός. Μαινομένην κλύδωνι.

Μὴν Δεκέμβριος, ἔχων ἡμέρας τριάκοντα μίαν. ἡ ἡμέρα ἔχει ὥρας ἐννέα, καὶ ἡ νὺξ ὥρας δεκαπέντε.

Εἰς τὴν πρώτην, Μνήμη τοῦ Ἁγίου Προφήτου Ναούμ.

Στίχ.

Digitized by Google

Στ. Ναοὺμ τὸν Ἐλκεσαῖον ἐκπεπρακότα,
Ἔχει πόθος με, σμυρνῆσαι σμύρνῃ Λόγε.
Πρώτῃ ἐκ βιότοιο Δεκεμβ. ᾤχετο Ναούμ.

Ὃς λέγεται παράκλησις ἐγὼ πᾶσιν, ἢ φρόνημα, ἢ ὑπόληψις. Οὗτος ἦν ἀπὸ Ἐλκεσὲμ, πέραν εἰς Βαταρεὶμ, ἐκ φυλῆς Συμεών. ὃς καὶ μετὰ τὸν Ἰωνᾶν τῇ Νινευῒ τέρας ἔδωκεν, ὅτι ὑπὸ ὑδάτων γλυκέων, καὶ πυρὸς ὑπογείου ἀπολεῖται. ὃ καὶ γέγονεν. ἡ γὰρ περὶ αὐτὴν Λίμνη κατέκλυσεν αὐτὴν ἐν συσσεισμῷ. καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν, τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. Ἀπέθανε δὲ ἐν εἰρήνῃ, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Φιλαρέτου τοῦ Ἐλεήμονος.

Στ. Θνήσκεις ὁ πᾶσαν ἀρετὴν φερωνύμως,
Πάτερ φιλήσας τήν γε μὴν οἶκτον πλέον.

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης, τῆς Παφλαγόνων χώρας ὁρμώμενος, υἱὸς Γεωργίου καὶ Ἄννης, παρ' ὧν καὶ εἰς γάμου κοινωνίαν γυναικί τινι σεμνῇ ἐξεδόθη. Τῇ γεωργίᾳ δὲ σχολάζων, κἀκεῖθεν τὰς εἰς ζωὴν ἀφορμὰς κτώμενος, πολὺς ἦν ῥέων τὴν ἐλεημοσύνην. Ὅθεν εἰς τοσαύτην πενίαν κατήντησεν, ὥστε στερεῖσθαι καὶ τῆς ἀναγκαίας τροφῆς. Ἀλλ' ὁ Θεὸς οὐ παρεῖδεν αὐτὸν εἰς τέλος κατατρύχεσθαι τῇ ἐνδείᾳ. Τὴν γὰρ ἐγγόνην αὐτοῦ Μαρίαν, πάσης εὐπρεπείας οὖσαν ἀνάπλεων, τὸν τῆς Βασιλίσσης υἱὸν Κωνσταντῖνον, ἀγαγέσθαι εἰς γυναῖκα ᾠκονόμησε, καὶ αὐτὸν τῇ τοῦ Ὑπάτου ἀξίᾳ τιμηθῆναι, καὶ πολλῶν χρημάτων κύριον γενέσθαι, ἃ τοῖς πένησιν ἀφθόνως παρεῖχεν. Ἐπειδὴ δὲ ὁ καιρὸς τῆς πρὸς Χριστὸν ἀναλύσεως αὐτοῦ ἐγνώσθη αὐτῷ, τοὺς πρὸς γένος αὐτῷ διαφέροντας συγκαλεσάμενος, ἅπαντα τὰ μέλλοντα συμβαίνειν αὐτοῖς προεῖπε· προσθεὶς καὶ ταῦτα, τῆς φιλοξενίας τέκνα μὴ ἐπιλανθάνεσθε, τοὺς νοσοῦντας καὶ τοὺς ἐν φυλακαῖς ἐπισκέπτεσθε. χηρῶν καὶ ὀρφανῶν προΐστητε. ἀλλοτρίων μὴ ἐπιθυμῆτε. τῶν Ἐκκλησιαστικῶν συνάξεων μὴ ἀπολιμπάνεσθε. καὶ ἵνα τὰ πάντα συνελὼν εἴπω, ὡς ἐμὲ εἴδετε ποιοῦντα, οὕτω καὶ ὑμεῖς ποιοῦντες μὴ παύσητε. καὶ ταῦτα εἰπὼν, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀνανίου.

Στ. Ἀνανίας σὰρξ, πρὸς δὲ σαρκὸς αἰκίας,
Αἴσθησιν ὡς σὰρξ οὐδὲ μικρὰν λαμβάνει.

Ὃς ἦν ἐκ Πόλεως Ἀρβὴλ τῆς Περσίδος, τῷ σχήματι λαϊκὸς, Χριστιανὸς δέ. καὶ συσχεθεὶς ὑπὸ τοῦ Ἄρχοντος, ὡμολόγησε τὸν Χριστόν. καὶ μετὰ πολλὰς βασάνους, κείμενος νεκρὸς, ἀνοίξας τοὺς ὀφθαλμοὺς, εἶπε. Ποιήσατε εὐχὰς πρὸς τὸν Θεόν· ὁρῶ γὰρ κλίμακα φθάνουσαν εἰς τὸν Οὐρανὸν, καὶ πυροειδεῖς ἄνδρας, λέγοντάς μοι. ἐλθὲ μεθ' ἡμῶν, καὶ εἰσαγάγομέν σε εἰς Πόλιν, πλήρη φωτὸς καὶ εὐφροσύνης, καὶ οὕτω φήσας, παρέδωκε τὸ πνεῦμα.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ. Ὁ ὑπερυψούμενος.

Ὡς θεοπτικώτατον, Προφήτην ἔχοντες, χορείας ἐξάρχοντα, σεπτῶς ἑορτάζομεν, ἐνθέως μελῳδοῦντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὡς πραγματοκίνητον, ἐπιγνῶντες ὄργανον, καὶ λύραν θεόπνευστον, καλοῦμεν συλλήπτορα, τῶν ὕμνων μελῳδοῦντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐστέψέ σε Κύριος, ὡς Προφήτην ἔνθεον, καὶ χάριν σοι δέδωκε, προλέγειν τὰ μέλλοντα, ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Πύλην ἀδιόδευτον, ὁ Προφήτης βλέπει σε, Παρθένε Παμμακάριστε, ἣν μόνος διώδευσεν, ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η. Σοὶ τῷ Παντουργῷ.

Ξύλον αὐγὴν, τῆς ἀρχικῆς Τριάδος, Προφῆτα θεώμενος, μέλπεις γηθόμενος· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἱεροπρεπῶς, τὴν ἱερὰν σου μνήμην, Προφῆτα θεσπέσιε, τιμῶντες ψάλλομεν· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.



Digitized by Google

Θεοτοκίον.

Νεύρωσον Ἁγνή, τὸν τῆς ψυχῆς μου πόνον, λυθέντα τοῖς πταίσμασι, καὶ τοῖς παθήμασιν· ὅπως ὑμνήσω, Παρθένε τὸν σὸν τόκον, καὶ ὑπερυψῶ σε, τὴν Κεχαριτωμένην.

Ὠδὴ θ΄. Ἠσαΐα χόρευε.

Ἐπὶ γῆς ἰσάγγελον, πολιτείαν, ἔσχες ἀληθῶς, καὶ νῦν ἐν τοῖς Οὐρανοῖς, σὺν Ἀγγελικαῖς, χορείαις ἐσκήνωσας, περὶ τὸ φῶς, τὸ τρισοφεγγές· οὗ ἐμφορούμενος, ἐποπτεύεις τοὺς ὑμνοῦντάς σε.

Ἐν Θεῷ προσάγομεν, ὑπὲρ Κόσμου, Μάκαρ πρεσβευτήν. δυσώπησον ἐκτενῶς, τῇ προφητικῇ, παῤῥησίᾳ χρώμενος, δοῦναι πιστοῖς, ἀγαθοπρεπῶς, τὴν διαμένουσαν, αἰωνίαν ἀπολύτρωσιν. Θεοτοκίον.

Ὡς Θεὸν γεννήσασαν, καταλλήλως τε καὶ προσφυῶς. καλοῦμέν σε οἱ πιστοί, θεηγορικῶς, Θεοτόκον Ἄχραντον, παναληθεῖ, κλήσει τὸν σεπτόν, τόκον σου σέβοντες, Παναγία Μητροπάρθενε.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ Β΄.

Τοῦ Ἁγίου Προφήτου Ἀββακούμ.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν, στιχηρὰ προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀββακοὺμ ὁ θαυμάσιος, τὴν ἀκτῖνα τοῦ Πνεύματος, δεδεγμένος γέγονεν, ὅλος ἔνθεος. καὶ τὴν κρατοῦσαν τὴν ἀσέβειαν, καὶ κρίσιν τὴν ἄδικον, θεωρῶν ἀγανακτεῖ, τὴν τῆς γνώμης εὐθύτητα, ἐνδεικνύμενος, τοῦ Χριστοῦ καὶ Δεσπότου φιλοθέως, καὶ θερμῇ τῇ διανοίᾳ, ὡς δυσχεραίνων καθάπτεται.

Ἐπὶ θείας ἱστάμενος, φυλακῆς ὁ σεβάσμιος, Ἀββακοὺμ ἀκήκοε τὸ μυστήριον, τῆς πρὸς ἡμᾶς παρουσίας σου, Χριστὲ τὸ ἀπόῤῥητον, καὶ τὸ κήρυγμα τὸ σόν, προφητεύει σαφέστατα, προορώμενος, τοὺς σοφοὺς Ἀποστόλους ὥσπερ ἵππους, τῶν Ἐθνῶν τῶν πολυσπόρων, τοὺς ταράσσοντας θάλασσαν.

Ἐν Κυρίῳ γηθόμενος, ἐν Θεῷ τῷ Σωτῆρί σου, Θεοῤῥῆμον εὔδοξε ἀγαλλόμενος, καὶ τῆς ἐκεῖθεν λαμπρότητος, τὴν αἴγλην δεχόμενος, καὶ φωτὶ θεουργικῷ, νοερῶς φωτιζόμενος, τοὺς τὴν μνήμην σου, τὴν πανίερον πίστει ἐκτελοῦντας, πειρασμῶν τε καὶ κινδύνων, ταῖς σαῖς πρεσβείαις ἐξάρπασον.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἡ Θεὸν τὸν ἀχώρητον, ἐν γαστρί σου χωρήσασα, φιλανθρώπως ἄνθρωπον χρηματίσαντα, καὶ τὸ ἡμέτερον φύραμα, ἐκ σοῦ προσλαβόμενον, καὶ θεώσαντα σαφῶς, μὴ παρίδῃς με Πάναγνε, νῦν θλιβόμενον. ἀλλ᾽ οἰκτείρησον τάχος, καὶ παντοίας, δυσμενείας τε καὶ βλάβης, καὶ πανηρῶν ἐλευθέρωσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ἐξεπλήττετο, καὶ μετὰ θρήνων σοι ἔλεγε. Βαβαὶ τῆς ἀπείρου σου, Πλαστουργέ μου ἀνοχῆς. πῶς ἑκὼν ὡς κατάκριτος, κρίσιν ἄδικον, κατακρίνῃ θανάτου, παρὰ δήμου, κατακρίτου καὶ φρικώδη, καθυποφέρεις παθήματα;

Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου. Ἀπολυτίκιον.

Τοῦ Προφήτου σου Ἀββακοὺμ τὴν μνήμην, Κύριε ἑορτάζοντες, δι᾽ αὐτοῦ σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν, οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Προφήτου.

Οὗ ἡ ἀκροστιχίς.

Σὲ τὸν Προφήτην Ἀββακοὺμ μέλπω Μάκαρ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἄσομαί σοι Κύριε ὁ Θεός μου.

Σόφισόν με Κύριε ὁ Θεός μου, τὸν σὸν Προφήτην Ἀββακούμ, ὑμνῆσαι τὸν θεῖον, καὶ χάριτί σου λάμπρυνον, ἀγαθὲ τὴν καρδίαν μου.

Ἕως τίνος Κύριε ὁ Προφήτης, λέγει βοήσομαι πρὸς σέ, καὶ οὐκ ἀκούσῃ; ἵνα τί δέ μοι ἔδειξας, καὶ κρατοῦσαν τὴν ἀσέβειαν;

Τὸ σεπτὸν μνημόσυνόν σου Προφῆτα τοὺς ἐκτελοῦντας εὐλαβῶς, ταῖς σαῖς ἱκεσίαις, κινδύνων ἀπολύτρωσαι, καὶ δεινῶν περιστάσεων.



Digitized by Google

Θεοτοκίον.

Ὁ Θεὸς ὁ Ἅγιος ἐπεφάνη, ἐν τῷ ἐγγίζειν τὸν καιρὸν, ἐκ σοῦ Θεοτόκε, γενόμενος ἄνθρωπος, ἵνα σώσῃ τὸν ἄνθρωπον.

Ὠδὴ γ'. Τόξον δυνατῶν ἠθέτησε.

Νεύσει, πρὸς Θεὸν ὑψούμενος, καὶ φωτοδοσίαις, ταῖς παρ' αὐτοῦ φωτιζόμενος, τῶν μελλόντων προεθεώρεις, Θεοφάντορ τὴν προτύπωσιν.

Πᾶσαν, ἀρετὴν ἐξήσκησας, πᾶσαν δὲ κακίαν, ἐκ διανοίας ἐμίσησας, καὶ δικαίως τοὺς ἀδικοῦντας, ἐβδελύξω Παμμακάριστε.

Ῥήσεις, τοῦ Ἁγίου Πνεύματος, σὺ ὡς καθαρὸς ἐπιστάθης τρανώτατα, προθεσπίζων τῶν ἐσομένων, τὰς ἐκβάσεις ἀξιάγαστε.

Θεοτοκίον.

Ὄρος, ἀρεταῖς κατάσκιον, ἐξ οὗ ὁ Δεσπότης, δουλοπρεπῶς ἐπεδήμησε, τῆς δουλείας ἐλευθερῶσαι, τοὺς ἀνθρώπους ὤφθης Πάναγνε.

Ὁ Εἱρμός.

„Τόξον, δυνατῶν ἠθέτησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. διὰ „τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου.

Καθίσματα. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Ἐπὶ τῆς θείας φυλακῆς ἔστης Μάκαρ, καὶ κατενόησας Θεοῦ παρουσίαν, προφητικοῖς ἐν ὄμμασι Θεόπνευστε. ὅθεν καὶ ἐβόησας, Ἀββακοὺμ μετὰ φόβου. Κύριε ἀκήκοα, τὴν φρικτὴν ἔλευσίν σου, καὶ ἄνθρωπον σε σάρκα χοϊκὴν, ἐκ τῆς Παρθένου φορέσαι θελήσαντα.

Θεοτοκίον. Ὅμοιον.

Καταφυγὴ τῶν ἐν δεινοῖς ὑπαρχόντων, καταλλαγὴ πρὸς τὸν Θεὸν τῶν πταιόντων, ὑπεραγία Δέσποινα περίσωζε ἡμᾶς, πάσης περιστάσεως, καὶ κακίας ἀνθρώπων, καὶ τῆς φρικτῆς κολάσεως, καὶ παθῶν ἀτιμίας, τοὺς ἀδιστάκτῳ πίστει σε ἀεὶ, προσκαλουμένους, Παρθένε πανύμνητε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ σταυρῷ σε καθορῶσα Χριστέ μου, ἡ ἀπειράνδρως σὲ τεκοῦσα ἐβόα, σπαρασσομένη σπλάγχνα μητρικῶς. οἴμοι φῶς παμφίλτατε, πῶς ἐνέγκω τὸ πάθος; φλέγονται τὰ σπλάγχνα μου, καὶ δεινή μοι ῥομφαία, τραῦμα διέδραμε σαφῶς, ἀλλ' ἀνυμνῶ σου τὸ εὔσπλαγχνον Κύριε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„Τὴν σὴν ἐπὶ τῆς γῆς, παρουσίας Χριστὲ „ὁ Θεὸς, προμηνύων ὁ Προφήτης τὴν „ἔλευσιν, μετὰ χαρᾶς ἐκραύγαζε, δόξα τῇ „δυνάμει σου Κύριε.

Τροπάριον.

Φωτοειδὴς δι' ἀρετῆς, ὤφθης Θεόπνευστε, καὶ τὸ φῶς τὸ ἀνέσπερον ἐμήνυσας, ᾧ νῦν ἐν πίστει κραυγάζομεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ τοῦ Πνεύματος φωτιστικὴ, χάρις δαψιλῶς, ἐνοικήσασά σοι πάνσοφε, Προφήτην ἀπετέλεσε, πᾶσι τὸν Σωτῆρα μηνύοντα.

Τὴν ἀκοὴν ἐνηχηθεὶς, τοῦ Παντοκράτορος, εὐλαβῶς ἐφοβήθης θαυμάσαι. καταμονήσας ἔργα δὲ τούτου, ἐν ἐκστάσει γεγένησαι.

Θεοτοκίον.

Ἡ Κιβωτὸς τοῦ μαρτυρίου σε Πάναγνε, διαγράφει τὸν ἄρτον τὸν ὄντως ζωῆς, τὴν δεξαμένην Ἄχραντε, Λόγον τῷ Πατρὶ συναΐδιον.

Ὠδὴ ε'. Ὁ ἐξαποστείλας τὸ φῶς.

Νῦν ἐπαρθέντα βλέπει, ἡ σεπτὴ Ἐκκλησία, τὸν Ἥλιον ἐν ξύλῳ, ὡς προεθεάσω, Ἀββακοὺμ Ἱερώτατε.

Ἀναπτερώσας τὸν νοῦν, ἐπὶ τῆς φυλακῆς σου, Πανόλβιε παρέστης, καὶ ἀπεσκόπευσας, τοῦ Κυρίου τὴν ἔλευσιν.

Μεγαλοφώνως σοφὲ, ἐπὶ Θεῷ σωτῆρι χαρήσομαι ἐβόας, καὶ εὐφρανθήσομαι, Ἀββακοὺμ Παμμακάριστε.

Θεοτοκίον.

Βεβαρημένος σειραῖς, τῶν πολλῶν μου πταισμάτων, ἐπὶ σὲ καταφεύγω, σῶσόν με Δέσποινα Θεοτόκε, ἡμῶν καύχημα.

Ὠδὴ ς'. Ἐβόησε, προτυπῶν.

Ἀπὸ Θαιμὰν, ὁ Θεὸς σαρκωθεὶς ἐπεδήμησεν, ὡς προέφης, παρ' αὐτοῦ τηλαυγῶς φωτιζόμενος, Ἀββακοὺμ τρισμάκαρ, καὶ τὸν Κόσμον φωτὶ κατελάμπρυνεν.

Καταύγασον, ὁ Θεὸς τὰς ψυχὰς τῶν ὑμνούντων σε, ταῖς πρεσβείαις, Ἀββακοὺμ τοῦ σεπτοῦ καὶ θεόφρονος, ὁ ἐμπνεύσει θείᾳ, καταλάμψας αὐτοῦ τὴν διάνοιαν.



Digitized by Google

Ὁ φθόγγος σου, καὶ ῥημάτων τῶν θείων ἡ δύναμις, καταλάμψας, διελήλυθε πάντα τὰ πέρατα, τὴν τοῦ Λόγου θείαν, παρουσίαν ἡμῖν προθεσπίζοντα. Θεοτοκίον.

Ὑπάρχοντα, τῷ Πατρὶ τὸν Υἱὸν ὁμούσιον, καὶ ἄναρχως, τῷ Τεκόντι σαφῶς συμμορούμενον, ἐπ᾽ ἐσχάτων σάρκα, γενόμενον Παρθένε γεγέννηκας.

Ὁ Εἱρμός. Ἐβόησε προτυπῶν.

Τῷ αὐτῷ Μηνὶ Β΄. Μνήμη τοῦ Ἁγίου Προφήτου Ἀββακούμ.

Στ. Τάττει Θεός σου τοὺς πόδας τεθνηκότι,
Εἰς συντέλειαν Ἀββακοὺμ καθὼς ἔφης.
Δευτερίη Ἀββακοὺμ ἀνεβήσατο εἰς Θεοῦ ἄστυ.

Οὗτος ἦν ἐκ φυλῆς Συμεών, υἱὸς Σαφάτ. Εἶδε δὲ πρὸ τῆς αἰχμαλωσίας, περὶ τῆς ἁλώσεως τοῦ Ναοῦ, καὶ Ἱερουσαλήμ, καὶ ἐπένθησε σφόδρα, καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ εἰς Ἱερουσαλήμ, ἔφυγεν εἰς τὴν Ὀστρακίνην, καὶ ἦν παροικῶν εἰς γῆν Ἰσραήλ. Ὡς δὲ ὑπέστρεψαν οἱ Χαλδαῖοι, καὶ οἱ κατάλιποι οἱ ὄντες εἰς Ἱερουσαλὴμ καὶ εἰς Αἴγυπτον, ἦν παροικῶν τὴν γῆν αὐτοῦ, καὶ ἐλειτούργει θερισταῖς τοῦ ἀγροῦ αὐτοῦ. Ὡς δὲ ἔλαβε τὸ ἔδεσμα, εἶπε τοῖς ἰδίοις. Πορεύομαι εἰς γῆν μακράν, καὶ ταχέως ἐπανελεύσομαι. ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τὸ ἄριστον τοῖς θερισταῖς. Ὅς τις ἁρπαγεὶς ἐν ῥοπῇ ἐν Βαβυλῶνι, τὴν τροφὴν τῷ Προφήτῃ Δανιὴλ κεκόμικεν, ὄντος ἐν τῷ λάκκῳ. εἶτα ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπε τὸ γενόμενον. συνῆκε δὲ, ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἀπὸ Βαβυλῶνος, καὶ πρὸ δύο ἐτῶν τῆς ὑποστροφῆς ἀποθνήσκει, καὶ ἐτάφη ἐν ἀγρῷ ἰδίῳ. Οὗτος τέρας ἔδωκεν ἐν τῇ Ἰουδαίᾳ, ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς, καὶ ὅτι ὄψονται τὴν δόξαν τοῦ Θεοῦ. καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται, τό, τε ἄπλωμα φησὶ τοῦ Δαβὴρ, εἰς μικρὰ ῥήγματα ῥαγήσεται, καὶ τὰ ἐπίκρανα τῶν δύω στύλων ἀφαιρεθήσονται, καὶ οὐδεὶς γνώσεται ποῦ εἰσιν. Ταῦτα δὲ ὑπὸ Ἀγγέλου ἀπενεχθήσονται ἐν τῇ ἐρήμῳ, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ Σκηνὴ τοῦ μαρτυρίου, καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει Κύριος, καὶ φωτίσει τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως ἐξ ἀρχῆς.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν καὶ ἐρημιτῶν, Ἰωάννου, Ἡρακλαίωνος, Ἀνδρέου, καὶ Θεοφίλου.

Στ. Ἀνδρῶν τετρακτὺς εἰς ἄλυπον χωρίον,
Ἐκ θλίψεως γέμοντος ἦλθε χωρίου,

Οὗτοι ὥρμηντο ἐκ Πόλεως λεγομένης Ὀξυρύγχου, χρισιανῶν γονέων ὑπάρχοντες τέκνα. Σχολάσαντες δὲ συχνὸν χρόνον ἐν τῇ τῶν γραφῶν ἀναγνώσει, καὶ καταμυηθέντες, ἐπὶ τὴν ἐνδοτέραν ἔρημον γίνονται. Ἐν ᾗ ἀνδρὶ περιτυχόντες Ἁγίῳ, καὶ εἰς γῆρας ἐληλακότι, ἔμειναν παρ᾽ αὐτῷ χρόνον ἕνα. Κἀκείνου δὲ τὸν βίον ἀπολιπόντος, ἔμειναν οὗτοι ἐν τῷ τόπῳ χρόνους ἑξήκοντα, σκληραγωγίᾳ καὶ νηστείᾳ ἑαυτοὺς ἐκδεδωκότες. Ἦν δὲ ἡ βρῶσις αὐτῶν ὀπώρα, καὶ τὸ ποτὸν ὕδωρ, δὶς τῆς ἑβδομάδος τούτων μεταλαμβάνοντες. καθ᾽ ἑκάστην χωριζόμενοι, καὶ διαφόροις ὄρεσι καὶ σπηλαίοις περινοστοῦντες, καὶ κατὰ μόνας Θεῷ συγγινόμενοι, Σαββάτῳ καὶ Κυριακῇ εἰς ἓν συνήρχοντο, καὶ τὴν προσήκουσαν ἀρχαιεισίαν τελοῦντες, ὑπὸ θείου Ἀγγέλου ἐν μεθέξει τῶν ἁγιασμάτων ἐγίνοντο. Ταῦτα διηγήσατο ἡμῖν ὁ μέγας ἐρημίτης Παφνούτιος, ὁ καὶ αὐτόπτης αὐτῶν γενόμενος, καὶ Συγγραφεὺς τοῦ βίου αὐτῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Μυρόπης.

Στ. Μύρον μυρόπη τῷ Δεσπότῃ προσηνέχθης.
Τῷ εὐωδίας τῆς αὐτοῦ σὲ μυρίσαν.

Ἡ ἁγία αὕτη Μυρόπη ἐγεννήθη ἐν τῇ Ἐφεσίων Πόλει. Τοῦ δὲ πατρὸς αὐτῆς τελευτήσαντος, ἀνήχθη παρὰ τῆς μητρός. Καὶ ἀναγεννηθεῖσα παρὰ τοῦ ἁγίου Βαπτίσματος, ἦν σχολάζουσα ἡ παῖς εἰς τὸ μνῆμα τῆς Ἁγίας Ἑρμειόνης, μιᾶς τῶν θυγατέρων τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου, μύρον ἐκ τοῦ τάφου αὐτῆς ὑποδεχομένη, καὶ πᾶσιν ἀφθόνως χορηγοῦσα. ἐκεῖθεν γὰρ τοῦ ὀνόματος τούτου τετύχηκε. Τοῦ δὲ βασιλέως



Digitized by Google

Δεκίου τότε κρατοῦντος, καὶ διωγμὸν κατὰ τῶν Χριστιανῶν κινήσαντος, ἡ μήτηρ τὴν παῖδα λαβοῦσα, τὴν τῆς Χίου νῆσον κατέλαβε. Καὶ νομικὴν κληρονομίαν ὡς ἐξ αὐτῆς γενομένην ἔχουσα, ὑπῆρχον ἄμφω ἐν τῇ οἰκίᾳ προσμένουσαι, καὶ τῷ Θεῷ καθ' ἑαυτὰς προσευχόμεναι. Ποτὲ δὲ καταλαβόντος Ἄρχοντός τινος ἐν τῇ νήσῳ τῆς Χίου, ἐκρατήθη ὡς Χριστιανὸς ὁ μακάριος Ἰσίδωρος, ἀπὸ τοῦ αὐτοῦ στρατιωτικοῦ τάγματος ὤν, ἀνὴρ εὐλαβὴς καὶ θαυμάσιος ὤν. καὶ ἐπειρᾶτο ὁ Ἄρχων ἀποστῆσαι τῆς εἰς Χριστὸν πίστεως. Ὡς δ' οὐκ ἐπείθετο μετὰ πολλὰς τὰς βασάνους, τὸν διὰ ξίφους κατεδικάσθη θάνατον. Τοῦ δὲ Ἁγίου ἀπορριφέντος ἔν τινι φάραγγι εἰς βορρᾶν ὁρμέων, καὶ φυλάκων παρακαθημένων τῷ λειψάνῳ κατὰ τὴν τοῦ Ἄρχοντος πρόσταξιν, ἡ ὁσία Μυρόπη θείῳ ζήλῳ τρωθεῖσα, νυκτὸς μετὰ τῶν θεραπαινίδων αὐτῆς προσελθοῦσα, τὸ ἅγιον ἀνελάβετο λείψανον, καὶ ἐντίμως μυρίσασα, ἐν ἐπισήμῳ τόπῳ ἀπέθετο. Μαθὼν δὲ ὁ Ἄρχων τὴν τοῦ λειψάνου κλοπήν, τοὺς φύλακας σιδήροις καταδεσμήσας, προσέταξεν ἀνὰ πᾶσαν τὴν νῆσον περιπολοῦντας ἐρευνᾶν, ἐπειπών, ὡς εἰ μὴ εὕροιεν τὸ κλαπὲν ἀναμέσον τῆς δοθείσης αὐτῶν προθεσμίας, κεφαλικῶς αὐτοὺς τιμωρηθῆναι. Τότε ἡ Ἁγία βλέπουσα καθ' ἑκάστην τοὺς στρατιώτας ταλαιπωρίᾳ οὐ φορητῇ προπαλαίοντας, ὑπό τε τῶν ἐπικειμένων αὐτοῖς σιδήρων, καὶ τῆς ἐκ τούτων κακοπαθείας, καὶ τῆς ἐπακολουθούσης κεφαλικῆς τιμωρίας, ἔπαθε τὴν ψυχήν, τοιαῦτα πρὸς ἑαυτὴν ὑποψιθυρίζουσα. Ἐὰν οὗτοι διὰ τὴν ἐμὴν κλοπὴν πάθωσιν, ἀνάγκη πάντως πιλωθῆναί μου τὴν ψυχήν, καὶ οὐαί μοι ἐν τῷ κρίνεσθαι. καὶ παρευθὺς λέγει τοῖς στρατιώταις· ὦ φίλοι, ὃ ἀπολέσατε λείψανον, ἐγὼ ἀνελαβόμην. ὑμῶν κοιμωμένων. Οἱ γὰρ στρατιῶται ταύτην συλλαβόντες, παρέστησαν τῷ Ἄρχοντι λέγοντες. αὕτη ἐστὶ κυρία ἡ τὸν βιοθανῆ γέροντα κλέψασα. Ὁ δὲ ἄρχων πρὸς τὴν Ἁγίαν. ἀληθῆ εἰσι τὰ περὶ σοῦ λεγόμενα; Καὶ ἡ Ἁγία, ἀληθῆ. Ὁ Ἄρχων εἶπε. καὶ πῶς ἐτόλμησας ἐπικατάρατον γύναιον, τοιαῦτα καταπράξαι; Ἡ Μάρτυς εἶπε. καταφρονοῦσα, καὶ καταπτύουσα τῆς σῆς ταλαιπωρίας καὶ ἀθεότητος. Ταῦτα οὐ μικρῶς ἐξεμῆναν τὸν σοβαρὸν ἐκεῖνον Ἄρχοντα. καὶ εὐθέως προσέταξεν αὐτὴν ῥοπάλοις ἀφειδῶς τύπτεσθαι, εἶθ' οὕτως ἀνὰ πᾶσαν τὴν Πόλιν ἀπὸ τῶν πλοκάμων τῆς κεφαλῆς περιάγεσθαι, καὶ τύπτεσθαι κατὰ παντὸς τοῦ σώματος. Καὶ τούτου γενομένου, ἡμιθανῆ τὴν Μάρτυρα ἐν τῇ φυλακῇ ἀπορρίψαντες, διὰ τῶν φυλάκων κατησφαλίσαντο. Περὶ δὲ τὸ μεσονύκτιον εὐχομένης τῆς Ἁγίας, φῶς μέγα περιέλαμψεν ἅπαν τὸ οἴκημα, καὶ χορὸς Ἀγγέλων ἐπέστη, καὶ μέσον τούτων ὁ Ἅγιος Ἰσίδωρος, αἰνούντων τὸν τρισάγιον ὕμνον. Καὶ ὁ Ἅγιος τῇ Μάρτυρι ἀτενίσας Μυρόπη, εἰρήνη σοι ἔφη. ἤγγικε γὰρ ἡ δέησίς σου πρὸς τὸν Θεόν, καὶ ἰδοὺ νῦν ἔρχῃ μεθ' ἡμῶν, καὶ λήψῃ τὸν ἡτοιμασμένον σοι στέφανον. καὶ ἅμα τῷ λόγῳ, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ, καὶ γέγονε τὸ οἴκημα πλῆρες ἀφάτου εὐωδίας, ὡς καὶ τοὺς φύλακας καταπλαγῆναι, καὶ ἐξεστηκότας σχεδὸν γενέσθαι. Ταῦτα οὕτως ἡμῖν διηγήσατο ὁ ἐπαγρυπνῶν τότε, καὶ πάντα εἰδὼς καὶ ἀκούσας, καὶ διὰ τοῦτο προσελθὼν καὶ βαπτισθείς, καὶ τὸ τῆς Μαρτυρίας στέφος ἀναδησάμενος. Τὸ δὲ τῆς Ἁγίας λείψανον, Χριστιανοὶ λαβόντες τῇ τοῦ Ἄρχοντος προστάξει, ἐν ἐπισήμῳ τόπῳ κατέθεντο. Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἀβραμιαῖοι ποτὲ ἐν Βαβυλῶνι.

Μεμνημένος σοφέ, τὴν ὑπὲρ λόγον γνῶσιν, καὶ προφητείας τὴν πολύφωτον, λαμπάδα κραυγάζεις νῦν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Μαρμαρυγῆς τριλαμποῦς. καὶ ἀνεκφράστου δόξης, τὴν μετουσίαν σοι δεδώρηται, Θεὸς ὃν ἐδόξασας· ὁ τῶν Πατέρων ἡμῶν. Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἐν γενεαῖς γενεῶν, Μήτηρ Παρθένος

ὤφ-

Digitized by Google

ὤφθης, εὐλογημένη ὑπὲρ ἔννοιαν, τὸν Λόγον κυήσασα, σεσαρκωμένον ὑπερφυῶς, Θεογεννήτωρ ἁγνή.

Ὠδὴ η'. Πάντα τὰ ἔργα τοῦ Θεοῦ.

Ἐλλαμπρυνόμενος τῷ φωτὶ, τῷ τρισηλίῳ ἠξιώθης Παμόλβιε, θείων καὶ ὑπερφυῶν, θαυμάτων κραυγάζων, ὑμνεῖτε τὸν Κύριον καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Πιὼν χειμάῤῥουν τῆς τρυφῆς, καὶ τῆς αὔλου θεωρίας πληρούμενος, δόξης τε προφητικῆς καὶ προεδρίας μετέχων, χαίρων ἀνυμνεῖς, τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Ὢ τῆς ἐνθέου καὶ σεπτῆς, τῆς τοῦ Προφήτου Ἀββακοὺμ ὡραιότητος. οὗτος γὰρ Ἀγγελικαῖς, συγχορεύων δυνάμεσι, χαίρων ἀνυμνεῖ, τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Μήτηρ ἐδείχθης ἀληθῶς, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀνατείλαντος. μόνη γὰρ ἀξιωτέρα, γεγένησαι τῶν ἀσωμάτων, Νοῶν εὐλογημένη, ἁγνὴ Παρθένε.

Ὠδὴ θ'. Ὁ τόκος σου ἄφθορος ἐδείχθη.

Ἀστράπτει ἡ μνήμη σου Προφῆτα, λαμπρὰν ἀποπέμπουσα τὴν αἴγλην, τῆς σῆς θεηγορίας, καὶ τῆς σῆς μυσταγωγίας καὶ προφητείας, τοῖς σὲ τιμῶσιν, Ἀββακοὺμ Μακαριώτατε.

Κηρύξας τὸν Κύριον τῆς δόξης, καὶ τούτου προειπὼν τὴν παρουσίαν, ἐξ Ἁγίας Παρθένου, προφανῶς γεγενημένην καὶ δεδειγμένην, βλέπων εὐφραίνου, Ἀββακοὺμ Μακαριώτατε.

Ἀγάλλονται πάντες οἱ Προφῆται, ἐπὶ τῇ σῇ χαρμοσύνῳ ἡμέρᾳ, γεγηθότες Θεόφρον, τῆς χαρᾶς σοι, κοινωνοῦντες καὶ θείας δόξης· οἷς συμπρεσβεύων, τοὺς ὑμνοῦντάς σε περίσωζε. Θεοτοκίον.

Ῥανίσιν ἁγνὴ τῶν οἰκτιρμῶν σου, ψυχῆς μου ἀπόπλυνον τὸν ῥύπον, καὶ κρουνοὺς μοι δακρύων, ἀναβλύζειν, ἀενάως ποίησον Κόρη, τὰς τῶν παθῶν μου, ἀναβλύσεις ἀναστέλλουσα.

Ἡ λοιπὴ ἀκολουθία τοῦ ὄρθρου, ὡς συνήθως, καὶ ἀπόλυσις.

---

## Τῇ αὐτῇ Μηνὶ Γ'.

## Τοῦ Ἁγίου Προφήτου Σοφονίου.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν, στιχηρὰ προσόμοια. Ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Τὸν σὸν Προφήτην ὡς ἔμψυχον νεφέλην, ἔδειξας Ἀθάνατε, ὕδωρ ἀλλόμενον, εἰς ζωὴν ὄντως αἰώνιον, ἐξαποστείλας, τοῦτον πλουσίως, καὶ χαρισάμενος, Πνεῦμα τὸ Πανάγιον καὶ Ὁμοούσιον, σὺν τῷ Πατρὶ παντοκράτορι. καὶ τῷ Υἱῷ σου, τῷ ἐκ τῆς σῆς οὐσίας ἐκλάμψαντι. δι' οὗ προεῖπες τὴν σωτήριον, παρουσίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ τοῖς Ἔθνεσι πᾶσι, σωτηρίαν προεθέσπισας.

Ὁ τὴν ἀκτῖνα τῆς θεαρχικωτάτης, αἴγλης εἰσδεξάμενος, νοῦ καθαρότητι, καὶ θείων λόγων προήγορος, καὶ προσημάντωρ, ὑποφήτης θεῖος γενόμενος, στόμα Θεοκίνητον, ὤφθης τοῦ Πνεύματος, τὰ παρ' αὐτοῦ σοι δεικνύμενα, διαβιβάζων, καὶ σαφηνίζων τοῖς πᾶσιν Ἔθνεσι, δοθησομένην σωτηρίαν, καὶ βασιλείαν Χριστοῦ Πανσεβάσμιε. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ θεοπτίᾳ λαμπόμενος ἀξίᾳ, καὶ Προφητικῇ προεδρίᾳ καὶ χάριτι, τετιμημένος Θεόπνευστε, καὶ τῆς ἐνθέου, ἠξιωμένος μακαριότητος, νῦν πρὸς τὸν Πανάγαθον, τῇ παῤῥησίᾳ σου, καὶ συμπαθείᾳ χρησάμενος, καθικετεύων, μὴ διαλίπῃς ὑπὲρ τῶν πίστει σε, ἀνευφημούντων, καὶ τιμώντων σε, ὡς Θεηγόρον σεπτὸν καὶ θεόληπτον, ἐκ κινδύνων ῥυσθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Γ[illegible]μα σου πᾶσι τὸ πλῆθος τοῦ ἐλέους, καὶ τῆς ἀγαθότητος, ἀνακαλύψῃς Ἁγνὴ, τὸ ἀδιόριστον πέλαγος, τὰς ἁμαρτίας, τῶν οἰκετῶν σου πάσας ἐξάλειψον. ἔχεις γὰρ Παναμώμε, ὡς Μήτηρ οὖσα Θεοῦ, τὴν ἐξουσίαν τῆς Κτίσεως, καὶ διεξάγεις, πάντα ὡς θέλεις τῇ δυναστείᾳ σου. καὶ γὰρ ἡ χάρις, ἡ τοῦ Πνεύματος, τοῦ Ἁγίου σαφῶς κατοικοῦσα

ἐν

Digitized by Google

ἐν σοί, συνεργεῖ σοι ἐν πᾶσιν, ἀενάως Παμμακάριστε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μὴ ἐποδύρου μου Μῆτερ καθαρῶσα, ἀφθόρως ὃν ἔτεκες ξύλῳ κρεμάμενον, τὸν ἐφ' ὑδάτων κρεμάσαντα, τὴν Γῆν ἀσχέτως, καὶ Πόλου πλάτος λόγῳ ταννύσαντα, καὶ γὰρ ἀναστήσομαι καὶ δοξασθήσομαι, καὶ τὰ τοῦ ᾅδου βασίλεια, συντρίψω σθένει, καὶ ἀφανίσω τούτου τὴν δύναμιν, καὶ τῆς δουλείας ἐκλυτρώσομαι, τῆς αὐτοῦ τοὺς βροτοὺς ὡς φιλεύσπλαγχνος, καὶ Πατρὶ τῷ ἰδίῳ, προσαγάγω εἰς Φιλάνθρωπος.

Εἰς τὸν Π. Π. τῆς Ὀκτωήχ. Ἀπολυτίκιον.

Τοῦ Προφήτου σου Σοφονίου τὴν μνήμην Κύριε ἑορτάζοντες, δι' αὐτοῦ σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Προφήτου.

Οὗ ἡ ἀκροστιχίς.

Σοφονίου με κῦδος ἀγλαϊζέτω.

Ὠδὴ α'. Ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Σὲ δυσωποῦμεν Προφῆτα τῷ τοῦ Θεοῦ, παρεστῶτα βήματι, ἱκετεύειν ἐκτενῶς, φωτισμὸν δωρήσασθαι ἡμῖν, τοῖς ἐν πίστει τὴν σεπτήν, ὑμνοῦσι μνήμην σου.

Ὄργανον θεῖον ἐδείχθης χωρητικόν, τῶν τοῦ θείου Πνεύματος, φωτισμῶν καὶ δωρεῶν. Σοφονία πάνσοφε διό, γεγηθότες οἱ πιστοί, σὲ μακαρίζομεν. Θεοτ.

Φαεινοτάταις ἀκτῖσι πᾶσαν τὴν γῆν, ὁ ἐκλάμψας Ἥλιος, ἐκ τῆς Ἁγίας σου γαστρός, καταυγάζει Δέσποινα δι' ὧν, φωτισθέντες σε Θεοῦ Μητέρα σέβομεν.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὁ πάντα βλέπων ὡς Θεός, τῶν μελλόντων τὴν γνῶσιν, καὶ τῶν γενησομένων, τὴν εἴδησιν σοι σαφῆ, προφαίνει θεοπρεπῶς, καὶ δεικνύει, Μάκαρ ἀξιάγαστε.

Νευρώσας Μάκαρ σου τὸν νοῦν, εὐσεβεῖ παῤῥησίᾳ, τῷ Πνεύματι τῷ Θείῳ, ὑπέκλινας σεαυτόν, καὶ γέγονας δεκτικός, τῶν ἐκεῖθεν, θείων ἐπελάμψεων.

Θεοτοκίον.

Ἰδού σε πᾶσαι γενεαί, μακαρίζουσι πίστει, τὴν τὸν ἄχραντον Λόγον, ἐν σώματι χοϊκῶς, τεκοῦσαν ὑπερφυῶς, καὶ Παρθένον, πάλιν διαμείνασαν. Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος. Κάθισμα. Ἦχος πλ. β'.

Τῆς εὐσπλαγχνίας τὴν πύλην.

Ἀποκαθάρας μολυσμῶν, πάνσοφε τὸν νοῦν, ἔσοπτρον θεῖον ἀπειργάσω, ἀκτίνων δεκτικὸν τοῦ θείου Πνεύματος. καὶ νῦν πρὸς τὴν πηγὴν χαίρων ἐχώρησας, τῶν ἀπαυγασμάτων Προφῆτα Σοφονία.

Ἕτερον. Ἦχος γ'. Θείας πίστεως ὁμολογίᾳ.

Θείαν ἔλλαμψιν ἐκ τοῦ Κυρίου, εἰσδεξάμενος τρανῶς κηρύττεις, τὸν Βασιλέα τῆς δόξης ἐλεύσεσθαι, ἐκ τῆς Σιὼν ἀνατέλλοντα λύτρωσιν, καὶ καταυγάζοντα Κόσμου τὰ πέρατα φῶς ἀείζωον. αὐτὸν ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτ.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Θεοκυῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐν θείοις νάμασι, παρέχουσα Σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμίαντος Ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος Παρθενομήτωρ, ἐν τῷ Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδίνως βλαστήσαντα. μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν, οἴμοι Τέκνον μου. πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον;

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ὁ πάντων Κύριος, ἡμῖν ἐπέφανε, κατὰ τὴν προφητείαν Μάκαρ τὴν σήν, πάντας προσκαλούμενος, πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ, καὶ δουλείας ἠλευθέρωσεν.

Ὑπὸ τῆς χάριτος, καταυγαζόμενος, προηγόρευσας λέγων ὑπὸ ζυγόν, ἕνα προσκυνοῦντας τελεῖν, τοὺς ἑλομένους τὴν πίστιν, καὶ Κυρίῳ τοὺς λατρεύοντας.

Θεοτοκίον.

Μαρία Πάναγνε, παθῶν τὴν σύγχυσιν, τῆς ἐμῆς διανοίας, καὶ πειρασμῶν, ζάλην διασκέδασον, τῆς ἀπαθείας τὴν πηγήν, ὡς τεκοῦσα Μητροπάρθενε.

Ὠδὴ

Digitized by Google

Ὠδὴ ε. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ἐξ ἀδικίας πρὸς ἀρετὴν, ἐκ τῆς τῶν παθῶν αἰχμαλωσίας Μάκαρ ἐπιστρεψον, ταῖς σαῖς ἱκεσίαις, Προφῆτα ἔνδοξε, καὶ πρὸς φῶς εὐσεβείας, ἔργῳ κατεύθυνον.

Καταλαμπρύνας σου τὴν ψυχὴν, ταῖς τῶν ἀρετῶν εὐμορφίαις, ἐπιτηδείαν ἔδειξας, πρὸς τὰς λαμπηδόνας τοῦ Θείου Πνεύματος. Ἐξ ὧν καὶ προφητείας, χάριν ἐπλούτησας. Θεοτοκίον.

Ὑποφωνοῦσι προφητικαὶ, ῥήσεις Παναγία, διὰ πλειόνων συμβόλων τὸν τόκον σου· ὧν νῦν τὰς ἐκβάσεις ἡμεῖς θεώμενοι, κυρίως Θεοτόκον, σὲ καταγγέλλομεν.

Ὠδὴ ς. Τοῦ βίου τὴν θάλασσαν.

Δεχόμενος Ἔνδοξε, τὰς τοῦ Πνεύματος αὐγὰς, διαφανὲς ὡς ἔσοπτρον, Προφητείας ἐνθέου μαρμαρυγὰς, τῷ Κόσμῳ ἐξήστραψας, ὡς παρόντα θεσπίζων τὰ ἐσόμενα.

Ὅσος ἐπεδήμησε, Βασιλεὺς χαῖρε Σιὼν, καὶ κατατέρπου βλέπουσα, καὶ τὸν Κόσμον ἐφώτισεν ἀστραπαῖς, ἰδίας Θεότητος, καὶ δαιμόνων τὴν πλάνην ἐθριάμβευσε.

Σαρκὸς πηλικότητι, ἑνωθεὶς ὁ ἐκ Πατρὸς, μονογενὴς ἐν μήτρᾳ σου, εἰσεκδύων προῆλθε δίχα φθορᾶς, τηρήσας ἀλώβητον, τὴν σεμνὴν παρθενίαν σου Πανύμνητε.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Τῷ αὐτῷ Μηνὶ Γ. Μνήμη τοῦ Ἁγίου Προφήτου Σοφονίου.

Στίχ. Ὁ πρὶν βοήσας τῇ Σιὼν χαῖρε σφόδρα, Χαίρει παραστὰς τῷ Θεῷ Σοφονίας.

Φαίδιμος ἐν τριτάτῃ σοφίας ἦτορ ἀφῆκεν.

Οὗτος ἑρμηνεύεται σκοπιὰ Κυρίου, ἢ συνιεὶς κρυπτὰ, υἱὸς ὢν Χουσὶ, ἐκ φυλῆς Συμεὼν, ἀγροῦ Σαβαραθὰ, Συμεὼν τοῦ Πατριάρχου, τοῦ υἱοῦ Ἰακώβ· ὃς καὶ ἐδέξατο Προφητείας χάρισμα, καὶ προεφήτευσε περὶ τῆς ἁλώσεως καὶ ἐρημώσεως Ἱερουσαλὴμ, καὶ περὶ τῆς καταστροφῆς τῶν Ἰουδαίων, καὶ ὡς γενήσεται περιούσιος λαὸς τοῦ Θεοῦ, ὁ ἐξ Ἐθνῶν, καὶ ἔσται αἰσχύνη μὲν τῶν ἀσεβῶν, δόξα δὲ τῶν δικαίων. καὶ γενήσεται Κριτὴς καὶ Βασιλεὺς πάσης γῆς, Χριστὸς ὁ Κύριος, καὶ ἀνταποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ὃς μετὰ τὸ εἰπεῖν ταῦτα πάντα, τελευτήσας ἐν τῷ οἴκῳ αὐτοῦ, ἐτάφη ἐν τῷ ἰδίῳ ἀγρῷ, ἐκδεχόμενος τὴν τελευταίαν μεγάλην Ἀνάστασιν. Ἦν δὲ ὅμοιος κατὰ τὸν χαρακτῆρα τοῦ σώματος Ἰωάννῃ τῷ Θεολόγῳ, μικρὸν τὸ γένειον ἔχων στρογγυλότερον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Θεοδώρου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Στ. Ἐν Πατριάρχαις καὶ Θεόδωρος μέγας, Κἂν τοῖς ἀθληταῖς τοῖς διὰ ξίφους μέγας.

Οἱ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου ἄνθρωποι, καὶ μάλιστα Ἕλληνες καὶ ἄπιστοι, πικροὶ καὶ δύσκολοι καὶ ὠμοὶ ἐγένοντο εἰς τοὺς Ἁγίους, καὶ διὰ τοῦτο πολλοὺς Μάρτυρας ἀπειργάσαντο. Ἐξ ὧν Μαρτύρων, ἐγένετο καὶ ὁ Ἅγιος Θεόδωρος. Μαθόντες γὰρ ὁ τῶν Ἀλεξανδρέων λαὸς, ὅτι ὁμολογεῖ τὸν Χριστὸν, καὶ λατρεύει αὐτῷ, διδάσκει δὲ καὶ τοὺς Ἕλληνας εἰς αὐτὸν πιστεύειν, μετὰ πικρίας συνέδραμον ἐπ' αὐτὸν, καὶ κρατήσαντες, πρῶτα μὲν ἐτιμωρήσαντο ἰσχυρῶς, ἔπειτα πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐστεφάνωσαν αὐτὸν, καὶ ἔτυπτον εἰς τοὺς αὐτοῦ ὀφθαλμοὺς, καὶ ἐγελᾶτο, καὶ ἐνεπαίζετο. Εἶτα ἐῤῥίφη ἐν τῇ θαλάσσῃ, καὶ ὑγιὴς ἐξ αὐτῆς ἐξελθὼν, τῇ προστάξει τοῦ Ἄρχοντος, ἐτμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδούλου, τοῦ ἀπὸ Ἐπάρχων.

Στίχ. Ἐπαρχίαν γῆς Οὐρανῶν ἐπαρχίας, Ὁ Θεόδουλος ἀντέδωκεν ἐμφρόνως.

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μεγάλου, Πατρίκιος καὶ Ὕπαρχος Πραιτωρίων, ὃς ἀνεπιλήπτως ζῶν, καὶ γυναικὶ συνεζευγμένος, καὶ ὁρῶν τὰς ἁρπαγὰς καὶ πλεονεξίας τῶν καταδυναστευόντων, ἀπεβάλλετο τὴν ἀρχήν. Ἐπεὶ δὲ καὶ ἡ γυνὴ αὐτοῦ μετέστη τοῦ βίου, τὴν ὕπαρξιν αὐτοῦ πολλὴν οὖσαν ὡσεὶ χρυσίου λιτρῶν πεντακοσίων πεντήκοντα, τοῖς πτωχοῖς διανείμας, τὴν Ἔδεσσαν καταλαμβάνει. καὶ ἐπί τινος κίονος ἀναβὰς, τριάκοντα χρόνους ἐν αὐτῷ διήρκεσε, τὴν μονήρη βίον ὑπελθών. ὅθεν

καὶ

Digitized by Google

καὶ θείων χαρισμάτων καταξιοῦται. Οὐκ ἔτι γὰρ μετελάμβανε τροφῆς παχυτέρας, ἀλλ' ἢ μόνον κατὰ Κυριακήν, τοῦ τιμίου Σώματος καὶ αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς Ἁγίας ἀναφορᾶς. Μετὰ ταῦτα ἐνωχλήθη ὑπὸ λογισμῶν, καὶ παρεκάλει μαθεῖν. τίνι τῶν τῷ Θεῷ εὐαρεστησάντων παρεξισάσθη; καὶ ἤκουσεν, ὅτι Κορνηλίῳ τῷ ἐκ μίμων ἴσον εἶναι ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, τῷ τὴν Δαμασκὸν οἰκοῦντι, καὶ λεγομένῳ Πανδούρῳ. εἰς ψυχικὴν σύγχυσιν τοῦτο τὸν Ὅσιον μικροῦ δεῖν κατηνάγκασεν. ἔργον πάντως τοῦ ἐχθροῦ τῶν ἡμετέρων ψυχῶν τὸ οὕτως αὐτὸν συγχυθῆναι. Καὶ δὴ τὴν Δαμασκὸν καταλαβών, καὶ εὑρὼν τὸν Κορνήλιον, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, τὴν αἰτίαν μαθεῖν ζητῶν τῆς αὐτοῦ πολιτείας. Ὁ δὲ, ἁμαρτωλὸν αὐτὸν εἶναι ἔλεγε, μηδὲν ἀγαθὸν ἔχοντα. Ὡς δὲ ἐνέκειτο ὁ γέρων δακρύων καὶ δεόμενος, ἀναγκασθεὶς εἶπεν· Ἐγὼ φησὶ Πάτερ, ἐκ νεαρᾶς ἡλικίας, μίμοις καὶ ἀγύρταις συναναστραφεὶς, πολὺν χρόνον ἐκεῖθεν ποριζόμενος τὰς πρὸς τὸ ζῆν ἀφορμάς· ὀψὲ δέποτε καὶ μόλις εἰς ἔννοιαν ἐλθὼν τῶν πολλῶν μου κακῶν, καὶ τῆς μελλούσης κρίσεως τὴν ἀνταπόδοσιν ἐπὶ νοῦν λαβών, πάντων τῶν κακῶν ἀπεχόμην, τοῦ καθαροῦ βίου καὶ τῆς ἐλεημοσύνης κατὰ τὸ δυνατὸν ἐπιμελούμενος. Ὡς δὲ ἐνέκειτο καὶ πάλιν ὁ γέρων παρακαλῶν, καὶ ἐνορκῶν αὐτὸν εἰπεῖν καὶ τὰ ἑξῆς, ἀπεκρίθη ἐκεῖνος. Πρὸ ὀλίγου καιροῦ Πάτερ Ἅγιε, γυνή τις περιφανὴς, καὶ πλούτῳ καὶ δόξῃ καὶ σωφροσύνῃ περιλαμπομένη, ἀνδρί τινι ὑπὸ τῶν οἰκείων εἰς γάμον ἐξεδόθη. Ὃς ἀκολάστου καὶ δαπανηρᾶς τυχὼν προαιρέσεως, οὐ μόνον τῆς γυναικὸς τὴν περιουσίαν κατηνάλωσε, καὶ τὴν ἰδίαν, ἀλλὰ καὶ ἕτερα προσδανεισάμενος, κατέφαγε, καὶ διὰ τοῦτο καὶ τῇ εἱρκτῇ ἐνεκλείσθη παρὰ τῶν δανειστῶν ἐπὶ πολὺν χρόνον, ἀπαραμύθητον τῇ γυναικὶ τὴν θλῖψιν ἐπενεγκών. ἥτις βλέπουσα τὸν ἐλεεινὸν ἐκεῖνον λιμαγχονούμενον ἐν τῇ φυλακῇ, καὶ αὐτὴν τὴν ψυχὴν ἀπελέγετο. ὅμως ἤρξατο προσαιτεῖν, ὡς ἐπὶ τρυτάνης σαλεύουσα τὴν ψυχὴν, καὶ φοβουμένη τὸν τῆς πορνείας ὄλισθον, διὰ τὸ εἶναι ταύτην εὐπρόσωπον. Ταύτῃ περιτυχὼν ἐγὼ, καὶ τὴν αἰτίαν μαθὼν, ἤλγησα τὴν ψυχὴν, καὶ δακρύσας, εἶπον αὐτῇ· Πόσον σου τὸ χρέος γύναι; Ἡ δὲ, τετρακόσια νομίσματα Κύριέ μου. Ἐγὼ δὲ ἀκριβολογήσας ἑαυτὸν, εὑρέθην ἔχων νομίσματα διακόσια τριάκοντα. καὶ μὴ ἀρκοῦντα πρὸς τὸ ποσὸν, διαπωλήσας κινητά τινα εἴδη καὶ κόσμια, ἔτι δὲ καὶ τῶν ἐνδυμάτων τὰ κάλλιστα, καὶ τὸ ποσὸν συναγαγὼν τῶν τετρακοσίων νομισμάτων, δέδωκα εἰς τὰς χεῖρας τῆς γυναικὸς, τοῦτο εἰπών· λάβε ταῦτα γύναι. καὶ ἄπελθε ἐν εἰρήνῃ, καὶ τὸν ἄνδρα σου τῆς φυλακῆς ἐλευθέρωσον, δυσωποῦσα ἐξ ὅλης καρδίας τὸν φιλάνθρωπον Θεὸν, ἐλεῆσαί με ἐν ἡμέρᾳ κρίσεως. Ταῦτα ἀκούσας ὁ Θεόδουλος, καὶ τῷ Θεῷ εὐχαριστήσας, αὖθις τῷ κίονι ἐπιβὰς, καὶ μικρὸν ἐπιβιώσας χρόνον, μετὰ χρηστῆς ἐλπίδος πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, Ἐπισκόπου Κολωνίας, τοῦ Ἡσυχαστοῦ.

Στ. Οὐχ ἡσυχάζω. καὶ θανόντα γὰρ στέφω,
Τὸν ἡσυχαστὴν Ἰωάννην τοῖς λόγοις.

Τῷ τετάρτῳ ἔτει τῆς Βασιλείας Μαρκιανοῦ τοῦ εὐσεβεστάτου Βασιλέως, οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν, γεννᾶται ἐκ Πόλεως Νικοπολιτῶν τῆς Ἀρμενίας. Τὰ ἱερὰ δὲ γράμματα παιδευθεὶς, τῶν γεννητόρων αὐτοῦ ἀποβεβιωκότων, καὶ διασκορπίσας τὰ προσόντα αὐτῷ τοῖς πένησιν, ᾠκοδόμησε ναὸν τῇ Ὑπεραγίᾳ Θεοτόκῳ, καὶ ἦν μονάζων ἐν αὐτῷ μετὰ καὶ ἑτέρων μοναχῶν δέκα. Περιβόητος οὖν τὴν ἀρετὴν γεγονὼς, Ἐπίσκοπος Κολωνίας χειροτονεῖται. Καὶ ἐπὶ χρόνοις ἐννέα εἰς σύστασιν τῶν τῆς Ἐκκλησίας πραγμάτων ἀσχοληθεὶς, καὶ πάντα κατὰ σκοπὸν αὐτῷ ἐκτελέσας καλῶς, τὰ πρὸς Ἱεροσόλυμα μακρὰ πελάγη διαπερᾷ. καὶ καταλαβὼν καὶ προσδεξάμενος, ἀφίκετο εἰς τὴν τοῦ Ἁγίου Σάββα Λαύραν· καὶ τοῦτον δεξάμενος, μὴ γνοὺς, ὡς τῷ Θεῷ ἔδοξεν,

Digitized by Google

ξεν, ὁποῖος ὁ προσελθὼν, διὰ τοῦ ξενοδοχείου, εἶτα καὶ τοῦ μαγειρείου, ἐζήτει τὸ ἀπὸ τούτου δοκίμιον. Ὡς δὲ καὶ ἐν ἀμφοτέροις καλῶς παρ' ἐλπίδα εἶδε τοῦτον διαπρέψαντα, ἡσυχάζειν ἀναχωρητικῷ κελλίῳ τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας ἐκέλευσε, μήτινος βρώσεως ἢ πόσεως μεταλαμβάνοντα. Σαββάτῳ δὲ καὶ Κυριακῇ ἐν ταῖς συνάξεσιν ἀφικνεῖσθαι, καὶ ψάλλειν καὶ ἐσθίειν μετὰ τῶν ἀδελφῶν. Τοῦτον ἰδὼν ὁ μακάριος Σάββας κατὰ Θεὸν προκόπτοντα, προσέφερε τῷ ἁγιωτάτῳ Ἠλίᾳ Πατριάρχῃ Ἱεροσολύμων, ἱερατικῷ τιμῆσαι χαρίσματι. Ὁ δὲ Ὅσιος Ἰωάννης, ἄφες ὦ Δέσποτα μικρὸν πρότερον ἐν γνώσει δεόντως τῶν ἐπταισμένων μοι γενέσθαι με, καὶ τότε τὸ δοκοῦν διαπράξασθαι. Ὡς οὖν κατ' ἰδίαν γεγόνασιν, ἔρριψεν ἑαυτὸν ὁ Ὅσιος εἰς τοὺς πόδας τοῦ θεσπεσίου Ἠλία, ὁρκίζων μὴ ἐκφρᾶσαι τὸ δρᾶμα τινί. Ὁ δὲ κατέθετο, ὡς ἀτοπήματι ὑπολαβὼν ἐρωτίσασθαι. Ὡς δὲ Κολωνίας ἐπίσκοπος ἤκουσε γέγονα, ἐξεπλάγη. καὶ πρὸς τὸν μακάριον Σάββαν φησί· μὴ ὀχλήσῃς αὐτὸν ἕνεκεν τούτου. πρεσβύτερος γὰρ ὁ Ἰωάννης οὐ γίνεται. οὗτος ποτὲ ἐν ὁδῷ πορευόμενος, καὶ κοπιάσας, ἐλιποθύμησε μὲν, προσευξάμενος δὲ, καὶ ἁρπαγεὶς αἰθέριος, ἐν τῷ κελλίῳ ἀφέθη, ἀπέχοντι μίλια πέντε. Πέρσαι ποτὲ, τὰ ἐν τῇ ἐρήμῳ τῶν Μοναχῶν κελλία καταστρέψαντες, ἀφίκοντο καὶ ἐπὶ τὸ κελλίον τοῦ Ὁσίου, τὸ αὐτὸ ποιῆσαι. Λέων δὲ φανεὶς παρ' ἐλπίδα, καὶ τοὺς βαρβάρους διώξας, τὴν κέλλαν ἀβλαβῆ διετήρησεν. Ἀνήρ τις ὀρθόδοξος πρὸς αὐτὸν ἐλθὼν, ἔλαβε μεθ' αὑτοῦ καὶ ἕτερον ἑτερόδοξον, τὴν εὐλογίαν ζητῶν ἀμφοτέροις δοθῆναι. Ὁ δὲ, σοὶ μὲν ὡς εὐσεβεῖ καὶ πιστῷ, τὴν εὐλογίαν δίδωμι, τούτῳ δὲ οὐδαμῶς, εἰ μὴ ἐκ τῆς Σεβήρου ἐπιστρέψῃ αἱρέσεως. Τούτων ἀκούσας ὁ πιστὸς ἐκεῖνος ἀνὴρ, ἐξεπλάγη ἐπὶ τῷ τοῦ Ὁσίου διορατικῷ. ὁ δέ γε ἑτερόδοξος ἐξεστηκὼς, καὶ ὥσπερ ἐξ ἄλλου γενόμενος, ὀψέποτε εἰς ἑαυτὸν ἐλθὼν, καὶ τῶν ποδῶν τοῦ Ὁσίου ἁψάμενος, ἀντιβόλει μαθεῖν τί πρακτέον.

Ὁ δὲ, τοῦτον ἀναστήσας, καὶ τὰ δέοντα κατηχήσας, πᾶσαν δὲ αἵρεσιν ἀναθεματίσαι παρασκευάσας, καὶ τὴν τοῦ Σεβήρου ἣν κατείχετο, κἀκεῖθεν τε τῇ καθολικῇ προσελθεῖν Ἐκκλησίᾳ, καὶ παρρησίᾳ ἀπαρνήσασθαι, καὶ ἀναθεματίσαι τὴν τοῦ Σεβήρου ὡς ἔφημεν πρὸς ταῖς λοιπαῖς αἱρέσεσι, τηνικαῦτα, καὶ εὐλογῆσαι καὶ εὔξασθαι. Τούτου δὲ γενομένου, καὶ ἀμφοτέρους αὖθις εὐλογήσας καὶ ἐπευξάμενος, καὶ τῷ Ἁγίῳ φιλήματι ἀσπασάμενος ἀπέστειλεν οἴκαδε χαίροντας. Τούτου τοῦ Μακαρίου μία τῶν συγγενίδων γυναικῶν, ἀναμαθοῦσα τὰ περὶ αὐτοῦ, μετασχηματίσαι ἑαυτὴν ἐβουλεύσατο, καὶ τῷ τοιούτῳ τρόπῳ λαθεῖν, καὶ θεάσασθαι αὐτόν. Ὁ δὲ Μακάριος τῷ διορατικῷ χαρίσματι τὸ μελετώμενον γνοὺς, δεδήλωκεν αὐτῇ λέξας οὕτως. Εἰ οὐκ ἀφίξῃ τὰ ἐνταῦθα, ὀφθήσομαί σοι, καὶ μαθήσῃ τὰ ἐκ Θεοῦ δηλωθέντα μοι. Καὶ μετ' οὐ πολὺ κατ' ὄναρ αὐτῇ ἐπιστὰς, ὑπέθετο τὰ δέοντα, περὶ ὧν ἤδη κἀκείνη μαθεῖν ἐγλίχετο. Πυθομένη δὲ αὕτη καὶ περὶ ἑτέρων, καὶ πάντα καλῶς ἀναδιδαχθεῖσα, αὕτη μὲν τὴν εὐχαριστίαν ἐπὶ τούτοις ἐδίδου, ὁ δὲ Μακάριος, ἐξ ὀφθαλμῶν τῆς γυναικὸς γέγονεν. Οὗτος ποτὲ ἀνικμῷ πέτρᾳ προσαπελάσας ἰσχάδα, λέγει τοῖς ἀδελφοῖς. Ἐὰν ταύτῃ βλαστὸς γένηται, γνῶτε ὅτι ὁ Θεὸς δωρεῖταί μοι τόπον ἐκεῖθεν ἀναπαύσεως. ἡ δὲ βλαστήσασα, καὶ καρπὸν ἔφερε, σῦκα τρία. καὶ λαβὼν αὐτὰ μετὰ δακρύων ὁ μακάριος, καταφιλήσας καὶ εὐχαριστήσας, ἔφαγε μετὰ τῶν ἀδελφῶν. Οὗτος εἰκοσιοκτὼ χρόνων ὢν, γέγονεν Ἐπίσκοπος, καὶ διέπρεψεν ἐν τῷ θρόνῳ αὐτοῦ ἔτη δέκα. εἰς τὸν Ῥουγᾶν χρόνους ἕξ. ἐν τῇ Λαύρᾳ δώδεκα. ἐν τῇ ἡσυχίᾳ χρόνους τεσσαρακοντα ὀκτώ. ὡς εἶναι τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον, τέσσαρας πρὸς τοῖς ἑκατόν. καὶ εἰς βαθύτατον γῆρας ἐλθὼν, ἐκοιμήθη ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι, Ἀγάπιος, Σέλευκος, καὶ Μάμας, ξίφει τελειοῦνται.

Στ. Τρεῖς ἄνδρες, Ἀγάπιος, Σέλευκος,
Μάμας,

Πό-

Digitized by Google

Πόθῳ Πλάσαντος ἠγάπησαν ᾗ ξίφος. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀνατέταλκεν ἡ μνήμη σου Θεσπέσιε, Κόσμῳ καθάπερ Ἥλιος, καταυγάζουσα, Προφητείας χάριτι τῆς σῆς, συμφώνως τοὺς ψάλλοντας πιστούς, Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Γονιμωτέρα Νεφέλης σὺ δεικνύμενος, ὄμβρον θεογνωσίας ἡμῖν, διανέτειλας, σωτηρίου Μάκαρ ἐκ πηγῶν, δι' ὧν φωτιζόμεθα βοῶν· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Λόγος ὁ πάλαι τὸ εἶναι παρεχόμενος, πᾶσι θείῳ βουλήματι, ἀνακαλέσασθαι βουληθεὶς τὸν ἄνθρωπον Ἁγνή, ἐν σῇ κατεσκήνωσε γαστρί, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας.

Ἀνακείμενος ὅλος τῷ Παντοκράτορι, τῆς προνοίας τοὺς τρόπους μεμυσταγώγησαι, οἰκονομικῶς, Ἔθνη, γένος παιδεύοντα, ὅθεν σε ὑμνοῦμεν, Προφῆτα Θεήγορε.

Ἱκετήριον ὕμνον Θεῷ προσάγαγε, ὑπὲρ τῶν σε ὑμνούντων Θεομακάριστε, καὶ τῶν πειρασμῶν λῦσον τὸν τάραχον, ἵνα σε ὑμνῶμεν, Προφῆτα Θεόρρημον.

Θεοτοκίον.

Ζωοδότην τεκοῦσα Θεὸν καὶ Κύριον, τοῦ θανάτου τὴν ῥύμην τὴν ἀκατάσχετον. ἔστησας Ἁγνή, ταύτην ἀπονεκρώσασα· ὅθεν σὲ ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις, ἰδεῖν ἀδύνατον.

Ἐν γῇ πραέων σὺ κατεσκήνωσας, ἔνθα τελῶν Ἀγγέλων ἐποπτεύεις λαμπρότητος, Σοφονία πάνσοφε, Προφῆτα Θεοῦ, πρᾶος γεγενημένος, λάμπων τῇ χάριτι· ὅθεν γεγηθότες οἱ πιστοί, σὲ μακαρίζομεν.

Ὧν σῶν προρρήσεων Πανάοιδιμε, περιφανῶς ὁρῶντες γενομένην τὴν ἔκβασιν, τὴν δοθεῖσαν χάριν σοι θαυμάζομεν, καὶ τὴν τῆς διανοίας, σοῦ καθαρότητα, καὶ τὸ τῆς ψυχῆς θεοειδές, καταπλητόμεθα.

Θεοτοκίον.

Ὡς σὺ οὐδὲ ποτε κεχαρίτωται, ἐκ γενεῶν ἀρχαίων Θεομῆτορ Πανάχραντε· σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον, ἔσχες ἁγιωσύνην, καὶ καθαρότητα. ὅθεν ὑπεδέξω τὸν Θεόν, ἐν σοὶ σαρκούμενον.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ Δ΄.

### Τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Εἰς τὸ λυχνικόν, ἡ συνήθης στιχολ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν γ΄. προσόμοια, τῆς Ἁγίας, γ΄. Ἦχος β΄.

Ὅτε, ἐκ τοῦ ξύλου σε.

Ὅτε ἐν σταδίῳ τῷ φρικτῷ, Ἰουλιανὴ διεσκόπει ἡ Παμμακάριστος, Μάρτυρα τὴν ἔνδοξον, Βαρβάραν μάστιξιν, ἐναθλοῦσαν βασάνοις τε, ποικίλοις τὸ σῶμα, ἅπαν συγκοπτόμενον, θερμῶς τοῖς δάκρυσι, Λόγε τοῦ Θεοῦ ἀνεβόα. ταύτης κοινωνόν με γενέσθαι, ἄρτι καταξίωσον Φιλάνθρωπε.

Μίαν, ἡ Βαρβάρα ἀληθῶς, Ἰουλιανή τε τὴν γνώμην, πρὸς τὴν εὐσέβειαν, ἔχουσαι αἱ Ἅγιαι κατηγωνίσαντο, τοῦ ἐχθροῦ καὶ νικήσασαι, αὐτὸν κατακράτος, δόξης ἠξιώθησαν, παρὰ Χριστοῦ τοῦ Θεοῦ. ὅθεν λοιμικῶν παθημάτων, λώβην ἀφανίζουσαι πᾶσι, τοῖς πιστοῖς παρέχουσιν ἰάματα.

Ὅτε, ἀπεφάνθη κατὰ σοῦ, Μάρτυς σεμνοτάτη Βαρβάρα, ὁ γλυκὺς θάνατος, χαίρουσα καὶ ᾄδουσα, τὸν δρόμον ἤνυσας. ἀσεβοῦς δὲ γεννήτορος, χερσὶ παρανόμοις. τέθυσαι καὶ κάρπωμα, Θεῷ προσήνεξαι. ὅθεν, ταῖς φρονίμοις παρθένοις, ὄντως συγχορεύουσα βλέπεις. Χριστοῦ τοῦ νυμφίου σου τὴν ἔλλαμψιν.

Ἕτερα γ΄. προσόμ. τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

Τί σε ὀνομάσωμεν Ἅγιε; Θεολόγον Ἰωάννην, ἢ Δαβὶδ τὸν μελῳδόν; πνεύματι ἔμφορον Κινύραν, ἢ Αὐλὸν ποιμαντικόν; γλυ-

καί-

Digitized by Google

καίμων, ἀκοιῶ τε καὶ διαμοίαν; εὐφραίνων, Ἐκκλησίας τὰ συστήματα, τοῖς μελιῤῥύτοις σου φθέγμασι, καταγλαΐζων τὰ πέρατα, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω θεσπέσιε; Ἰωάννη γλυκόῤῥημον, φαεινότατε Ἀστήρ; ὁ τῇ αἴγλῃ τῆς Τριάδος, ἐλλαμφθεὶς τὸ ὀπτικόν; εἰσέδυς εἰς τὸν γνόφον τὸν τοῦ Πνεύματος, τοῦ θείου ἐμυήθης τὰ ἀπόῤῥητα. ὡς Μωϋσῆς διεσάφησας, τὴν μουσικὴν καλλιέπειαν, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω ἀοίδιμε; δᾳδοῦχον φαεσφόρον, εὐκλεῆ ὑφηγητήν; λειτουργὸν ἢ θεωρὸν τῶν Μυστηρίων τοῦ Θεοῦ; Ἀστέρα, Ἐκκλησίας ἀγλαΐζοντα, Λυχνίαν, τοὺς ἐν σκότει καταλάμποντα, ἢ ὄργανον εὐηχέστατον; ἢ σάλπιγγα καλλικέλαδον; ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. β΄.

Πατρίδα γενος, ὕπαρξιν, καταλιποῦσα Βαρβάρα, καὶ τὸν ἀσεβῆ πατέρα μισήσασα, Θεὸν ἠγάπησας, ᾧ ἐνυμφεύθης. καὶ γέγονας μεγαλέμπορος κληθεῖσα, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τριήμερος ἀνέστης Χριστέ.

Τὸ ὄμμα τῆς καρδίας μου, ἐκτείνω πρὸς σὲ Δέσποινα· μὴ παρίδῃς, τὸν μικρόν μου στεναγμόν· ἐν ὥρᾳ ὅταν κρίνῃ, ὁ σὸς Υἱὸς τὸν κόσμον, γενοῦ μοι σκέπη καὶ βοήθεια.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄμεμπτος ὡς εἶδέ σε, ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου Τέκνον, μὴ καταλίπῃς με τὴν δούλην σου.

Εἰς τὸν σ. ἢ. προσ. τοῦ Ὁσίου Ἰωάννου.

Ἦχος Πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωάννη πάνσοφε, τὴν Ἐκκλησίαν Χριστοῦ, κατεφαίδρυνας ᾄσμασιν, ἐνθεαστικώτατα, μελῳδῶν παναοίδιμε, τῇ ἐνεργείᾳ, Πάτερ τοῦ Πνεύματος, τὴν σὴν κινύραν, ἀνακρουόμενος, τὴν παναρμόνιον, τοῦ Δαβὶδ μιμούμενος, ἣν ἐνηχῶν, θείοις μελῳδήμασι, πάντας κατέθελξας.

Πάτερ Ἰωάννη εὐδόξε, τῆς κοσμικῆς ἀποστάς, ταραχώδους συγχύσεως, τῷ Χριστῷ προσέδραμες, τῇ γαλήνῃ Πανόσιε. καὶ θεωρίας, θείας καὶ πράξεως, τὰς παμπόλλους, σαφῶς λαμπρότητας, ὄντως ἐπλούτησας, καὶ πιστοῖς μετέδωκας, θεοπρεπεῖ, βίῳ λαμπρυνόμενος, Μακαριώτατε.

Δεῦτε γηγενεῖς ἐν ᾄσμασι, τὴν ἱερὰν καὶ σεπτήν, τοῦ Ὁσίου πανήγυριν, Ἰωάννη σήμερον, εὐσεβῶς ἀνυμνήσωμεν· οὗτος γὰρ ὄντως, θείας ἐλλάμψεως, κατηξιώθη, τὸ φῶς εἰσδέξασθαι. ὢ τῆς ἀφάτου σου, εὐσπλαγχνίας Κύριε. δι᾿ ἧς ἡμεῖς, ἔγνωμεν δοξάζειν σε, τὸν ὑπεράγαθον.

Δόξα. Ἦχος Πλ. β΄.

Ὁσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Ἀπολυτίκιον τῆς Ἁγίας. Ἦχος δ΄.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου. καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί. καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί. ἀλλ᾿ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. αὐτῆς πρεσβείαις ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τοῦ Ὁσίου. Ἦχος Πλ. δ΄.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε, καὶ σεμνότητος, τῆς Οἰκουμένης ὁ φωστήρ, τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. καθ. τῆς Ἁγίας. Ἦχος Πλ. α΄.

Τὸν

Digitized by Google

Τὸν συνάναρχον Λόγον.

Τῶν Ἁγίων ταῖς μνήμαις οἰκονομοῦντες πιστῶς, τῆς Ἀθλοφόρου τὴν μνήμην πανηγυρίσωμεν. ὅτι ἐνέκρωσεν ἀρχῆ, τὸν ἀρχέκακον ἐχθρὸν, τὸν πάλαι δόλῳ τὴν Εὔαν, στερήσαντα ἀφθαρσίας, καὶ τῷ Κυρίῳ πρεσβεύει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Χαῖρε Ἅγιον Ὄρος καὶ Θεοβάδιστον. Χαῖρε ἔμψυχε Βάτε καὶ ἀκατάφλεκτε. Χαῖρε ἡ μόνη πρὸς Θεὸν κόσμου Γέφυρα, ἡ μετάγουσα θνητοὺς, πρὸς τὴν αἰώνιον ζωήν. Χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν Σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν β΄. ἄλλος κανὼν τοῦ Ὁσίου. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἡδύφωνος Αὐλὸς, μεγαλόφωνος Σάλπιγξ, Κιθάρα μελουργὸς, λιγυρὰ θεία Λύρα, Κινύρα παναρμόνιος, μυστικώτατον ὄργανον, ἐμπνεόμενον, τοῦ Παρακλήτου ταῖς αὔραις, ἀναδέδειξαι, ὦ Ἰωάννη καὶ θέλγεις, ἡμῶν τὰ νοήματα. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν. σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Παναμώμητον.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, ἡ τῆς Θεοτόκου, εἰς ϛ΄. καὶ τῶν Ἁγίων εἰς η΄. ὁ Κανὼν τῆς Ἁγίας, καὶ τοῦ Ἁγίου συνημμένος.

Ὠδὴ α΄. Ἦχος β΄.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ὦ Τριὰς ὑπέρθεε σεπτὴ, ἡ τῶν ὑπὲρ ἔννοιαν, τὴν δωρεὰν τοῖς οἰκέταις βραβεύουσα, φωτοφόρον ἔμπνευσον, τῇ ζοφώδει μου, διανοίᾳ ἀμάρυγμα, τὴν σὴν εὐφημῆσαι, Μάρτυρα Βαρβάραν τὴν ἀοίδιμον.

Ἐγκωμίων ἅπαντα θεσμὸν, ὄντως ὑπερβέβληκε, τῶν σῶν Μαρτύρων ἡ δόξα Φιλάνθρωπε. ἀλλὰ τὸ ἐκ πίστεως, κατὰ δύναμιν, δεδεγμένος ἐφύμνιον, ἀντικαταπέμποις, Δέσποτα πλουσίως, τὴν ἀντίδοσιν.

Ἀκανθώδους ῥίζης ἐκφυεὶν, ῥόδον ἱερώτατον, τὴν Ἐκκλησίαν Χριστοῦ εὐωδίασεν, ἡ τῷ ἐρυθήματι, τῆς ἀθλήσεως φοινιχθεῖσα δι᾽ αἵματος, ἔνδοξος Βαρβάρα, ἥνπερ ἐπαξίως μακαρίζομεν.

Τοῦ Ὁσίου. Εἱρμὸς ὁ αὐτός.

Τῷ τοῖς σοῖς ἐπαίνοις ἐγχειρεῖν, μέλλοντι παρεῖναί σου, ἔδει φωνὴν τὴν μελίρρυτον Ὅσιε, δι᾽ ἧς τὴν ὀρθόδοξον, κατεφαίδρυνας, Ἐκκλησίαν τοῖς ᾄσμασι, Πάτερ Ἰωάννη, ἥτις σου γεραίρει τὸ μνημόσυνον.

Ὡς σοφὸς ἀγχίνους καὶ κριτὴς, ἄριστα τῶν ὄντων, τὴν φύσιν σκοπῶν, τῶν ἀστάτων προέκρινας, τὰ διαιωνίζοντα. τῶν προσκαίρων γὰρ, ἀντηλλάξω τὰ κρείττονα, Πάτερ Ἰωάννη. ὅθεν σε καὶ νῦν Χριστὸς ἐδόξασεν. Θεοτοκίον.

Ἰσωθῆναι πόθον μοι ἐνθεὶς, ὄφις ὁ παμπόνηρος, τῷ Πλαστουργῷ ὡς αἰχμάλωτον ἥρπασε. διὰ σοῦ δὲ Πάναγνε, ἀνακέκλημαι, θεωθεὶς ἀληθέστατα. σὺ γὰρ Θεομῆτορ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.

Τετρωμένη τοῦ πόθου σου, ὡς νυμφίου Δέσποτα, τῷ γλυκυτάτῳ βέλει, ἡ ἀθλοφόρος Βαρβάρα ἅπασαν, πατρικὴν ἀθείαν ἐβδελύξατο.

Οὐ τρυφῆς ἡ τερπνότης, οὐκ ἄνθος κάλλους, πλοῦτός τε οὐχ ἡδοναὶ νεότητος, ἔθελξάν σε Βαρβάρα ἔνδοξε, τῷ Χριστῷ νυμφευθεῖσα Καλλιπάρθενε.

Πρὸς τελείους ἀγῶνας, οὐδὲν ἐδείχθη κώλυμα, τὸ ἀσθενὲς τοῦ θήλεως, οὐ τὸ νέον τῆς ἡλικίας Χριστὲ, ἀκηράτῳ σου σθένει δυναμούμενον. Τοῦ Ὁσίου.

Ἐσκόρπισας τὸν πλοῦτον, Θεῷ δανείζων. ὅθεν σοι, τῶν Οὐρανῶν ηὐτρέπισται, βασιλεία. ἀλλὰ καὶ νῦν ἀμοιβὴν, Ἰωάννη ἐδέξω πολυπλάσιον.

Τῆς σοφίας τὸ τάλαντον, δεδεγμένος πράξεσι, κατακοσμεῖς ἀοίδιμε. Ἰωάννη τὴν Ἐκκλησίαν Χριστοῦ, ὃ πολυπλασιάζεις καὶ τὸν βίον λιπών. Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου. διό σε Θεοτόκον πίστει σέβομεν.



Digitized by Google

Ὁ Εἱρμός. Ἐξώθησεν ἡ ἔρημος.

Κα. τῆς Ἁγίας. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀθλήσει σου, πάντας ἐξέπληξας, ὅτι ὑπέμεινας, τὰς τῶν Τυράννων πληγάς, δεσμὰ βασάνους φυλακάς, Βαρβάρα Πανάοίδιμε, ὅθεν καὶ τὸν στέφανον, ὁ Θεός σοι δεδώρηται, ὅνπερ ἐπεπόθησας, ψυχικῶς καὶ προσέδραμες. αὐτὸς καὶ τὰς ἰάσεις παρέχει, πᾶσι τοῖς πίστει προσιοῦσί σοι.

Ἕτερον. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας Πανεύφημε. ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, τὸ στέφος τῆς ἀθλήσεως, παρ' αὐτοῦ δεξαμένη. ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας Βαρβάρα τὴν μνήμην σου.

Ἄλλο, τοῦ Ὁσίου. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

μνήμην τοὺς σεπτούς, καὶ Ἁγίους ἀγῶνας, [κα]ὶ οὓς ἔτλης ἀληθῶς, ὑπὲρ τῆς Ἐκκλησίας, γεραίροντες ἐν ᾄσμασι, τὰ σεπτὰ μελῳδήματα, ἃ κατέλιπες, εἰς ὑμνῳδίαν Κυρίου, ἀξιάγαστε, καὶ τῶν πιστῶν εὐφροσύνην, Ἰωάννη πανθαύμαστε.

Ἕτερον. Ἦχος πλ. β΄.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι.

Τὴν τοῦ βίου ἀπάτην ἀποκρουσάμενος, τὸν Σταυρὸν τοῦ Κυρίου ἀναλαβόμενος, ἀσκητικῶς τὸν πονηρὸν κατεπάλαισας, τῆς ἐρήμου πολιστής, φωστὴρ τοῦ Κόσμου νοητῶς, ἀναδειχθεὶς θεοφόρε. διὸ πρέσβευε τῷ Σωτῆρι, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄσπορος τόκος ὁ τῆς γεννήσεως, ἐν σοὶ ἐγνώρισται Ἁγνὴ Ἀειπάρθενε. καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τῷ Σταυρῷ τοῦ Κυρίου παρισταμένη, θρηνῳδοῦσα ἐβόα ἡ Θεοτόκος. οἴμοι ὦ τέκνον μου, οἴμοι φῶς τῶν ἐμῶν ὀφθαλμῶν, πῶς ἐτάθης ἐν Σταυρῷ, ὁ ἐκτείνας θεϊκῶς τὸν Οὐρανὸν ὡσεὶ δέρριν, καὶ ἐκ θαλάσσης ἀνάγων, πηγὰς ὑδάτων τῷ σῷ προστάγματι.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου:

Ἐκ Παρθένου, γεννηθεὶς ἐδωρήσω νεάνισι, Παρθένοις τὸ φρύαγμα, καταβαλεῖν τοῦ ἀλάστορος. ὅθεν ἡ καλλίνικος Βαρβάρα, τούτου τὸ θράσος κατεπάτησε.

Τῷ Σταυρῷ σου, τοῦ θανάτου τὴν δύναμιν ἔλυσας. ἐντεῦθεν τοῦ σώματος, Κόρη Χριστὲ ἀφειδήσασα, φέρει γενναιότατα, τοὺς αἰκισμοὺς ἡ Βαρβάρα στερροτάτῃ φρενί.

Ἡ προμήτωρ, μηχαναῖς τοῦ δολίου θελχθεῖσα τὸ πρίν, τρυφῆς ἐξωστράκισται, τοῦ Παραδείσου· Βαρβάρα δέ, τοῦτον ἐκφαυλίσασα, ἐν Οὐρανίῳ νυμφῶνι νῦν αὐλίζεται.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Διατάξεις, τοῦ Χριστοῦ πειθαρχήσας κατέλιπες, τοῦ Κόσμου τερπνότητα, πλοῦτον τρυφὴν περιφάνειαν. ᾧ τινι ἀράμενος, τὸν σὸν σταυρὸν Ἰωάννη ἠκολούθησας.

Συμπτωχεύσας, εἰς βροτῶν σωτηρίαν πτωχεύσαντι, Χριστῷ συνδεδόξασαι, ὥσπερ αὐτὸς ἐπηγγείλατο, καὶ συμβασιλεύεις δέ, τῷ εἰς ἀεὶ Ἰωάννη βασιλεύοντι. Θτ.

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα, σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.

Θυρίσι τρισί, τὸ λουτρὸν φωτίζεσθαι κελεύσασα, μυστικῶς διέγραψας, Βάπτισμα Βαρβάρα τῆς Τριάδος φωτί, τῶν ψυχῶν σελασφόρον, ὑπάρχον καθαρτήριον.

Μανίαν δεινήν, τοῦ πατρὸς ἐκκλίνουσαν Βαρθάραν σχισθέν, εὐθὺς ὑπεδέξατο, ὄρος ὥσπερ πάλαι τὴν ἀοίδιμον, πρωτομάρτυρα Θέκλαν, Χριστοῦ τερατουργήσαντος.

Τοῦ ὄντως Θεοῦ, πυρωθεῖσα ζήλῳ ψευδωνύμων θεῶν, εἰς αἰσχρὰ ἀνέπτυσε, πρόσωπα Βαρβάρα ἡ πανεύφημος, καταπαίζουσα Κόρη, τοὺς δῆθεν κοσμοκράτορας.

Τοῦ Ὁσίου.

Τῷ φόβῳ Χριστοῦ, Πάτερ στοιχειούμενος, πρὸς θείαν ζωήν, τῆς σαρκὸς τὸ φρόνημα,

Digitized by Google

μα, ὅλον καθυπέταξας τῷ Πνεύματι, τὰς σαυτοῦ Ἰωάννη, αἰσθήσεις καθαιρόμενος.

Καθάρας παντὸς μολυσμοῦ τὸ σῶμα, καὶ ψυχὴν καὶ τὸν νοῦν, ἐμμελῶς Θεόσοφε, αἴγλην ὑπεδέξω τὴν τρισήλιον, Ἰωάννη λαμπροῖς σε, πλουτίζουσαν χαρίσμασιν. Θεοτ.

Δυσώπει τὸν σὸν Υἱὸν καὶ Κύριον, Παρθένε ἁγνή, αἰχμαλώτοις λύτρωσιν, τῆς ἐξ ἁμαρτίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὡς ὑπέχου σοφίαν δεδώρηται, Σῶτερ θεοδίδακτον, τοῖς ὑπὲρ σοῦ ἀθλήσασι, δικαστικοῦ πρὸ βήματος, ἧς Βαρβάρα ἡ Μάρτυς ἐμπέπλησται.

Τῶν ἀθέων τὴν πλάνην διήλεγξε, λόγῳ θεοσόφῳ, Βαρβάρα ἡ ἔνδοξος. ὑπομονῇ τῶν ἔργων δέ, τῶν Τυράννων τὰς φρένας ἐξέστησεν.

Αἰκισμοῖς ἀφειδῶς καταξαίνεσθαι, ῥάκεσι τριχίνοις, ἀτόνως συντρίβεσθαι, διὰ Χριστὸν ἡ ἄμεμπτος, Ἀθληφόρος τὸ σῶμα προδίδωσιν. Τοῦ Ὁσίου.

Ἐλλαμφθεὶς τῇ τοῦ Πνεύματος χάριτι, θείων ἀνθρωπίνων τε, γνῶσιν πραγμάτων τρανῶς, πεπλουτηκὼς τοῖς χρήζουσιν, Ἰωάννη ἀφθόνως μετέδωκας.

Ἐφαμίλλοις χοροῖς οὐρανίοις σοφέ, τῶν Ἐκκλησιῶν ὀρθοδόξως ἐρρύθμισας, χοροστασίας ᾄσματα, προσφωνῶν τῇ Τριάδι θεόφθεγκτα. Θεοτοκίον.

Ἀπειρανδρος Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ὁ Εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων.

Κοντ. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῷ ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα Χριστῷ Ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα. μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐκ ἔπτηξας, ἀπειλὰς ἀνδρειόφρων, μεγαλοφώνως μέλπουσα ἀεί· Τριάδα σέβω, τὴν μίαν Θεότητα. Ὁ Οἶκος.

Τὴν νυμφευθεῖσαν τῷ Χριστῷ διὰ τοῦ Μαρτυρίου, Βαρβάραν συνελθόντες τιμήσωμεν ἀξίως. ὅπως αὐτῆς ταῖς προσευχαῖς λύμης ψυχοφθόρου λυτρωθέντες καὶ λοιμοῦ, σεισμοῦ καὶ καταπτώσεως, τὸν βίον ἐν εἰρήνῃ διέλθωμεν, καταξιωθέντες μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, διάγειν ἐν φωτί, καὶ μέλπειν ἀξίως. ἐθαυμάστωσας Σῶτερ τὰ σὰ ἐλέη πᾶσι, τοῖς πίστει ὁμολογοῦσι· Τριάδα σέβω τὴν μίαν Θεότητα. Κοντάκιον ἕτερον. Ἦχος β΄.

Χειρόγραφον εἰκόνα.

Τὴν χάριν τῶν θαυμάτων κομισαμένη, παρέχεις τὰς ἰάσεις τοῖς ἐν ἀνάγκαις. καὶ λυτροῦσαι πάντα ἄνθρωπον, λοιμικῆς νόσου πάντοτε. διό σου τὸν Ναὸν καταλαβόντες, μέλπομεν τὴν σὴν μνήμην βοῶντες· λύτρωσαι τοὺς σοὺς δούλους, ἐκ λοιμικῆς ἀσθενείας, Παρθένε Μάρτυς Βαρβάρα, ταῖς πρὸς Κύριον πρεσβείαις σου. Ὁ Οἶκος.

Ἔχοντες ἰατρεῖον τὸν οἶκον τῆς ἀθληφόρου, ἐν τούτῳ δεῦτε σπουδαίως προσδράμωμεν φιλομάρτυρες, ἵνα λάβωμεν πάντες τὴν χάριν τῶν ἰαμάτων, ἀπαλλαγέντες ἐκ πάσης λοιμικῆς νόσου καὶ θλίψεως. καὶ ἰαθέντες λοιπόν, προσμείνωμεν καὶ ἴδωμεν τῆς παιδὸς τὴν γέννησιν, τὴν πατρίδα, καὶ τὴν αὔξησιν, πατρὸς μὲν ἀσεβοῦς γόνος Ἅγιος ἐξέφυσεν, ὡραιοτάτη δὲ νύμφη τοῦ Θεοῦ. ἐν ᾧ καὶ τὴν Παρθενίαν ἐφύλαξεν ἀμίαντον, ὥσπερ προῖκα αὐτῷ προσενέγκασα τῷ Νυμφίῳ· ᾗ καὶ κράζομεν. Παρθενομάρτυς Βαρβάρα, σκέπε ἡμᾶς ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Τῷ αὐτῷ Μηνὶ Δ΄. Ἄθλησις τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας.

Στίχ. Ξίφει πατὴρ θύσας σε, Μάρτυς Βαρβάρα,
Ὑπῆρξεν ἄλλος Ἀβραὰμ διαβόλου.
Βαρβάρα ἀμφὶ τετάρτῃ χερσὶ τοκέως ἐτμήθ.

Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως τῶν ἀφ' ἡλίου ἀνατολῶν, θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος, ἐν ὑψηλῷ πύργῳ παρὰ τοῦ πατρὸς φυλαττομένη, διὰ τὴν ἐπανθοῦσαν αὐτῇ σωματικὴν ὡραιότητα. Παρθένος δὲ οὖσα, καὶ τὸν Χριστὸν σεβομένη, οὐ διέλαθε τὸν Πατέρα. Γνοὺς γὰρ τὰ κατ' αὐτήν, ἐξ ὧν ἐκεῖνος μὲν ἐπὶ τῷ



Digitized by Google

οἰκοδομουμένῳ λουτρῷ παρ' αὐτοῦ δύω θυρίδας εἶπε γενέσθαι, ἡ δὲ προσέταξε τρεῖς, καὶ τὴν αἰτίαν ἐρωτηθεῖσα, ἐπ' ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος ἀνειποῦσα, εὐθὺς ὥρμησε τῷ ἰδίῳ ξίφει ἀνελεῖν αὐτήν. Ἐκφυγούσης δὲ αὐτῆς, καὶ εἰς διαιρεθεῖσαν πέτραν ὑπεισελθούσης, ἐπεὶ καταδιώκων αὐτὴν ὁ πατὴρ εὗρε, τῶν τριχῶν ἀψάμενος αὐτῆς, παρέδωκεν αὐτὴν τῷ τῆς χώρας Ἡγεμόνι. οὗ κατ' ἐνώπιον ὁμολογήσασα τὸν Χριστὸν, καὶ τὰ εἴδωλα καθυβρίσασα, τύπτεται δεινῶς, τὰς σάρκας ξέεται, καὶ τὰς πλευρὰς κατακαίεται, σφαίραις κατὰ κεφαλῆς παίεται· εἶτα τὴν πόλιν γυμνὴ περιάγεται. καὶ τύπτεται, καὶ τὴν διὰ ξίφους δέχεται τελευτὴν, αὐτοῦ τοῦ ἰδίου πατρὸς, ταῖς οἰκείαις χερσὶν ἀνελόντος. ὃς καὶ λέγεται, μετὰ τὴν ταύτης σφαγὴν, ἐκ τοῦ ὄρους κατερχόμενος κεραυνῷ βληθῆναι, καὶ τὴν ψυχὴν ἀπορρῆξαι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μοναχοῦ καὶ Πρεσβυτέρου, τοῦ Δαμασκηνοῦ.

Στ. Πλήσας μελῶν γῆν ἡδέων Ἰωάννης,
Κἂν Οὐρανοῖς ἄνεισι συνθεῖναι μέλη.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, καὶ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ, ἐκ Δαμασκοῦ τῆς πόλεως, ἐκ γένους περιφανοῦς, καὶ τῇ ὀρθοδόξῳ διαπρέποντος πίστει. Τυχὼν δὲ καὶ φιλαρέτου Πατρὸς, ἐπαιδεύθη πᾶσαν τὴν ἑλληνικὴν ἐγκύκλιον παίδευσιν, καὶ τὸν βυθὸν τῆς θεοπνεύστου Γραφῆς καλῶς ἐξηρεύνησε. τὸν μονήρη δὲ βίον μετὰ Κοσμᾶ τοῦ μακαριωτάτου, τοῦ συναναστραφέντος αὐτῷ, γεγονότος δὲ ὕστερον Ἐπισκόπου Μαϊουμᾶ, ὑπῆλθεν. Οὗτοι οὖν ἄμφω, παρ' ἑνὸς διδασκάλου ἐξεπαιδεύθησαν, Κοσμᾶ κἀκείνου ὄνομα, καὶ ἀσκητῆς ἐπιλεγομένου, ἐξωνηθέντος παρὰ τοῦ Πατρὸς αὐτοῦ, μετὰ καὶ ἑτέρων αἰχμαλώτων. Εἰς ἄκρον δὲ σοφίας ἐληλάκεισαν, τοιούτου διδασκάλου τυχόντες. ᾧ καὶ ἐμφανισθῆναι κατ' ὄναρ τὴν Ὑπεραγίαν Θεοτόκον λέγεται καὶ εἰπεῖν, ἐν ὅσῳ εἰσέτι ὁ Ἰωάννης συνεῖναι τῷ διδασκάλῳ, ἢ μᾶλλον ἐντείλασθαι τῷ αὐτοῦ μαθητῇ Ἰωάννῃ ὕμνους ἐκθέσθαι, εἰς δόξαν τοῦ ἐξ αὐτῆς τεχθέντος ἀσπόρως, καὶ καύχημα τῶν ἐκ μέσης καρδίας ὀφειλόντων ταύτην γεραίρειν. ὃ δὴ καὶ πεποίηκε, τὴν ὑπόθεσιν ταύτην λογογραφίᾳ θέμενος, Ἐπίσης οὖν τὴν ἄσκησιν μετελθόντες, ὁ μὲν Μακάριος Κοσμᾶς, πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ καταλελοιπὼς, ἐν εἰρήνῃ ἀνεπαύσατο. Ὁ δὲ ἀοίδιμος Ἰωάννης, καὶ αὐτὸς τὰ ὅμοια καὶ πλεῖστα διαπραξάμενος, καὶ τῇ τῶν λόγων αὐτοῦ δυνάμει, κἂν τῶν γραφῶν σοφαῖς ἀποδείξεσι πλεῖστα στηλιτεύσας τὴν δυσσεβῆ τῶν εἰκονομάχων αἵρεσιν, καὶ πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταλελοιπὼς, δι' ὧν σχεδὸν παντὸς τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται, ἐν γήρᾳ πίονι καταλύει τὸν βίον, ζήσας ἔτη ἑκατὸν πρὸς τοῖς τέσσαρσι.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου, Ἐπισκόπου Πολυβότου τοῦ Θαυματουργοῦ.

Στ. Ἐπίσκοπος γῆς ἐκλιπὼν Ἰωάννης.
Ἐπισκοποῦντος πάντα τέρπεται θέᾳ.

Οὗτος νέος ὢν ἤδη, τρυφὰς ἐμίσει καὶ ἡδονὰς, νηστείᾳ δὲ μᾶλλον καὶ σωφροσύνῃ τὸν ἑαυτοῦ κατεκόσμει βίον. Ὅθεν καὶ Ἐπίσκοπος Πολυβότου χειροτονεῖται, πρότερον τοὺς Ἐκκλησιαστικοὺς βαθμοὺς ἐννόμως διελθών. Ἤδη δὲ προστασίαν λαοῦ ἐμπιστευθεὶς, ἀγῶνας ἀγῶσι προσέθηκε, κόποις τε κόπους. Ἐπεὶ δὲ Λέων ὁ Ἴσαυρος, ἀναξίως τῶν σκήπτρων τῆς Βασιλείας ἐδράξατο, καὶ κατὰ τῶν Ἁγίων Εἰκόνων βλασφημεῖν ἐπεχείρησεν, οὗτος ὁ ἱερὸς ἀνὴρ ἰσχυρῶς ἤλεγξεν αὐτοῦ τὴν ἀσέβειαν, εἶτα πρὸς τὸ ποίμνιον αὐτοῦ τὴν πίστιν ἐξηκριβώσατο. τοὺς δὲ Ἀγαρηνοὺς, τοὺς τὸ Ἀμόριον κατοικοῦντας, θεηλάτως πλήξας, τοὺς Χριστιανοὺς, οὓς εἶχον αἰχμαλώτους, ἀποχαρίσασθαι αὐτῷ παρεσκεύασε. Καὶ τὸ σῶμα τὸ ἴδιον εἰσέτι καὶ νῦν ἄφθαρτον διετήρησε. καὶ κατὰ τὴν τῆς Πεντηκοστῆς ἡμέραν, ἀνιστῶσιν αὐτὸν, καὶ τὴν ἀρχιερατικὴν στολὴν ἐνδύουσι, καὶ τῇ θείᾳ τραπέζῃ προσερείδουσι, καὶ οὕτως ἵσταται ὄρθιος, καὶ ἐν τῷ Συνθρό-

Digitized by Google

θρόνῳ ἀναβιβάζουσα, καὶ ὑπὸ δύο στηριζόμενος, διὰ πάσης ἄπτωτος τῆς ἱερᾶς μυσταγωγίας ἵσταται. Τὰ δ' ἄλλα ὅσους δαιμονῶντας θεραπεύει, καὶ νόσους ἑτέρας, ἀδύνατόν ἐστιν ἡμῖν γραφῇ παραδοῦναι.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Ἰουλιανή, ξίφει τελειοῦται.

α. Ἰουλιανὴν ὡς Περιστερὰν δέχου Σῶτερ,
Τομῇ τάχει τέμνοιτο τρίζουσαν λόγῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Χριστόδουλος, καὶ Χριστοδούλη, ξίφει τελειοῦνται.

β. Συνώνυμον σοι παρθένε Χριστοδούλη,
Ὁ Χριστόδουλος, καὶ συναθλεῖ σοι ξίφει.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ. Ἀντίθεον πρόσταγμα.

Ὀργὴν καταλήψεσθαι καὶ ἐξαλεῖψαι, τὴν θάλασσαν Τύραννος, εἰκαίως φρυαττόμενος, ὡς παίγνιον πρόσκειται. Βαρβάρας Κόρης ποσί. τοῦτον ἐκνικήσας γὰρ, Χριστὸς ὥσπερ στρουθίον, σαθρὸν ἐδέσμευσεν.

Πληγαῖς ἀφορήτοις συγκαταξανθέντος, τοῦ σώματος ὅλου τε, βαφέντος ἐν αἱμάτων ῥοαῖς, λαμπάσιν ὑπέμεινας, φλογιζομένη πλευράς, Μάρτυς πανοίδιμε, νῦν Χριστῷ εὐαρεστοῦσα, Βαρβάρα ἔνδοξε.

Ὢ τῆς ἀπανθρώπου τε καὶ ἀναλγήτου, Τυράννων ὠμότητος, καὶ πλείστης ἀθεότητος. μαστοὺς γὰρ τῆς Μάρτυρος, ὡς ἐν μακέλλῳ δεινῶς, ξίφεσι κατέτεμνον τὸν νοῦν, προσερειδούσης, τῷ ζωοδότῃ Χριστῷ.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ζήλῳ πυρούμενος τῶν θεομάχων, αἱρέσεων ἅπασαν, κακόνοιαν ἀνέτρεψας, συντόμοις συγγράμμασι, λάμψας πᾶσι τρανῶς, πάλαι τὰ σποράδην τοῖς σοφοῖς, ὦ Ἰωάννη συγγεγραμμένα ἰσχυρῶς.

Θερμῶς ἐστηλίτευσας τῶν δυσωνύμων, τροφίμων τοῦ Μάνεντος, τὴν βλάσφημον ἀσέβειαν, νοθεῦσαι πειράσασαν, τὴν Ἐκκλησίαν Χριστοῦ, λόγοις τε καὶ δόγμασιν ὀρθοῖς, ὦ Ἰωάννη, οἷς περ συντέθεικας.

Θεοτοκίον.

Ἁγίων Ἁγίαν σε καταγοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μήτηρ ἀνύμφευτε. πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Ὠδὴ η. Κάμινος ποτέ.

Ὤφθη σοι Χριστὸς, φωτὶ ἐν ἀπροσίτῳ, ἐγκαθειργμένῃ ὦ Βαρβάρα φρουρᾷ, θαρρεῖν προτρεπόμενος, καὶ τοὺς μώλωπας ἰώμενος, καὶ χαρμονὴν δωρούμενος. ὅθεν ἀνεπτερώθης, τοῦ σοῦ Νυμφίου τῷ ἔρωτι.

Ἄγγελος φαιδρὸς, στολὴν φωτοειδῆ σε, διὰ Χριστὸν γεγυμνωμένην, σεμνὴ Βαρβάρα ἠμφίασαι, ὥσπερ νύμφην περιήγαγε. τὰ πάθη τῇ ἐσθῆτι γὰρ, Μάρτυς συνεξεδόσω, θείαν ἐκστᾶσα ἀλλοίωσιν.

Δέδεικται σαφῶς, Χριστὲ ἡ πρόρρησίς σου, πεπληρωμένη. πατὴρ τέκνον γὰρ, εἰς φόνον προδίδωσιν. αὐτουργός τε τῆς σφαγῆς γεγονώς, ὁ δείλαιος γεννήτωρ τῆς σῆς, Μάρτυρος οὐρανόθεν, θᾶττον πυρὶ κατηνάλωται.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἤλεγξας σαφῶς, ἐγγράφως Ἰωάννη, τοῦ Νεστορίου τὴν διαίρεσιν, Σευήρου τὴν σύγχυσιν, μονοθέλητον παράνοιαν, καὶ πίστιν μονοενέργητον, φέγγος ὀρθοδοξίας, πᾶσιν ἀστράψας τοῖς πέρασιν.

Ἔσπειρεν ἐχθρὸς, ζιζάνια συνήθως, αἱρετικῶν ἐν Ἐκκλησίᾳ Χριστοῦ, τὴν τοῦ τύπου προσκύνησιν, ἀθετεῖσθαι ἐν εἰκόσι σεπταῖς. ἀλλ' εὗρεν οὐ μυστάζοντα, πάντα δὲ Ἰωάννην, σπόρον σε νόθον ἐκτίλλοντα. Θεοτ.

Σὺ τὸν τοῦ Πατρὸς, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννήτορ Πάναγνε. ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Ὁ Εἱρμός. Κάμινος ποτέ.

Ὠδὴ Ἀνάρχου Γεννήτορος.

Τὴν ἔνδοξον μέλλουσα, κομίζεσθαι τελείωσιν, διὰ ξίφους Βαρβάρα, τοῦ Μαρτυρίου σου, σὺν Ἰουλιανῇ τῶν στεφάνων, μαρτυρικῶς, καταξιουμένη, φωνῆς θείας ἤκουσας, τελειούσης τὰς ἐντεύξεις σου.

Πληρῶν σου τὴν αἴτησιν, Βαρβάρα ἀθλοφόρε Χριστὸς, τὰς ἰάσεις βραβεύει, τοῖς ἐκτελοῦσί σου, πίστει τὴν αἰτήσιμον μνήμην ὡς



Digitized by Google

ἀληθῶς. Θαλάσσης γὰρ ψάμμον, τὰ σὰ ὑπερβέβηκεν, ἄκλεῆ τερατουργήματα.

Τῷ σῷ συναφθεῖσα νυνὶ, παντάνακτι νυμφίῳ Χριστῷ, καταστράπτουσα δόξῃ, Βαρβάρα θείου φωτὸς, ἐν ἐπουρανίοις θαλάμοις, τοὺς ὑμνητὰς, τοὺς σοὺς ἐποπτεύεις, παθῶν ἀπαλλάττουσα, καὶ προσάγουσα τῷ ζῶντι Θεῷ.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἐδίδαξας ἅπαντας, τῆς Ἐκκλησίας ἄδειν υἱοὺς, ὀρθοδόξως Μονάδα τὴν ἐν Τριάδι σεπτὴν, σάρκωσιν τοῦ Λόγου τε θείαν, θεολογεῖν, σαφῶς Ἰωάννη, γραφῶν τὰ δυσέφικτα, τοῖς πολλοῖς ἐν ἱεραῖς συγγραφαῖς.

Ἁγίων τὰ τάγματα, ὑμνολογήσας Ὅσιε, τὴν ἁγνὴν Θεοτόκον, Χριστοῦ τὸν Πρόδρομον, αὖθις Ἀποστόλους Προφήτας, σὺν Ἀσκηταῖς, σοφοὺς Διδασκάλους, Δικαίους καὶ Μάρτυρας, ἐν ταῖς τούτων νῦν αὐλίζῃ σκηναῖς.

Θεοτοκίον.

Ὡς πόκος Πανάμωμε, τὸν ὄμβρον τὸν Οὐράνιον, ἐν γαστρὶ δεξαμένη, ἡμῖν ἐκύησας, τὸν τὴν ἀμβροσίαν διδοῦντα, τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν Παναύμνητον, Θεοτόκον καταγγέλλουσι.

Ὁ Εἱρμός. Ἀνάρχου Γεννήτορας.

Ἐξαποστειλάριον τῆς Ἁγίας.

Ἐν Πνεύματι τῷ ἱερῷ.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, Βαρβάρα παναοίδιμε, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάζουσα, τὸν ἐπὶ πάντων Δεσπότην, ῥῦσαι πάντας κινδύνων, λοιμικῆς ἀθυμείας, καὶ ψυχικῶν νοσημάτων.

Τοῦ Ὁσίου. Ὅμοιον.

Ἀνέτρεψας σοφίᾳ σου, τὰς αἱρέσεις Παμμάκαρ, ὦ Ἰωάννη πάνσοφε, καὶ ὀρθόδοξον δόγμα, τῇ Ἐκκλησίᾳ δέδωκας, τοῦ ὀρθῶς δογματίζειν, καὶ δοξάζειν Τριάδα, Μονάδα τρισυπόστατον, ἐν μιᾷ τῇ Οὐσίᾳ.

Θεοτοκίον. Ὅμοιον.

Ἐκύησας Παναχραντε, τὸν Θεοῦ Θεὸν Λόγον, τῷ Κόσμῳ τὴν σωτηρίαν, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἀρίστην. διὰ τοῦτό σε πάντες, ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσβεύουσαν τούτῳ, λυτρωθῆναι ἡμᾶς νόσων, καὶ παντοίων κινδύνων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ δ΄. ἰδιόμελα τῆς Ἁγίας, τὸν πρῶτον, καὶ τοὺς τρεῖς δευτέρους. Τὰ τῆς Ἁγίας ἰδιόμελα. Ἦχος α΄. Ἀνατολ...

Τῆς γεηρᾶς τρυφῆς, τὴν ἀπόλαυσιν ὑπεριδοῦσα, καὶ τοῦ πατρὸς τὸν ὄλβον ὁμοῦ τε καὶ δόξαν μισήσασα, τὸν οὐράνιον Νυμφίον ἐπεπόθησας, Βαρβάρα παναοίδιμε. τῷ ξίφει γὰρ τὴν κάραν τμηθεῖσα, σὺν ταῖς φρονίμοις εἰσῆλθες Παρθένοις, τῷ Νυμφίῳ Χριστῷ. ὅθεν καὶ τὴν λοιμικὴν νόσον ἐκδιώκουσα, τοὺς πιστοὺς θεραπεύεις, ἐνεργείᾳ τοῦ Πνεύματος, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος β΄. Βυζαντίου.

Ἠσχύνθη ὁ βάσκανος ἐχθρὸς, ὑπὸ γυναικὸς ἡττώμενος, ὅτι τὴν προμήτορα ἔσχεν ὄργανον πρὸς ἁμαρτίαν. ὁ γὰρ ἐκ Παρθένου σαρκωθεὶς Λόγος τοῦ Πατρὸς, ἀτρέπτως καὶ ἀφύρτως, ὡς οἶδε μόνος αὐτὸς, τὴν κατάραν ἔλυσε τῆς Εὔας καὶ τοῦ Ἀδάμ. Χριστὸς ὁ στεφανώσας ἀξίως, Βαρβάραν τὴν Μάρτυρα, καὶ δι᾽ αὐτῆς δωρούμενος τῷ Κόσμῳ, ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Ἡ θεόκλητος Μάρτυς Βαρβάρα, ἐν τῷ σταδίῳ πάσχουσα ἔλεγε· δεινά μοι τὰ παρόντα κολαστήρια ὦ δικαστὰ, οὐ προκείμενα δὲ ὅλως, τῶν οὐρανίων τὰ ἐπίγεια. διὰ τοῦτο, τέμνετε, ξέετε τὰς σάρκας, πυρὶ παράδοτε μου. χαίρουσα ἄπειμι, πρὸς τὸν νυμφίον μου Χριστόν. ἧς ταῖς ἱκεσίαις Σωτὴρ, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτῆς, ἐκτελοῦντας πιστῶς.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Τὴν πανήγυριν σήμερον, τῆς ἀθλοφόρου Βαρβάρας, δεῦτε λαοὶ ὑμνήσωμεν. ταύτην γὰρ οὔτε ξίφος, οὔτε πῦρ, οὔτε ἄλλη βάσανος, οὔτε τοῦ πολυπλόκου Βελίαρ τὰ ἔνεδρα, ἐτροπώσαντο. Χριστὸν ἱκέτευε, Καλλιμάρτυς πανένδοξε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.



Digitized by Google

Δόξα. Ἦχος πλ. β'. Ἰωάννου Μοναχοῦ.

Ἀθλητικὴν ὁδεύσασα ὁδὸν, προγονικὴν ἐξέφυγες βδελύξιν, Βαρβάρα πανσεβάσμιε. καὶ εἰς μὲν Παρθένος φρονίμως, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου. ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἰατρεύειν, τῆς σαρκὸς σαθρὰν λοίμην. ἀλλὰ καὶ ἡμᾶς, τοὺς ἀνυμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτ. Ἦχος ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Σταυροθεοτοκίον.

Τριήμερος ἀνέστης Χριστέ.

Ἐπάγην μὲν ὡς ἄνθρωπος, ἐν ξύλῳ καὶ νενέκρωμαι, καὶ ἐν τάφῳ, κατετέθην ὡς θνητός· ὡς δὲ Θεὸς ὦ Μῆτερ, νεκροὺς ἐξαναστήσω, καὶ σὲ δοξάσω τῇ ἐγέρσει μου.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα. Τοῦ Ὁσίου. Ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη.

Καὶ νῦν. Θεοτ. ἢ Σταυροθεοτ.

Εἰς τὴν Λειτουργίαν τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος. Ὠδὴ γ'. καὶ ς'.

---

## Τῷ αὐτῷ Μηνὶ Ε'.

## Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν, Σάββα τοῦ ἡγιασμένου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Θεωρὸς γεγένησαι νοῒ, νοερῶν δυνάμεων, ὡς πρακτικὸς θεῖα λόγια, διατιθέμενος, ἐν τῇ σῇ καρδίᾳ. ἐν ᾗ καὶ ἀνάβασιν, ὡς κλίμακα ἐστήριξας Ὅσιε, Σάββα Πατὴρ ἡμῶν, καὶ πρεσβεύεις δωρηθῆναι ἡμῖν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Σάββα Ὁσιώτατε τὴν σὴν, ἐκ παιδὸς ἀνέθηκας, ζωὴν Χριστῷ τῷ Θεῷ ἡμῶν. ὑφ' οὗ ἐνδυνάμενος, τῆς σαρκὸς τὰ πάθη, λογισμῷ ὑπέταξας, τὸ χεῖρον ὑποτάττων τῷ κρείττονι. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Θεόφρων Πατὴρ ἡμῶν Φωστὴρ, καθωράθης μέγιστος, φωταγωγῶν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι, καὶ ἐνθέων ἔργων. ὅθεν μετὰ κοίμησιν, τὸ ἄδυτόν σε φῶς ὑπεδέξατο. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Δευτεροῦντες τὸ α'. Δόξα. Ἦχος β'.

Ὅσιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετὴν, ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ ἁγίου Πνεύματος. καὶ παρ' αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους, καταφρονεῖν τῶν ἡδέων. νῦν δὲ τῷ θείῳ φωτὶ, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας. Σάββα Πατὴρ ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ἦχος ὁ αὐτός.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ φωτός. φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπόστ. στ. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὤφθης ἐκ Μητρικῶν, σπαργάνων Θεοφόρε, ἡγιασμένον σκεῦος, Πατὴρ ἡμῶν καὶ οἶκος, τοῦ Παναγίου Πνεύματος.

Στ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Φέρων ἐν ταῖς χερσὶ, σοῦ Σάββα τοῦ Κυρίου, Σταυρὸν τὰ τῶν δαιμόνων, φαντάσματα τελείως, Πατὴρ ἡμῶν ἠφάνισας.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Δόλους τῶν πονηρῶν, δαιμόνων θριαμβεύσας, τῇ τοῦ Σταυροῦ δυνάμει, ἐστράμωσας τὴν δόξαν, Χριστοῦ Σάββα Πατὴρ ἡμῶν. Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Δέσποινα ἀγαθὴ, τὰς ἁγίας σου χεῖρας πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον Πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Τροπ. Ἦχος πλ. δ'. Ταῖς τῶν δακρύων σου ῥοαῖς. Καὶ ἀπόλυσις.

---

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στ. η'. καὶ ψάλλ. στ. προσ. Ἦχος πλ. α'. Ὅσιε Πάτερ.

Σάββα θεόφρων, τῶν Ἀγγέλων ἰσοστάσιε ὁμόσκηνε Ὁσίων, συνόμιλε Προφητῶν. Μαρτύρ. Ἀποστόλων συγκληρονόμε, φῶς


Digitized by Google

τὸ ἀμέσωτερον, ὁ νῦν κατοικῶν. ὁ ταῖς φρυκτωρίαις, λαμπόμενος ταῖς θείαις. τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, ὁ παρεστὼς παῤῥησίᾳ λελαμπρυσμένος, καὶ ἐνηδόμενος αὐτοῦ ταῖς θεωρίαις, καὶ ἐντρυφῶν αὐτοῦ, τοῦ κάλλους ἀνεκδότως, Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Σάββα παμμάκαρ, ἐγκρατείας λύχνος ἄσβεστος, Φωστὴρ τῶν Μοναζόντων ὁ διαυγέστατος, ἀγάπης φρυκτωρίαις λελαμπρυσμένος, πύργος ἀκλόνητος τῆς ὑπομονῆς, ἔρεισμα καὶ θεμέλιος, τῶν πίστει σε τιμώντων, τῶν ἰαμάτων ὁ Θησαυρὸς, ὁ Πολιστὴς τῆς ἐρήμου ὡς ἀληθῶς, ὁ ὡς Παράδεισον αὐτὴν ἔνθεον δείξας, θείους προσφέρουσαν καρποὺς τῶν σωζομένων, Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Σάββα Θεόφρον, ἀρετῶν στῦλος ὁ πύρινος, Πυρσὸς ὁ ἐκ Θαλάσσης, τοὺς κοσμικοὺς τοὺς λαοὺς, *ἱμερία πρὸς τὸν Θεῖον καθοδηγῶν. πλάνης τὰ πνεύματα ὁ καταβαλὼν, Πνεύματος ἁγίου τὸ καθαρὸν δοχεῖον, ὁ ποδηγέτης τῶν Μοναστῶν, ἠκριβωμένη τε στάθμη τῆς ἐγκρατείας, τῆς ταπεινώσεως, περίβλεπτον τὸ ὕψος, Κρήνη ἡ βρύουσα, ἰάσεων πελάγη, Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξα. Ἰδιόμελον. Ἦχος Πλ. β΄.

Τὸ κατ᾽ εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα, κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ᾽ ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας. ἀνδρείως γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον, καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ Πνεύματι. ὅθεν Μοναζόντων, ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς Ἐρήμου, ἀθλούντων ἀλείπτης, Κανὼν ἀρετῆς ἀκριβέστατος. καὶ νῦν ἐν Οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων Μακάριε, καθαρῶς ἐποπτεύεις, τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Καὶ νῦν. Θεοτ. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Φῶς ἱλαρὸν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. ε΄. 11. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται. Καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ Θαλάσσης, Ποταμοὶ δὲ

συγ-

Digitized by Google

συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει (Κεφ. ϛ΄. 1.) θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ συνίετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. δ΄. 7. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Καὶ ἡ συνήθης ἐκτενής.

Εἰς τὴν Λιτήν, Στιχ. Ἰδιόμ. Ἦχος β΄.

Ἀσκητικὸν γυμνάσιον, συγκροτήσας ἐπὶ γῆς Ὅσιε Σάββα, καὶ τῶν παθῶν τὰς προσβολάς, ἐν τῇ ῥοῇ τῶν δακρύων σου, πάσας ἀπήμβλυνας. Κλῖμαξ θεία καὶ σεπτή, εἰς Οὐρανοὺς ἀνάγουσα, τοῖς πᾶσιν ἐγνωρίσθη, ὁ θεόληπτος βίος σου. Εὐσεβείας γὰρ καρποὺς ἐν αὐτῷ ἐνδειξάμενος, θεραπεύεις δι᾽ αὐτῶν τὰς ἀσθενείας τῶν παθῶν, τῶν πιστῶς ἐκβοώντων σοι. Χαίροις τῆς ἑῴας Ἀστὴρ χρυσαυγέστατος, καὶ τῶν Μοναζόντων, λαμπαδοῦχε καὶ ποιμήν. Χαίροις ἀοίδιμε, τὸ τῆς ἐρήμου κάλλιστον θρέμμα, καὶ τῆς Ἐκκλησίας ἀκράδαντον ἔρεισμα. Χαίροις τῶν πλανωμένων ὁ μέγας ὁδηγός. Χαίροις, τὸ ἡμέτερον καύχημα, καὶ τῆς Οἰκουμένης ἀγαλλίασμα. Ὁ αὐτός.

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν Οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Κόσμου τὴν εὐκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν καὶ τῶν ἀρετῶν, καὶ Ἀσκητῶν τὸ καύχημα, Σάββαν τιμήσωμεν. πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἐξήνθησε δικαίως, καὶ ὡσεὶ Κέδρος ἐν ἐρήμῳ, ἐπλήθυνε τὸ ποίμνιον Χριστοῦ, τῶν λογικῶν προβάτων, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Ἦχος ὁ αὐτός.

Ὅσιε Πάτερ, ἐκ Βρέφους τὰς ἀρετάς, ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ ἁγίου Πνεύματος. καὶ παρ᾽ αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους, καταφρονεῖν τῶν ἡδέων. νῦν δὲ τῷ θείῳ φωτί, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Σάββα Πατὴρ ἡμῶν.

Δόξα. Ἦχος ὁ αὐτός. Θεοφάνους.

Τῶν ὑπὲρ νοῦν ἀγαθῶν, δεξάμενος ἔρωτα, πάντα τὰ ἐν Κόσμῳ τερπνά, ὑπερεῖδες Θεόληπτε. ἐντεῦθεν γὰρ τοῦ καρποῦ οὐχ ἥλω, καθάπερ Ἀδάμ. τὸν ὄφιν δὲ ἐναποκρουσάμενος δι᾽ ἐγκρατείας, ἀγγελικῶς τὸν βίον διήνυσας. καὶ νῦν ἐν οὐρανοῖς αὐλίζῃ, ἐναπολαύων τοῦ ξύλου τῆς ζωῆς, Θεὸν ἱλεούμενος ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων, ἡγιασμένε Σάββα τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχ. Στιχ. προσόμ. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις ἀσκητικῶν ἀληθῶς, ἀγωνισμάτων τὸ εὐῶδες κειμήλιον. Σταυρὸν γὰρ ἐπ᾽ ὤμων ἄρας, καὶ τῷ Δεσπότῃ Χριστῷ, σεαυτὸν Παμμάκαρ ἀναθέμενος, σαρκὸς κατεπάτησας, τὸ χαμαίζηλον φρόνημα. ταῖς ἀρεταῖς δέ, τὴν ψυχὴν κατελάμπρυνας, καὶ πρὸς ἔνθεον, ἀνεπτέρωσας ἔρωτα. ὅθεν τὴν πανάγιαν σου, κυκλοῦντες πανεύφημε, λάρνακα Σάββα τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ Κόσμῳ δωρηθῆναι, τὸ μέγα ἔλεος.

Στίχ.

Digitized by Google

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἄνθραξ θεοφεγγὴς τῷ πυρὶ, προσομιλήσας Θεοφόρε τοῦ Πνεύματος ἐδείχθης ἐν Κόσμῳ Σάββα, καταλαμπρύνων ψυχὰς, τῶν πιστῶς Θεόφρων προσιόντων σοι, πρὸς φῶς ὁδηγῶν αὐτοὺς, τὸ ἀμέσωτερον Ὅσιε, ἐρημικοὺς δὲ, δροσιζόμενος ἄνωθεν, θείᾳ χάριτι, κατεμάρανας ἄνθρακας. ὅθεν καὶ τὸν τῆς νίκης σοι, προδήλως δεδώρηται, στέφανον Πάτερ τῆς θείας, δικαιοσύνης ὁ Πρύτανις, Χριστὸν ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Κλίμαξ οὐρανομήκης σαφῶς, ἡ πολιτεία σου Θεόφρον γεγένηται. δι᾽ ἧς περ πρὸς ὕψος ἤρθης, καὶ τῷ Δεσπότῃ Χριστῷ, ὁμιλεῖν παμμάκαρ κατηξίωσαι, τὸν νῦν ἐλλαμπόμενος, ταῖς ἐκεῖθεν ἐλλάμψεσι, μαρμαρυγαῖς δὲ, ταῖς αὐτοῦ φωτιζόμενος, τὴν ἰσάγγελον, ἐκομίσω φαιδρότητα. ᾧ καὶ νῦν παριστάμενος, ἱκέτευε Ὅσιε, τοὺς ἐκτελοῦντας τὴν θείαν, καὶ πανσεβάσμιον μνήμην σου, σὺν σοὶ παραστῆναι, καὶ τῷ Κόσμῳ δωρηθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος Πλ. δ΄.

Τῶν Μοναστῶν τὰ πλήθη, τὸν Καθηγητήν σε τιμῶμεν, Σάββα Πατὴρ ἡμῶν. διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως ἀληθῆ, πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν, Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων μεθ᾽ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε.

Τροπάριον. Ἦχος Πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας, καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας, καὶ γέγονας φωστὴρ, τῇ Οἰκουμένῃ λάμπων τοῖς θαύμασι, Σάββα Πατὴρ ἡμῶν Ὅσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολογίαν κάθισμα.

Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Τὸν βίον ἀσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν, σὺ τοῦ Πνεύματος ὤφθης, φωτίζων τοὺς ἐν πίστει σοι, προσιόντας Μακάριε. ὅθεν αἴτησαι, τὸν σὸν Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε Σάββα, Θεόφρων Πατὴρ ἡμῶν. Θεοτοκίον. Ὅμοιον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα, σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν. σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Παναμώμητον.

Μετὰ τὴν δευτέραν στιχολογίαν κάθισμα. Ἦχος Πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἄρας σοφὲ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νῦν οὐχ ὑπέστρεψας ἐν τῷ Κόσμῳ θεόσοφε. ἐγκρατείᾳ καὶ πόνοις, τὰ πάθη ἐνέκρωσας, καὶ ναὸν ἡτοίμασας, σαυτὸν τῷ Κυρίῳ σου. ὅθεν χαρισμάτων, ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα. Θεοφόρε μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον. Ὅμοιον.

Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφράστως Μήτηρ Θεοῦ, τῷ κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν τὰ πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ Πλάστην τῆς κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάμωμε.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Προ-

Digitized by Google

Προκείμενον. Ἦχος δ΄.
Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος.
Στιχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.
Τὸ, Πᾶσα πνοή.
Εὐαγγέλιον Ὁσιακὸν, ἐκ ὁ Ν΄. τὸ
Ἰδιόμελον. Ἦχος Πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν, εἰς ϛ. καὶ τοῦ Ἁγίου, εἰς η. Οὗ ἡ ἀκροστιχίς.
Τὸν παμμέριστον ἐν Ἀσκηταῖς Σάββαν
ἔξοχα μέλπω. Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ἁρματηλάτην.

Τῇ φωταυγείᾳ τοῦ Ἁγίου Πνεύματος, Σάββα καταύγασον, τοὺς εὐσεβεῖς πόθῳ, ὑμνοῦντας εὐφημοῦντάς σε, τῶν Ἀσκητῶν τὸ καύχημα, Μαραζόμενον τὸ κλέος, τὸν τῆς ἐρήμου Κοσμήτορα, τὸν τῆς Παρθενίας Διδάσκαλον.

Ὅλον τὸν πόθον πρὸς Θεὸν ἀνέτεινας, ἀπὸ νεότητος, καὶ πρὸς αὐτὸν ἔχων, πᾶσαν σου τὴν ἔφεσιν, τὰ τῆς σαρκὸς κινήματα, καὶ παθῶν τὰς ἐφόδους, δι' ἐγκρατείας ἐνέκρωσας, Σάββα θεοφόρε πανεύφημε.

Νεανικῶς τὸν τῷ καρπῷ κρυπτόμενον, ὄφιν ἐπάτησας, καὶ τοὺς αὐτοῦ βρόχους, κούφως ὑπερβέβηκας, θεοσεβείας πτέρυξιν, ἀντιπάλου, ὡς Πάτερ, ζωὴν δὲ χαίρων ἐσκήνωσας, ἀπὸ τοῦ φυτοῦ τοῦ τῆς γνώσεως.

Περιλαμπόμενος φωτὶ τῆς χάριτος, τὸ πῦρ εἰσέδραμες, ὥσπερ οἱ τρεῖς Παῖδες, μείνας ἀκατάφλεκτος, σὲ τοῦ Θεοῦ φυλάξαντος, καὶ μηνύοντος πᾶσι, τὴν ἐσομένην σου ὕστερον, Πάτερ προκοπὴν καὶ λαμπρότητα. Θεοτοκίον.

Ἡ κατάρχετοις καθ' ἡμῶν ὁ θάνατος, ὁρμαῖς ἐκέχρητο, ἀλλὰ τῷ σῷ τόκῳ, προσεγγίσας ὤλετο, καὶ προσβαλὼν κατήργεται, Θεοτόκε Παρθένε· ζωὴν γὰρ ὄντως ἀΐδιον, σεσωματωμένην γεγέννηκας.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

Νῦν ἡγεμόνα τῶν παθῶν, Πανόλβιε καταστήσας, βραβευτὴς δικαιοσύνης ἐδείχθης. τῶν γὰρ κρειττόνων σαφῶς. τὸ χεῖρον καθυπέταξας. ὅθεν ὡς φοῖνιξ Πάτερ, ἐν ταῖς ἐρήμοις ἐξηνθήσας.

Ἠκολουθῆσαι διωγμοὺς, τοῖς ἴχνεσι τοῦ Δεσπότου, μεταναστὴς τῆς Πατρίδος ἐγένου, καὶ τὴν ἔρημον οἰκῶν, τὸ τρόπαιον ἀνέστησας, κατὰ τῶν ἀντιπάλων, θείᾳ δυνάμει ῥωννύμενος.

Ῥωμαλαιότητι φρενῶν, Παμμάκαρ ὠχυρωμένος, τὰς ποικίλας τοῦ ἐχθροῦ μεθοδείας, ἐθριάμβευσας σοφὲ, καὶ πᾶσιν ἐφανέρωσας, καὶ τὴν ὀφρὺν ἐκείνου, τὴν ἐπηρμένην κατέβαλες.

Ἱλαρωτάτῃ σε ψυχῇ, καὶ προσηνεῖ διαθέσει, ἀρεταῖς κατακοσμούμενον βλέπων, ὁ λαμπρότατος φωστὴρ, [illegible]θύμιος ἐδέξατο, φωτιστικῶς θεσπίζω[illegible] τὴν σὴν παμμάκαρ φαιδρότητα. Θεοτοκίον.

Σωτηριώδους δι' ἡμᾶς, τοῦ Λόγου οἰκονομίας. φωτεινὴ σὺ Μητροπάρθενε Πύλη, ἐγνωρίσθης ἀληθῶς. σὺ γὰρ ἡμῖν εἰσήγαγες, καὶ νοητὴν ἀκτῖνα, τῆς ὑπερθέου Θεότητος.

Ὁ Εἱρμός. Ὁ στερεώσας κατ' ἀρχάς.

Κάθισμα. Ἦχος Πλ. δ΄.
Τὴν Σοφίαν καὶ Λόγον.

Τὰ ἐπίγεια πάντα καταλιπὼν, καὶ ἐν Κόσμῳ ὑπάρχων σωματικῶς, τῷ πνεύματι γέγονας, τῶν Ἀγγέλων συμμέτοχος, τὰ γὰρ παρόντα πάθη, νεκρώσας τοῦ σώματος, τῆς Τριάδος ἐδείχθης, θεράπων Μακάριε. Ὅθεν καὶ νοσούντων. θεραπεύεις τὰ πάθη, καὶ λόγῳ τὰ πνεύματα, ἀπελαύνεις τῇ χάριτι, Θεοφόρε Πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Τοὺς θορύβους τοῦ βίου καταλιπὼν, τὸν σταυρόν σου ἐπ' ὤμων ἀναλαβὼν, ἄλλον

ἀνα-

Digitized by Google

ἀνατέθεικας, σεαυτὸν τῷ Κυρίῳ σου. καὶ σαρκὸς δὲ ἔξω, καὶ Κόσμου γενόμενος, τοῦ Ἁγίου ἐγένου, συνόμιλος Πνεύματος. ὅθεν καὶ πρὸς ζῆλον, τοὺς λαοὺς διεγείρων, τὰς Πόλεις ἐκένωσας, καὶ ἐρήμους ἐπόλισας. Θεοφόρε Πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρὸς, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα. καὶ οὐκ ἔχω τί πρᾶξαι, ἢ ποῦ καταφεύξασθαι, ἀλλ' οὐδὲ ἄλλην ἐλπίδα, πλὴν σοῦ Κόρη ἐπίσταμαι. φεῦ μοι ὁ ἀχρεῖος, διὰ τοῦτο ἱκέτης, πρὸς σὲ τὴν Παναχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. εἰς σὲ γὰρ Παρθένε τὰς ἐλπίδας ἀνέθηκα.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Τὴν τῆς ψυχῆς, ἀνακαθαίρων κατάστασιν, καὶ πλατύνων, θείοις θεωρήμασι, χωρητικὴν, ταύτην ἀληθῶς, θείων χαρισμάτων, εἰργάσω θεομακάριστε. ἁφῇ δὲ τῶν χειρῶν σου, ἀσθενοῦντας ἰάσω, μιμητὴς τοῦ Δεσπότου γενόμενος.

Ὁ κατὰ σοῦ, Πάτερ δεινῶς θρασυνόμενος, κατεπόθη, ὡς Δαθὰν ὁ δείλαιος, ὡς Ἀβειρὼμ, ἐξαφανισθείς. σὲ γὰρ ἀοράτως, ἡ Θεία χάρις ἐφύλαττε, πολλῶν προνοουμένη, διὰ σοῦ σωζομένων, καὶ τοῖς σοῖς ἑπομένων διδάγμασι.

Νόμῳ Θεοῦ, παιδαγωγήσας Θεσπέσιε τὰς αἰσθήσεις, πρὸς τὴν κατανόησιν τῶν ἀσωμάτων καὶ νοητῶν, σοῦ ἐπιτηδείαν, κατέστησας τὴν διάνοιαν, προβαίνων ἀμέμπτως, ἀπὸ δόξης εἰς δόξαν, ἐκ δυνάμεως Πάτερ εἰς δύναμιν.

Εὐεργετεῖν, τοὺς ὁμοφύλους προθέμενος, ἐν ἐρήμῳ. Πόλεις ᾠκοδόμησας, θεοπρεπεῖς, καὶ ψυχωφελεῖς, καὶ ἐν γῇ διψώσῃ, πηγὰς ὑδάτων ἐξήγαγες, καὶ ὄμβρους οὐρανόθεν, παραδόξως Θεόφρον, ἐν ἀνύδροις χωρίοις κατήγαγες. Θεοτοκίον.

Νεοθαλὴς, ἀθανασίας Παράδεισος, καὶ ὡραῖος ὄντως ἀναδέδειξαι, ξύλον ζωῆς, ἐν σοὶ φυτευθὲν, θεαρχικωτάτως, φοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον, ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ἀκλινεῖ διανοίᾳ, πρὸς τὸν σὸν ποθούμενον ἀνατεινόμενος, παρ' αὐτοῦ τὴν χάριν, τῶν μεγίστων θαυμάτων τὴν ἄφθονον, ἐκομίσω Πάτερ, καὶ τοὺς πιστῶς προσερχομένους, συμπαθῶς ἐθεράπευσας Ὅσιε.

Σαρκικῶν βαρημάτων, ὄγκον ἀποθέμενος, σκεῦος θεόπνευστον, ἐκλογῆς ἐγένου, τοῦ ἁγίου Θεσπεσίε Πνεύματος, ἀποχῇ βρωμάτων, καὶ προσευχῇ καὶ καρτερίᾳ, καὶ ταπεινοφροσύνῃ κοσμούμενος.

Κήρυξ θείων δογμάτων, μεγαλοφωνότατος κεχειροτόνησαι. τῶν Συνόδων Πάτερ, τῶν Ἁγίων συνήγορος γέγονας. Βασιλεῖς σοφίζων, οἷς ἐμφανῶς χάριτι θείᾳ, τειχιζόμενος ὤφθης μακάριε.

Ἡ Θεόθεν δοθεῖσα, χάρις σοι Θεόπνευστε διαβεβόηται, διεδόθη πᾶσιν, εἰς τὰ τῆς Οἰκουμένης ἀκρότατα, ἐναργεῖς ποιοῦσα, θεοπρεπῶς τὰς ἀποδείξεις, τῶν θαυμάτων τὴν θείαν ἐνέργειαν. Θεοτοκίον.

Τῶν πιστῶν ἡ προστάτις, τεῖχος ἀκατάλυτον τῶν εὐφημούντων σε. ἡ παντὶ τῷ γένει, τῶν ἀνθρώπων φανεῖσα σωτήριος, ὡς Θεὸν τεκοῦσα, σωματικῶς ἐπιφανέντα, τὴν ψυχήν μου διάσωσον Πάναγνε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἀγάπην πρὸς τὸν Θεὸν, καὶ τὸν πλησίον κτησάμενος, τοῦ νόμου καὶ Προφητῶν, πληροῖς τὸ κεφάλαιον. τὴν γὰρ ὑπερέχουσαν, πασῶν ἀσυγκρίτως, ἀρετὴν Πάτερ κατώρθωσας.

Ἰσάγγελον ἐπὶ γῆς, σὺ πολιτείαν κτησάμενος, ἰσάγγελον δὲ τιμὴν, Χριστός σοι δεδώρηται, Ἁγίων τὰ Τάγματα, συνοδοιποροῦντα, τῇ ψυχῇ σου παρεχόμενος.

Σοφίας γόνος ὀφθεὶς, ἀρχὴν Σοφίας ἐπόθησας, τὸν φόβον τὸν τοῦ Θεοῦ. ᾧ καὶ στοιχειούμενος, πρὸς τὴν τελειότητα, τὴν ἐνδεχομένην, τοῖς ἀνθρώποις Πάτερ ἔφθασας.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Σωτῆρα καὶ Λυτρωτὴν, Θεὸν τῶν ὅλων καὶ Κύριον, τεκοῦσα διὰ σαρκὸς, ἡμῖν ὁμιλήσαντα, διάσωσον Παρθένε, τοὺς προσκαλουμένους, ἐκ κινδύνων σὲ τὴν Δέσποιναν.

Ὁ Εἱρμός. Ἱλάσθητί μοι Σωτήρ.

Κοντάκιον. Ἦχος Πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ θυσία ἄμωμος, προσενεχθεὶς δι' ἀρετῆς Σάββα Μακάριε, τῷ σὲ πρὶν γεννηθῆναι ἐπισταμένῳ, ἐχρημάτισας, Ὁσίων ἐγκαλλώπισμα, πολιστής τε τῆς Ἐρήμου ἀξιέπαινος. διὸ κράζοι σοι· χαίροις Πάτερ ἀοίδιμε.

Ὁ Οἶκος.

Σοφίας ὑπάρχων βλάστημα, Σάββα Ὅσιε, παιδόθεν ἐπόθησας Σοφίαν τὴν ἐνυπόστατον, ἣ συνοικήσασά σοι, ἀπὸ γῆς σε ἐχώρισε, καὶ πρὸς ὕψος ἀνήγαγεν, ἐξ αὔλων ἀνθέων πλέξασα στέφανον, καὶ τῇ σῇ ἐπιθεῖσα, ἡγιασμένῃ κάρᾳ Θεόφρων. ὅνπερ κεκοσμημένος, ἐξιλεῶσαι τὸ θεῖον, τοῦ δοθῆναί μοι σοφίαν λόγου ἐπαξίως, ὅπως ἀνυμνήσω τὴν ἁγίαν κοίμησιν, ἥνπερ καὶ ἐδόξασε Χριστὸς ὁ Θεὸς ἡμῶν. διὸ καὶ ἡμεῖς κράζομέν σοι· Χαίροις Πάτερ τρισόλβιε.

Τῷ αὐτῷ Μηνὶ Ε'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

Στ. Ψυχὴν ὄπισθεν τοῦ Θεοῦ κολλῶν πάλαι,
Ἔμπροσθεν αὐτοῦ νῦν παρίσταται Σάββας.
Θεσπεσίοιο πόλου πέμπτῃ Σάββας ἐντὸς ἐσήχθη.

Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, χώρας τῶν Καππαδοκῶν, κώμης λεγομένης Μουταλάσκης, γονέων, Ἰωάννου καὶ Σοφίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πρὸς τὴν μονήρη κατάστασιν προσδραμὼν, ἐν Μοναστηρίῳ Φλαβιαναῖς προσαγορευομένῳ, τοσοῦτον γέγονεν ἐκ πρώτης ἡλικίας ἐγκρατὴς, ὡς ἐν τῷ κήπῳ ἰδόντα μῆλον, καὶ εἰς ἐπιθυμίαν αὐτοῦ ἐλθόντα, ἐπειπεῖν· ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας καρπός. καὶ τοῦτο λαβεῖν μὲν ταῖς χερσὶ, μὴ φαγεῖν δὲ, ἀλλὰ τοῖς ποσὶ συμπατῆσαι, καὶ ὅρον ἑαυτῷ θέσθαι μὴ φαγεῖν ποτε μῆλον. Ἀλλὰ καὶ εἰς κλίβανον πυρὸς εἰσελθὼν, ἐξῆλθεν ἀβλαβὴς, μηδὲ τῶν ἱματίων αὐτοῦ τοῦ πυρὸς ἁψαμένου. Ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας, ἐμφανὴς καθίσταται τῷ μεγάλῳ Εὐθυμίῳ, καὶ παρ' αὐτοῦ πρὸς τὸν Ὅσιον Θεόκτιστον, ἐν τῷ Κοινοβίῳ πέμπεται. Τούτων ἁπάντων εἰς ἐτύγχανε, τοὺς τρόπους καὶ τὴν ἀρετὴν ἐκλαμβανόμενος καὶ ἀναμανθάνων. Ὃν ὁ μέγας Εὐθύμιος ὁρῶν, διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτῷ πραγματικὴν κατάστασιν, παιδαριογέροντα ἐκάλει. Συμπροϊούσης δὲ αὐτῷ τῆς ἡλικίας, ἐπηύξανε μᾶλλον τὴν ἀρετήν. Ὅθεν καὶ πολλὰ θαύματα κατειργάσατο, καὶ ἐν ἀνύδροις τόποις, διὰ προσευχῆς ὕδωρ ἐξήγαγε. Γέγονε δὲ καὶ πολλῶν Μοναχῶν καθηγητὴς, καὶ διεπρεσβεύσατο δὶς ἐπὶ τὴν Κωνσταντίνου ἐλθὼν, παρακληθεὶς ὑπὸ τῶν κατὰ καιρὸν, Πατριαρχούντων ἐν Ἱεροσολύμοις, πρός τε τὸν Βασιλέα Ἀναστάσιον καὶ Ἰουστινιανόν. Φθάσας δὲ εἰς τὸ ἀκρότατον τῆς κατὰ Χριστὸν ἡλικίας, ὡς ἐτῶν γενέσθαι τεσσάρων καὶ ἐνενήκοντα, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἀναστασίου.

Στίχ. Ἀναστάσιον τιμῶ ὡς σεβόμενον,
Τὴν ἀνάστασιν τοῦ Χριστοῦ καὶ Θεοῦ μου.

Οὗτος ὁ Ἅγιος Μάρτυς τοῦ Χριστοῦ Ἀναστάσιος, ἰδὼν ποτὲ τοὺς Ἁγίους Μάρτυρας ὑπὸ τῶν Ἑλλήνων ἀναιρουμένους καὶ ἀνακρινομένους, καὶ μεληδὸν κατατεμνομένους ὑπὲρ τῆς τοῦ Θεοῦ ὁμολογίας, Χριστιανὸς ὤν, καὶ μεμνημένος τὰ τούτοις ἐκ Θεοῦ ἀποκείμενα ἀγαθὰ, ἐπεθύμει καὶ αὐτὸς τὸν ἴσον ἀγωνίσασθαι δρόμον. Καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν, ἐθερμάνθη ἡ καρδία αὐτοῦ, καὶ τῷ Σταυρῷ σημειωσάμενος ἅπαν τὸ σῶμα αὐτοῦ, ἐπὶ τὸ στάδιον ἔδραμε, καὶ τοῖς ἐν μέσῳ τοῦ συνεδρίου μεγάλῃ φωνῇ ἐξεβόησεν. Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Πάντων δὲ ἀτενισάντων εἰς αὐτὸν, εἶπεν· Ἀκούσατε οἱ ὑπηρέται πάντες τοῦ διαβόλου, ἀκούσατε· ἐγὼ Χριστιανός εἰμι, καὶ εἰς τὸν Κύριόν μου Ἰησοῦν Χριστὸν πιστεύω. τὰ δὲ εἴδωλα ὑμῶν, καὶ

τὰς

Digitized by Google

τοὺς ταῦτα προσκυνοῦντας, ἀναθεματίζω καὶ ἀποστρέφομαι. Οἱ δὲ, τὸ πεπαῤῥησιασμένον αὐτοῦ θεασάμενοι, ἐξεπλάγησαν. Καὶ εὐθὺς ἀποδύσαντες αὐτὸν, ἐμάστιξαν σφοδρῶς, καὶ εἶπον· Ταῦτα μὲν εἰσὶ τῆς προπετείας καὶ ἀναιδείας σου. ὅτι δὲ τὸν Χριστὸν σέβῃ μὴ ἀρνούμενος αὐτὸν, τὴν κεφαλὴν σου ἀποτμηθήσῃ, βορὰ ἰχθύων καὶ ἑρπετῶν, καὶ πετεινῶν ἐναλίων τῇ σήμερον γενήσῃ. Ὅνπερ εὐθέως οἱ δήμιοι λαβόντες, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ. καὶ μικρὸν τῆς γῆς ἀποβάντες, ἐν τῇ Θαλάσσῃ ἀπέῤῥιψαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Διογένης, λιθοβοληθεὶς τελειοῦται.

Στιχ. Χαίρων ὑπ' ἀνδρῶν, ἐνδιδύσκεται πλάνων.
Χιτῶνα Μάρτυς λάϊνον Διογένης.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ἀβέρκιος, ξίφει τελειοῦται.

Στ. Ἔπαθλον Ἀβερκίου τῆς τομῆς μέγα.
Οὐ γὰρ κότινος, Οὐρανὸς δὲ τὸ στέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Νόμμος, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Φυγόντα Νόμμον ἀντικειμένην πέδην,
Πεδοῦσι νεκρὸν κείμενον ταῖς κηρείαις.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ. Θεοῦ συγκατάβασιν.

Ἀπέθου τὰ πρόσκαιρα, τῶν αἰωνίων διαμειβόμενος, σὺν Ἀγγέλοις χορεύεις, ὡς τῶν Ἀγγέλων πολιτευσάμενος, τὴν πολιτείαν, οἷς περ καὶ συνέψαλλες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Βοᾷ χαριστήρια, ἡ σὴ μεγίστη Λαύρα καὶ πάντιμος, οἰκιστὴν σε καὶ Κτίστην, καὶ πολιοῦχον προβαλλομένη σοφὲ, καὶ καυχωμένη κραυγάζει πρὸς Κύριον· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄπαυστος ἱκέτευε Σάββα θεόφρον ὑπὲρ τῆς ποίμνης σου. ἐκτενῶς οὓς δυσωπεῖ, τοὺς σοὺς καμάτους διαιωνίζειν ἀεὶ, καρποφοροῦντας, τοὺς πόθῳ κραυγάζοντας· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νυμφῶνα παναχραντον, τῆς ὑπὲρ λόγον Λόγου σαρκώσεως, καὶ Παστάδα καὶ Θρόνον, ὀρθὰ φρονοῦντες σὲ ὀνομάζομεν, καὶ γεγηθότες, τῷ τόκῳ σου ψάλλομεν· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η. Ἑπταπλασίως κάμινον.

Ἐν εὐφροσύνῃ Ὅσιε, τῶν Ἁγίων τὰ Τάγματα, τῇ καθαρωτάτῃ σου ψυχῇ προστρέχουσιν, εἰς τόπον ἀφέσεως, εἰς φωτεινὰ σκηνώματα, ἔνθα τῶν Ἁγίων, οἱ χοροὶ ποδηγοῦνται, μεθ' ὧν νῦν ἀναμέλπεις· Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ζένα τὰ σὰ θαυμάσια, τοὺς γὰρ θῆρας ἡμέρωσας, προκατηρεμήσας, τῶν παθῶν τὰ κύματα, προλέγεις τὰ μέλλοντα, προφητικῷ χαρίσματι, στέφη τῶν δαιμόνων, φυγαδεύων ἐλαύνεις, εὐτόνοις ἀγρυπνίαις, προσευχαῖς καὶ νηστείαις, Σταυροῦ τε τῇ ἀμάχῳ, δυνάμει Θεοφόρε.

Ὁ Μωϋσῆ τὸ πρότερον, ἀπὸ Στύλου φθεγγόμενος, στύλον ἀπὸ γῆς, εἰς οὐρανοὺς ὁλόφωτον, ἐκτείνας σοι ἔδειξεν. ἔνθα καὶ νῦν κατάκειται, τὸ καρτερικόν σου, καὶ πολύαθλον σῶμα, ᾧ πιστοὶ παρεστῶτες, εὐσεβῶς, μελῳδοῦμεν· Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Χαρμονικῶς ἡ μνήμη σου, ἐκτελεῖται Παμεύφημε, τὴν χαροποιὸν γὰρ, ἀρετὴν ἐνδέδυσαι, τὸ ὄντως ἱμάτιον, τῆς σωτηρίας καὶ καθαρὸν, καὶ φωτοειδῆ τῆς εὐφροσύνης χιτῶνα, ᾧ νῦν ὡραϊσμένος, μελῳδεῖς ἀνενδότως· Λαὸς ὑπερυψοῦτε. Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἀπειρογάμως τέτοκας, καὶ Παρθένος διέμεινας, καὶ τῷ ξένῳ τόκῳ σου, συνῆψας ἅπαντα, τὸν χρόνιον πόλεμον, καὶ τὴν μακρὰν διάστασιν, λύσασα Χριστὸν, τὸν τῆς εἰρήνης δοτῆρα, βαστάζουσα ἐν κόλποις. ὃν πιστῶς εὐλογοῦντες, σὲ πόθῳ ἀνυμνοῦμεν, τὴν μόνην Θεοτόκον.

Ὠδὴ θ. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Μυρίζεσαι ἡ θήκη Πραγματικὴν, εὐωδίαν πλουσίως, εὐφραίνουσα, τοὺς σοὺς Υἱοὺς, σὲ περιεστῶτας εἰλικρινῶς, ἐνθυμουμένους. Ὅσιε, τὴν Ἀγγελικήν σου διαγωγὴν,

Digitized by Google

γλῶ, ϗ τὴν σοὶ δεδομένην, λαμπρότητα ϗ δόξαν, ϗ τὴν ἀΐδιον τερπνότητα.

Ἐρράγη ἐν ἐρήμῳ ὕδωρ ϗ γῆ, ἡ διψῶσα εἰς ἕλη ἐγένετο, ταῖς προσευχαῖς, μετασκευασθεῖσα Πάτερ ταῖς σαῖς. ἀσκητικαὶ γὰρ φάλαγγες, ταύτην κατοικοῦσι ποταμηδόν, ἡ χώρα Ἰορδάνου, ἠξιώθησαν ὡς κρίνον, ἀρδευομένη τοῖς σοῖς δάκρυσιν.

Λαμπρότης τῶν Ἁγίων ἐν Οὐρανοῖς, ὡς δικαίῳ σοι Πάτερ ἀνέτειλε. τὸν γὰρ Χριστόν, τὴν δικαιοσύνην τὴν ἀληθῆ. περιχαρῶς ἠγάπησας, οὗ τὴν πολιτείαν ἐκμιμούμενος, τὴν τούτου ζωηφόρον, Παμμάκαρ ἐμιμήσω, ὡς δυνατὸν σοι ἁγιότητα.

Πλουσίως Θεοφόρε λάμπων φωτὶ, καὶ χορείας Ἀγγέλων θεώμενος, φωτοειδεῖς, περιπολεύσας τὸ τελειότερον φῶς, ϗ δεχομένας χάριτι, τὰς τῆς θεοπτίας ἐπιβολάς, μὴ παύσῃ ἱκετεύων, ἀφέσεως πταισμάτων, ἀξιωθῆναι τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Ὡράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός. ὃν μόνον ϗ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ ϗ τὸ σῶμα περιβέβληται.

Ὁ Εἱρμός. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τὴν ἔρημον ἐπόλησας, τρόποις ἐν φιλοσόφοις, Πατέρων τὸ ἀγλάϊσμα, Σάββα Πάτερ Θεόφρον, ϗ ταύτην ἀπετέλεσας, νοητὸν Παράδεισον, κομῶσαν ἄνθεσι θείοις, μονοτρόπων τὰ πλήθη, τῶν ἀξίως τελούντων, τὴν σὴν σεβάσμιον μνήμην.

Ἕτερον. Φῶς ἀναλλοίωτον Λόγε.

Ἡ Ἔρημος εὐφραινέσθω, ϗ ἐξανθείτω ὡς κρίνον, ὅτι ἐπλήθυνας ταύτης, τὰ τέκνα Σάββα Θεόφρον. ἡ χώρα τοῦ Ἰορδάνου, ἀγαλλιάσθω νῦν χαρμοσύνως, ἐν τῇ θείᾳ σου μνήμῃ. Θεοτοκίον.

Χρυσοπλοκωτάτε Πύργε, ϗ δωδεκατείχε Πόλις, ἡλιοστάλακτε Θρόνε, Καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

Εἰς τοὺς Αἴνους ἱστῶμεν στ. δ'. ϗ ψάλλομεν στ. προσόμοια, γ'. δευτεροῦντες, τὸ α. Ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Ὁ ὑπερόπτης τῶν κάτω, ϗ παρεπίδημος, ὁ ἐραστὴς τῶν ἄνω, ϗ ἐρημοπολίτης, Σάββας ὁ Θεόφρων, πάντας ἡμᾶς, ἑορτάσαι προτρέπεται, τῆς πρὸς Θεὸν ἐκδημίας αὐτοῦ πιστῶς, τὴν ἡμέραν τὴν σεβάσμιον. Δίς.

Ἔξω σαρκὸς ϗ τοῦ Κόσμου, ταῖς ἀρεταῖς γεγονώς, ϗ δι' αὐτῶν δοξάσας, ἐπὶ γῆς διὰ βίου, τὸν Κύριον τῆς δόξης, Πάτερ σοφὲ, κατ' ἀξίαν δεδόξασαι, ϗ ἰαμάτων ἐδείχθης θεία πηγή, παρ' αὐτοῦ Σάββα Θεόληπτε.

Μέτριος ἄκακος πρᾶος, ἁπλοῦς ἡσύχιος, ὡς χρηματίσας Πάτερ, ὑπὲρ ἄνθρωπον ὄντως, ϗ ἄϋλος ἐν ὕλῃ, οἶκος Θεοῦ, καθωράθης πανάξιος, τὰς ἐξ αὐτοῦ προϊούσας σοι δωρεάς, συμπαθῶς διαπορθμεύων ἡμῖν.

Δόξα. Ἦχος Πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παῤῥησίαν ἔχων πρὸς Θεὸν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν. Καὶ νῦν. Θε. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, ϗ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τυπικὰ, ϗ ἀπὸ τοῦ Κανόνος, Ὠδὴ γ'. καὶ ς'.

---

Τῷ αὐτῷ Μηνὶ Ϛ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στ. δ'. ϗ ψάλλομεν στ. προσόμοια. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Μύρῳ θείῳ σε ἔχρισε, θεία χάρις τοῦ Πνεύματος, Μύρον προεδρεύσαντα ϗ μυρίσαντα, ταῖς ἀρεταῖς ἱερώτατε, τοῦ Κόσμου

μου τὰ πέρατα, ἡδυπνόοις τε εὐχαῖς, τὰ δυσώδη διακόπτων πάθη πάντοτε. διὰ τοῦτό σε πίστει εὐφημοῦμεν, καὶ τελοῦμεν σου τὴν μνήμην, τὴν πανάγιαν Νικόλαε.

Ὡς λαμπτῆρά σε ἄδυτον, ὡς φωστῆρα παγκόσμιον, ἐν τῷ στερεώματι ἀναλάμψαντα, τῆς Ἐκκλησίας Νικόλαε, καὶ Κόσμον φωτίζοντα, καὶ κινδύνων χαλεπῶν, τὴν ἀχλὺν ἀπελαύνοντα, καὶ ἐξαίροντα, ἀθείας χειμῶνα καὶ γαλήνην, ἐργαζόμενον βαθεῖαν, χρεωστικῶς μακαρίζομεν.

Καὶ παρὼν καὶ φαινόμενος, ἐν ὀνείροις Νικόλαε, τοὺς ἀδίκως μέλλοντας θνήσκειν ἔσωσας, ὡς συμπαθὴς ὡς φιλάγαθος, ὡς ῥύστης θερμότατος, ὡς προστάτης ἀληθής, τῶν πιστῶς ἐξαιτούντων σου, τὴν ἀντίληψιν, ἱερώτατε Πάτερ τῶν Ἀγγέλων, συμπολῖτα Ἀποστόλων, καὶ Προφητῶν ἰσοστάσιε. Δόξα. Ἦχος πλ. β.

Κληρονόμε Θεοῦ, συγκληρονόμε Χριστοῦ, λειτουργὲ Κυρίου ἅγιε Νικόλαε, κατὰ τὸ ὄνομά σου, οὕτω καὶ ἡ πολιτεία σου. συνεξέλαμψε γὰρ ἐκ πολιᾶς ἡ σύνεσις. ἐμαρτύρει τὸ φαιδρὸν τοῦ προσώπου σου, τῆς ψυχῆς τὸ ἐνεξίκακον. ἐβεβαίου τὴν πραότητα, τοῦ λόγου τὸ ἥσυχον, ἡ ζωή σου ἔνδοξε, καὶ ἡ κοίμησις μετὰ Ἁγίων· πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Εἰς τὸν Στ. ἧ. Ἦχος Πλ. β΄.

Τριήμερος ἀνέστης Χριστέ.

Νικόλαε Μακάριε, προσπίπτοντά με οἴκτειρον, δέομαί σου, καὶ τὰ ὄμματα σοφὲ, φώτισον τῆς ψυχῆς μου, ἵνα καθαρῶς βλέψω, τὸν Φωτοδότην καὶ Οἰκτίρμονα.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Ἐχθρῶν ἐπιζητούντων με, κακοποιῆσαι Ἅγιε, ἐξέλου με, παῤῥησίαν πρὸς Θεὸν, ὡς ἔχων Ἱεράρχα, Νικόλαε παμμάκαρ, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.

Στ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσ.

Τιμῶνά σε ἀχείμαστον, καὶ τεῖχος ἀπρόσμαχητον, Ἱεράρχα, σὲ κεκτήμεθα πιστοὶ, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, καὶ ὁδηγὸν ψυχῶν καὶ πρόμαχον. Δόξα. καὶ νῦν. Θεοτοκίον.

Ζηλώσας ὁ ἀντίδικος, τὴν ποίμνην σου Πανάχραντε, καθ' ἑκάστην, ἐκζητεῖ ὁ πονηρὸς, κατάβρωμα ποιῆσαι. ἀλλὰ σὺ Θεοτόκε, τῆς τούτου βλάβης ἐξελοῦ ἡμᾶς. Ἀπολυτίκιον. Ἦχος δ΄. Κανόνα πίστεως.

Καὶ ἀπόλυσις.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, ψάλλομεν τό, Μακάριος ἀνήρ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η΄. καὶ ψάλ. τὰ προσόμοια. Ἦχος β΄.

Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

Μύροις, παροικήσας αἰσθητῶς, Μύρον ἀληθῶς ἀνεδείχθης, Μύρῳ χρισθεὶς νοητῷ, ἅγιε Νικόλαε, Ἀρχιεράρχα Χριστοῦ, καὶ μυρίζεις τὰ πρόσωπα, τῶν πίστει καὶ πόθῳ, σοῦ τὴν πανάοιδιμον, μνήμην τελούντων ἀεί. λύων συμφορῶν καὶ κινδύνων, τούτους καὶ τῶν θλίψεων Πάτερ, ἐν ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου.

Νίκη, φερωνύμως ἀληθῶς, τοῦ πιστοῦ λαοῦ ἀνεδείχθης, ἐν πειρασμοῖς κραταιά, Ἅγιε Νικόλαε, θεράπων ὄντως Χριστοῦ. πανταχοῦ γὰρ καλούμενος, ὀξέως προφθάνεις, πόθῳ τοὺς προστρέχοντας, ὑπὸ τὴν σκέπην σου. σὺ γὰρ ἐν νυκτὶ καὶ ἡμέρᾳ, πίστει ὀπτανόμενος σώζεις, ἐκ τῶν πειρασμῶν καὶ περιστάσεων.

Ὤφθης, Κωνσταντίνῳ Βασιλεῖ, σὺν τῷ Ἀβλαβίῳ κατ' ὄναρ, καὶ τούτους φόβῳ βαλὼν, οὕτως αὐτοῖς εἴρηκας, τοὺς ἀπολῦσαι σπουδῇ, ἐν εἱρκτῇ οὓς κατέχετε, δεσμίους ἐν φρουρᾷ, ἀθῷοι τυγχάνουσι, τῆς παρανόμου σφαγῆς. ὅμως ἐὰν παρακούσῃς μου, ἔντευξιν ποιήσομαι Ἄναξ, κατὰ σοῦ πρὸς Κύριον δεόμενος.

Μέγας, ἀντιλήπτωρ καὶ θερμὸς, τοῖς ἐν τοῖς κινδύνοις τελοῦσιν, ὑπάρχεις ἔνδοξε, Ἅγιε Νικόλαε, ἱεροκήρυξ Χριστοῦ, τοῖς ἐν γῇ καὶ τοῖς πλέουσι, τοῖς πόῤῥω καὶ πέλας, οἷα συμπαθέστατος, καὶ πρεσβευτὴς κραταιός. ὅθεν συνελθόντες βοῶμεν, πρέσβευε πρὸς Κύριον ὅπως, πάσης λυτρωθῶμεν περιστάσεως.

Ἕτε-

Digitized by Google

Ἕτερα ϛ̃. προσόμ. Ἦχος ὁ αὐτός.

Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην; τὸν σαρκὶ ἐν Μύροις ὑπάρχοντα, καὶ Πνευματικῶς πᾶσι προφθάνοντα, τοῖς εἰλικρινῶς αὐτὸν ποθοῦσι; τὸ πάντων, τῶν θλιβομένων παραμύθιον, καὶ πάντων τῶν ἐν κινδύνοις καταφύγιον, τῆς εὐσεβείας τὸν πύργον, τῶν πιστῶν τὸν πρόμαχον, τὸν δι' οὗ ὀφρὺν δυσμενῶν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις μελῳδικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν Ἱεράρχην; τὸν τῆς ἀσεβείας ἀντίπαλον, καὶ τῆς εὐσεβείας ὑπέρμαχον; τὸν τῆς Ἐκκλησίας πρωτοστάτην, τὸν μέγαν, προασπιστήν τε καὶ διδάσκαλον, τὸν πάντας, τοὺς κακοδόξους καταισχύνοντα, τὸν ὀλετῆρα Ἀρείου, καὶ θερμὸν ἀντίμαχον. τὸν δι' οὗ τὴν τούτου ὀφρὺν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις προφητικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν Ἱεράρχην; τὸν τὰ πόῤῥω ὄντα προβλέποντα, καὶ τὰ διεστῶτα ὡς παρόντα προθεσπίζοντα; τὸν πᾶσαν τὴν οἰκουμένην περιθέοντα, καὶ πάντας ἀδικουμένους ἐκλυτρούμενον; τὸν ἐν ὀνείροις ὀφθέντα, Βασιλεῖ θεόφρονι, καὶ τοὺς τρεῖς δεσμίους σφαγῆς ἀδίκου ῥυσάμενον, τὸν πλουτοῦντα τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος Πλ. β'.

Ἱεραρχῶν τὴν καλλονὴν, καὶ τῶν Πατέρων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· Χαίροις ὁ τῶν Μυρέων φρουρὸς, καὶ πρόεδρος σεπτὸς, καὶ στῦλος ἀπερίτρεπτος. Χαίροις φωστὴρ παμφαέστατε, ὁ τὰ τοῦ Κόσμου πέρατα, διαλάμπων τοῖς θαύμασι. Χαίροις τῶν θλιβομένων, ἡ θεία χαρμοσύνη, καὶ ἀδικουμένων θερμότατος προστάτης. καὶ νῦν Παμμάκαρ Νικόλαε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων ἀεὶ, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου. ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτὸν, καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος, ἐκ Παρθένου Μητρός. ὃν περ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός; Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. γ'. 13. Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, (οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρὸν, εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν.) πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς, ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης (Κεφ. η. 6.) φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία, κατεσκήνωσα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ, χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν αὐτοῖς σκολιὸν,



Digitized by Google

λιον, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος. Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. ι. 12. Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία. στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. ἀποθανὼν δίκαιος ἔλιπε μεταμέλον. πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίων εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματι δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. δ. 7. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Καὶ γίνεται ἡ συνήθης ἐκτενής.

Εἰς τὴν Λιτὴν ψαλλόμενα στιχηρὰ ἰδιόμελα. Ἦχος α΄.

Ἐματεύσας ἀκλινῶς, τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως, σοφίας τὸν βυθόν, σαῖς διδαχαῖς, Κόσμον κατεπλούτισας Πάτερ, ὑπὲρ ἡμῶν ἀεὶ Χριστὸν δυσώπει, Ἱεράρχα Νικόλαε. Ὁ αὐτός.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπων, καὶ οἰκονόμε τῶν αὐτοῦ μυστηρίων, καὶ ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος, στήλη τε ἔμψυχε, καὶ ἔμπνους εἰκών. ὡς θεῖον γὰρ θησαυρόν σε, ἡ τῶν Μυρέων Ἐκκλησία, ἀγαμένη προσήκατο, καὶ πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἀνέδειξέ σε τῇ ποίμνῃ σου Χριστὸς ὁ Θεός, Ἱεράρχα Νικόλαε. ἐν γὰρ τοῖς Μύροις μυρίζων, διαλάμπεις φαιδρῶς τοῖς θείοις σου κατορθώμασιν, ὀρφανῶν καὶ χηρῶν προστάτα, διὸ ἱκετεύων μὴ παύσῃ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Πάτερ Νικόλαε, ἡ μυροθήκη τῶν λειψάνων σου, τὰ Μύρα πολιουχεῖ. ἐν ᾗ καὶ δεσμίους ἀκατακρίτως κατακριθέντας, ἐν ὀνείρῳ Βασιλεῖ, τῇ ὀπτασίᾳ σου φανείς, ἠλευθέρωσας θανάτου, δεσμῶν καὶ φυλακῆς. ἀλλὰ καὶ νῦν, ὡς τότε καὶ ἀεί, δι' ὀπτασίας σου φάνηθι, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Πάτερ Νικόλαε, εἰ καὶ τὰ Μύρα σιωπᾷ, ἀλλ' ὁ Κόσμος ὅλος ὁ ὑπὸ σοῦ φωτισθείς, τῆς τε τοῦ Μύρου εὐωδίας, καὶ τῶν θαυμάτων τοῦ πλήθους, ἀνακράζει εὐφήμοις ὑμνῳδίαις, καὶ οἱ σωθέντες διὰ σοῦ κατάκριτοι. σὺν τοῖς ἐν Μύροις καὶ ἡμεῖς μέλποντες βοῶμεν· πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἦχος δ΄.

Πάτερ Νικόλαε, τοῦ Παναγίου Πνεύματος μυροθήκη ὑπάρχων, ὡς ἔαρ μυρίζεις εὐφρόσυνον, τῶν θείων ἀρωμάτων Χριστοῦ.

τῶν

Digitized by Google

τῶν Ἀποστόλων γὰρ μιμητὴς γενόμενος, τὴν οἰκουμένην περιπολεύσας, διὰ τῶν λόγων τῶν θαυμάτων σου. Ὅθεν καὶ τοῖς πόρρω ὡς ἐγγὺς δι' ὀνείρων ὀπτανόμενος, ἐκ θανάτου λυτρῶσαι, τοὺς ἀδίκῳ ψήφῳ θνήσκειν μέλλοντας, διασώζων παραδόξως, ἐκ κινδύνων πολλῶν, τοὺς ἐπικαλουμένους σε. Διὸ καὶ ἡμᾶς, τῶν ἐπεμβαινόντων δυσχερῶν, ἐλευθέρωσον ταῖς πρεσβείαις, τοὺς ἀεὶ ἀνευφημοῦντας σε. Ἦχος Πλ. β΄.

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ, σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας. διὸ πύλη σοι Οὐρανῶν ἠνέῳκται. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν Ἅγιε Νικόλαε.

Ἦχος Πλ. δ΄.

Εἰς αἶνον ἔδραμες τοῦ Κυρίου Νικόλαε, ἐν τῇ προσκαίρῳ ζωῇ, καὶ αὐτός σε ἐδόξασεν ἐν τῇ ἐπουρανίῳ, καὶ ὄντως ζωῇ. Διὸ παῤῥησίαν κεκτημένος πρὸς αὐτόν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα. Ἦχος Πλ. δ΄.

Τῶν ἀνδραγαθημάτων σου Ὅσιε Πάτερ ὁ καρπὸς ἐφαίδρυνε τῶν πιστῶν τὰς καρδίας. τίς γὰρ ἀκούων τὴν ἄμετρόν σου ταπείνωσιν, τὴν ὑπομονὴν οὐκ ἐθαύμασε; τὴν πρὸς τοὺς [illegible]ντας ἱλαρότητα, θλιβομένων τὸ συμπ[illegible]ές; πάντας θεοπρεπῶς ἐδίδαξας, Ἱε[ράρ]χα Νικόλαε. καὶ νῦν τὸν ἀμαράντινον [ἀν]αδησάμενος στέφανον, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν, ὁ αὐτός.

Βηθλεὲμ ἑτοιμάζου, ἀνεῳγέτω ἡ Φάτνη, τὸ σπήλαιον δεχέσθω, ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε, καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ, κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν. Καὶ αἱ συνήθεις εὐχαί.

Εἰς τὸν σ. σ. προσόμοια. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ ἱερὰ κεφαλή, τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον, ὁ θεῖος τῆς θεοπτίας, ἱερωσύνης κανών, ὁ Ποιμὴν ὁ μέγας ὁ φανότατος. Πυρσὸς ὁ τῆς νίκης, ἐπιφερόμενος ὄνομα. ὁ δεομένοις, συμπαθῶς ἐπικλώμενος, ὁ καμπτόμενος, ἀνθρώπων ταῖς δεήσεσι. ῥύστης ὁ ἑτοιμότατος, φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς πίστει τελοῦσι, τὴν πανἀοίδιμον μνήμην σου, Χριστὸν καταπέμψαι, Παμμακάριστε δυσώπει, τὸ μέγα ἔλεος.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Χαίροις ὁ ἱερώτατος νοῦς, τὸ τῆς Τριάδος καθαρὸν ἐνδιαίτημα, ὁ Στύλος τῆς Ἐκκλησίας, ὁ τῶν πιστῶν στηριγμός, καταπονουμένων ἡ βοήθεια. Ἀστὴρ ὁ ταῖς λάμψεσιν, εὐπροσδέκτων δεήσεων, διασκεδάζων, πειρασμῶν τε καὶ θλίψεων, σκότος πάντοτε, Ἱεράρχα Νικόλαε. ὅρμος ὁ γαληνότατος, ἐν ᾧ καταφεύγοντες, οἱ τρικυμίαις τοῦ βίου, περιϊστάμενοι σώζονται. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χαίροις ὁ ζήλου θείου πλησθείς, ἀπαγωγῆς τε πονηρᾶς λυτρωσάμενος, ἀδίκως μέλλοντας θνήσκειν, ἐπιστασίᾳ φρικτῇ, καὶ ταῖς δι' ὀνείρων προσφοιτήσεσι. Πηγὴ ἡ πηγάζουσα ἐν τοῖς Μύροις Νικόλαε, μύρα πλουσίως, καὶ ψυχὰς καταρδεύουσα, τὰ δυσώδη τε, τῶν παθῶν ἀπελαύνουσα. Μάχαιρα τὰ ζιζάνια, τῆς πλάνης ἐκτέμνουσα. Πτύον λικμίζον Ἀρείου, τὰ ἀχυρώδη διδάγματα. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος Πλ. β΄.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπων, λειτουργὲ Κυρίου, ἀνὴρ ἐπιθυμιῶν, σκεῦος ἐκλογῆς, στύλε καὶ ἑδραίωμα τῆς Ἐκκλησίας, Βασιλείας κληρονόμε, μὴ παρασιωπήσῃς, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Νύμφα ἄνυμφε Παρθένε, πόθεν ἥκεις; τίς ὁ τεκών σε; τίς καὶ ἡ Μήτηρ σου; πῶς τὸν Κτίστην φέρεις ἐν ἀγκάλαις; πῶς οὐκ ἐφθάρης τὴν νηδύν; μεγάλων παραδόξων ἐν σοὶ φρικτῶν μυστηρίων, ἐπὶ γῆς τελουμένων, ὁρῶμεν Πανάγια, καὶ προαπεγεπίζομεν ἐπάξιόν σοι χρέος, ἐκ τῆς γῆς τὸ σπήλαιον,



Digitized by Google

καὶ Οὐρανὸν αἰτοῦμεν, παρασχεῖν τὸν Ἀστέρα. καὶ Μάγοι δὲ προέρχονται, ἀπὸ ἀνατολῶν τῆς γῆς, εἰς δυσμὰς θεάσασθαι, τὴν βροτῶν σωτηρίαν, ἀγκάλαις βασταζόμενον. Τροπάριον. Ἦχος δ΄.

Κανόνα πίστεως, καὶ εἰκόνα πραότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια. διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλὰ, τῇ πτωχείᾳ τὰ πλούσια. Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως, ὑπὲρ ἡμῶν καταδεξάμενος. δι᾽ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ ἡ λοιπὴ Ἀκολ. τῆς Ἀγρυπνίας. Εἰς τὸν Ὄρθρον ἡ συνήθης στιχολ. καὶ ὁ Πολυέλεος. Εἰς τὴν α΄. στιχολ. καθ. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἀστράπτεις ἐν τῇ γῇ, τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε Σοφὲ, καὶ κινεῖς πᾶσαν γλῶσσαν, εἰς δόξαν τε καὶ αἴνεσιν, τοῦ ἐν γῇ σε δοξάσαντος. ὃν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς τὴν μνήμην σου, πίστει καὶ πόθῳ τιμῶντας, Πατέρων ἐκλόγιον. Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθη, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν δευτέραν στιχολ. καθ. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Τῶν πιστῶν προΐστασαι, σκέπων φρουρῶν τούτους Μάκαρ, πάσης θλίψεως, ἀπολυτρούμενος σαφῶς, Ἱεραρχῶν ὡραιότατον, κλέος καὶ δόξα, Νικόλαε Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις, καὶ Πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σὲ, ἀπὸ κινδύνων με λύτρωσαι, καὶ μὴ παρόψῃ ἡ πάντων βοήθεια.

Μετὰ τὸν Πολυέλεον. καθ. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε,

Προστάτης θερμότατος, τῆς Ἐκκλησίας Χριστοῦ, ἐδείχθης Νικόλαε, τὰ τῶν αἱρέσεων, διδάγματα ἄθεα, λύων σὺ παρρησίᾳ. καὶ κανὼν ἀνεδείχθης, πᾶσιν ὀρθοδοξίας, ὑπὲρ πάντων πρεσβεύων, τῶν ἑπομένων σου θείαις διδασκαλίαις καὶ εἰσηγήσεσι. Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Παναμώμε, λῦσον τὰς περιστάσεις. τῶν εἰς σὲ προστρεχόντων. σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων, Πάναγνε κατὰ τῶν δούλων σου.

Οἱ ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Τὸ, Πᾶσα πνοή. Εὐαγ. κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί.

Ὁ Ν΄. Καὶ τὸ Ἰδιόμελ. Ἦχος πλ. β΄.

Εὖ δοῦλε ἀγαθὲ, καὶ πιστέ. εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ. σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν, οὐκ ἐφθόνησας. διὸ πύλη σοι Οὐρανῶν ἠνέῳκται. εἰσελθὼν εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, Ἅγιε Νικόλαε.

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν, εἰς ϛ΄. καὶ τοῦ Ἁγίου, εἰς η΄. ὁ Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.

Σὲ Νικολάῳ τῇ Θεοτόκῳ μέλπω, καὶ πόθῳ προσᾴδω.

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

„ Ὠιδὴν ἐπινίκιον, ᾄσωμεν πάντες,
„ Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέ-
„ ρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν
„ Ἰσραὴλ, ὅτι δεδόξασται.

Σο-

Digitized by Google

Σοφίας τὴν ἄβυσσον, ἡ τετοκυῖα, στάγόνας σοφίας μοι, Πηγὴ χαριτόβρυτε, σεμνὴ κατάπεμψον, ὑμνολογῆσαι τῶν χαρίτων σου τὸ Πέλαγος.

Ὑμνῶ σε Πανύμνητε, ἣν ἀνυμνοῦσιν, Ἀγγέλων τὰ Τάγματα, ὡς Θεὸν κυήσασαν, τὸν ὑπερύμνητον. ὃν πᾶσα Κτίσις ἀνυμνεῖ, ὅτι δεδόξασται.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἄκρος.

Σοὶ Νικόλαε θεῖον ᾄδω μέλος.

Ὠδὴ ά. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Στεφηφόρος βήματι Χριστοῦ, πάνσοφε Νικόλαε, παρεστηκὼς σὺν Ἀγγέλων στρατεύμασι, φωτισμόν μοι δώρησαι, καταυγάζοντα, τῆς ψυχῆς μου τὴν ζόφωσιν. ὅπως εὐφημήσω χαίρων σου, Παμμάκαρ τὴν Πανήγυριν.

Ὁ δοξάζων πάντας τοὺς αὐτὸν, Κύριος δοξάζοντας, σὲ τοῖς πιστοῖς, καταφύγιον δέδωκε, πειρασμῶν ῥυόμενον, τοὺς προστρέχοντας, τῇ σῇ σκέπῃ Νικόλαε, καὶ προσκαλουμένους πίστει σε, καὶ πόθῳ παναοίδιμε.

Θεοτοκίον.

Ἰσωθῆναι πόθος μοι ἐνθεὶς, ὄφις ὁ πανπόνηρος, τῷ Πλαστουργῷ, ὡς αἰχμάλωτον ἥρπασε, διὰ σοῦ δὲ Πάναγνε, ἀνακέκλημαι, θεωθεὶς ἀληθέστατα. σὺ γὰρ Θεομήτωρ τὸν ἐμὲ, θεώσαντα γεγέννηκας.

Ἕτερος Κανὼν τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχὶς. κατὰ ά. β'. χωρὶς τῶν Τριαδικῶν, καὶ τῶν Θτ.

Ὠδὴ ά. Ἦχος ά. Χριστὸς γεννᾶται.

Ἀπόρῳ γλώττῃ καὶ χείλεσιν, ἐγκώμιον βραχὺ καὶ παράκλησιν, προσάξαι τῇ σῇ Νικόλαε, ἥκω θεομιμήτῳ ὑπεροχῇ. ἀλλ' ὡς πλουτοδότης, τὸν Σωτῆρα καὶ Θεὸν, ἵλεων δίδου μοι.

Βροτὸς ὑπάρχων Οὐράνιος, Ἰσάγγελος ἐν γῇ πεφανέρωσαι. χηρῶν ἀντιλήπτωρ μέγιστος, καὶ καταπονουμένων ἐκδικητὴς, πάντων θλιβομένων, ἐν κινδύνοις βοηθὸς Πάτερ Νικόλαε.

Γνωρίζει πᾶσα ὑφήλιος, Νικόλαε Τρισμάκαρ τὰ θαύματα, τῶν σῶν ἀρετῶν τὸ πέλαγος, πένητες τὸν Προστάτην,

καὶ ὀρφανοὶ, χῆραι τὸν τροφέα, καὶ τυφλοὶ τὸν ὁδηγὸν, πάντες τὸν πρόμαχον.

Τριαδικόν.

Τριάδα σέβω τὴν ἄκτιστον, Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι, Οὐσίαν ἁπλῆν Θεότητα, φύσιν μὴ τεμνομένην οὐσιωδῶς, τρεῖς τὰς ὑποστάσεις, διαιρῶν προσωπικῶς, καὶ καθ' ὑπόστασιν. Θεοτοκίον.

Ἀσπόρως Λόγον συνείληφας, τὸν ἕνα τῆς Τριάδος Παναμώμητε, καὶ τοῦτον σαρκὶ γεγέννηκας, μείνασα μετὰ τόκον ὥσπερ τὸ πρίν. τοῦτον ὡς Υἱόν σου, καὶ Θεὸν ὑπὲρ ἡμῶν αἰεὶ ἱκέτευε. Καταβασία.

„ Χριστὸς γεννᾶται δοξάσατε. Χριστὸς ἐξ „ Οὐρανῶν ἀπαντήσατε. Χριστὸς ἐ„ πὶ γῆς ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ πᾶ„ σα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσα„ τε λαοὶ, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Στερεωθήτω ἡ καρδία μου, τῇ ἐλπίδι „ Χριστὲ τῶν ἀγαθῶν σου. ἵνα ἀπαύ„ στως μετ' ᾠδῆς, τὸν ὕμνον ἀνακράζω σοι „ οὐκ ἔστιν Ἅγιος καὶ γὰρ, πλὴν σοῦ μόνε „ φιλάνθρωπε.

Οὐρανὸς ὁ καθαρώτατος; τὸ τοῦ Βασιλέως ἀνάκτορον, ὁ χαριτόπνους ἀληθῶς, καὶ εὐώδης Παράδεισος, ἡ ἐλπὶς Χριστιανῶν, ἡ Θεοτόκος ὑμνείσθω μοι.

Λόγῳ τὸν Λόγον ἀπεκύησας, τὸν τῷ λόγῳ πᾶσαν πρὸς ὕπαρξιν, παραγαγόντα λογικὴν, φύσιν ἅμα καὶ ἄλογον, ἀλογίας ἐκλυτρούμενον, βροτοὺς Παντάλογητε.

Ἄλλος. Ἐξηνθήσεν ἡ ἔρημος.

Νικόλαε Μακάριε, τοῦ Δεσπότου γνήσιος, σὺ μαθητὴς γενόμενος, διασώζεις τοὺς σοὶ προστρέχοντας, χαλεπῶν ἐκ κινδύνων, καὶ θανάτου πικροῦ.

Ἱλάσθητι τοῖς δούλοις σου, τῶν πταισμάτων ἄφεσιν, ὡς ἀγαθὸς δωρούμενος, Νικολάου τοῦ σοῦ θεράποντος, ταῖς πρὸς σὲ μεσιτείαις Πολυέλεε. Θεοτοκίον.

Κατεύνασον τὸν τάραχον, τῶν παθῶν μου Δέσποινα, καὶ τὴν ζωὴν κυβέρνησον, Παναγία Χριστὸν ἡ τέξασα. ἐν ᾧ ἐστερεώθη ἡ καρδία μου.



Digitized by Google

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Δέλτον ἐν καρδίᾳ, κεκτημένος θεόφρον πολλῶν ἀρετῶν, ἐγγεγραμμένην ἀθανάτῳ, καὶ ἀχράντῳ δακτύλῳ, Χριστοῦ τοῦ Θεοῦ Νικόλαε, ὑπὲρ κηρίον καὶ μέλι γλυκὺ, στάζεις ἐν τοῖς λόγοις σου.

Ἔδειξεν ἡ χάρις, ἐπὶ σὲ παραδόξως τὰ θαύματα. ἡ φαιδρὰ γάρ σου πολιτεία, ὦ Νικόλαε ὄντως, χρυσοῦ, παντὸς τηλαυγέστερον, ὑπεραστράπτει καὶ λάμπει ψυχαῖς, αἴγλῃ θείου Πνεύματος.

Ζῆς καὶ μετὰ πότμον, ἐν ὀνείροις σαφῶς ὀπτανόμενος, καὶ νεανίας ἐκ θανάτου, παραδόξως λυτρῶσαι, βοῶν, ἐμφανῶς τῷ Ἄνακτι· μὴ ἀδικήσῃς τοὺς ἄνδρας ἐπεὶ, φθόνῳ διεβλήθησαν. Τριαδικόν.

Ἵλεως γενοῦ μοι, Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, τῷ ἐν ἀμέτροις πλημμελείαις, ῥυπωθέντι τῷ βίῳ, Πατὴρ, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν, διατηροῦσά με πάντοθεν καὶ ἀεὶ, ἄτρωτον ἐκ θλίψεως. Θεοτοκ.

Νέμοις Θεοτόκε, Σωτηρίας ἐλπίδα τοῖς δούλοις σου, καὶ ἐν ἀνάγκαις καὶ κινδύνοις, ταχυδρόμοις πρεσβείαις, φρουρεῖν, βοηθεῖν παράστηθι, σὺ γὰρ τὸ κλέος ἡμῶν τῶν πιστῶν, πέλεις Θεονύμφευτε. Καταβ.

„ Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεν-
„ νηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχά-
„ των ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως,
„ Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας
„ τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Ποταμὸν ἰαμάτων ὑπερχειλῆ, καὶ Πηγὴν σε θαυμάτων ἀνέκλειπτη, ἔδειξε Νικόλαε, τοῦ ἐλέους ἡ ἄβυσσος. οἱ γὰρ βαρείαις νόσοις, πικρῶς πιεζόμενοι, καὶ συμφοραῖς τοῦ βίου, δεινῶς ἐτασζόμενοι, πάσης ἀθυμίας, ἀκεσώδυνον ὄντως, εὑρίσκουσι φάρμακον, τὴν θερμήν σου ἀντίληψιν. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τὸν Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις φέρεις, τὸν φέροντα ἅπαντα, τὸν προφοδότην πάντων, καὶ Κτίστην τῆς κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων με, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι, Δέσποινα Παρθένε Ἁγνή. καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανύμνητε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ἐν Πνεύματι προβλέπων προφῆτα
„ Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκωσιν,
„ ἐκήρυττες βοῶν, ἐν τῷ ἐγγίζειν τὰ ἔτη
„ ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν
„ ἀναδειχθήσῃ. δόξα τῇ δυνάμει σου Κύριε.

Θανάτου μὲν αἰτία, ἡ Εὔα τοῖς βροτοῖς, συμβουλίᾳ ὄφεως, γεγένηται Ἁγνή. σὺ δὲ Παρθένε τεκοῦσα λόγῳ τὸν Λόγον, ἀθανασίας καὶ ζωῆς πρόξενος ὤφθης. ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

Ἐν Πνεύματι Προφῆται, προεῖδόν σε Ἁγνὴ, Ὄρος Πύλην Τράπεζαν, Ἁγίαν Κιβωτὸν, Λυχνίαν Θρόνον ζωῆς, Στάμνον καὶ Κλίμακα, Θεοῦ Μητέρα, ἐν συμβόλοις σὲ δηλοῦντες, ὧν ἡμεῖς ὁρῶμεν τὴν ἔκβασιν.

Ἄλλος. Ἐλήλυθας, ἐκ Παρθένου.

Ὡμίλησας, καθαρῶς ταῖς ἀκτῖσι τοῦ πνεύματος, φωτοφόρος γέγονας, κόσμου φωτίζων τὰ πέρατα, πᾶσι παριστάμενος, καὶ πάντας σώζων, τοὺς πίστει σοι προστρέχοντας.

Λυτρούμενος, ἐκ θανάτου ὡς ὤφθης τὸ πρότερον, νεανίας Ὅσιε, οὕτω καὶ νῦν με διάσωσον, πάσης περιστάσεως, καὶ πειρασμῶν καὶ κινδύνων Παμμακάριστε.

Ἐπήστραψας, ἀρετῶν λαμπηδόνας Πανόλβιε, μιμητὴς παναρίστος, τοῦ σοῦ Δεσπότου γενόμενος, σώζεις δὲ καλούμενος, τοὺς εὐλαβείᾳ καὶ πόθῳ, σὲ δοξάζοντας. Θτ.

Ἐλήλυθεν, ἐπὶ σοὶ ὁ Δεσπότης καὶ Κύριος, σωματωθησόμενος, καὶ διασώσων ὡς εὔσπλαγχνος, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι· χαῖρε Θεοτόκε Πανάμωμε.

Ἀλ-

Digitized by Google

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ἡ κλῆσίς σου μόνη ἀληθῶς, ἐν πάσαις τῶν Ἐθνῶν βουλαῖς, προσκαλουμένη θᾶττον ῥύεται, τοὺς κράζοντάς σοι θερμῶς, ἱερὲ Νικόλαε. ὡς πρὶν στρατηλάτας ἐλυτρώσω, διάσωσον καὶ ἡμᾶς, ἐκ πάσης δεινῆς περιστάσεως.

Θρόνῳ παριστάμενος Θεοῦ, πρεσβεύειν ἐκτενῶς σοφὲ, μὴ διαλίπῃς ὑπὲρ πάντων ἡμῶν, τῶν σῶν πιστῶν οἰκετῶν, θαυμαστὲ Νικόλαε. ἵνα τοῦ πυρὸς τοῦ αἰωνίου, ῥυσθῶμεν καὶ τῶν Ἐθνῶν, γλώσσης πονηρᾶς καὶ κακώσεως.

Νάματα βρύεις πανταχοῦ, τοῖς πίστει σοι προστρέχουσι, καὶ ἐκ δεσμῶν λυτροῦσαι ἅπαντας. διὸ τὴν λύπην ἡμῶν, εἰς χαρὰν μετάβαλε, ταῖς σαῖς εὐπροσδέκτοις ἱκεσίαις, Νικόλαε φαεινὲ, θραύων τὴν ὀφρὺν τῶν ἐχθρῶν ἡμῶν.

Τριαδικόν.

Ἄναρχον Θεότητος Ἀρχὴν, Πατέρα καὶ Υἱὸν τιμῶ, καὶ Πνεῦμα σέβω τὸ πανάγιον, τὴν πάντων παντουργικὴν, ἑνιαίαν ἄτμητον, τρισὶ χαρακτῆρσι καὶ προσώποις, διῃρημένην ἀεὶ, μίαν βασιλείαν ἀμέριστον.

Θεοτοκίον.

Εὖ ὄντως ἐπέκεινα βροτῶν, Ἀγγέλων τε ὑπέρτιμος, Θεογεννήτωρ Κόρη πέφηνας. τὸν πάντων γὰρ Ποιητὴν, ἐν γαστρὶ συνείληφας, σάρκα ὑλικὴν ἠμφιεσμένον, τεκοῦσα δίχα σπορᾶς. ὢ καινοπρεποῦς θεωρήματος.

Καταβασία.

„Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος „ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρθένου „ἀνεβλάστησας. ἐξ ὄρους ὁ αἰνετὸς, κατα„σκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπει„ράνδρου, ὁ ἄϋλος καὶ Θεός. δόξα τῇ δυνά„μει σου Κύριε.

Ὠδὴ η. Ὁ Εἱρμός.

„Τὸ φαεινὸν ἡμῖν ἐξαπόστειλον, φῶς „τὸ ἀπρόσιτον, τοῖς ὀρθρίζουσιν, ἐπὶ „τὰ κρίματα τῶν ἐντολῶν σου, Δέσποτα „φιλάνθρωπε, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὡς Κιβωτὸς Σεμνὴ ἁγιάσματος, καὶ ὡς πυρίμορφος Θρόνος Ἅγιος, καὶ ὡς Παλάτιον ἡγιασμένον, Δέσποινα ἐχώρησας, Θεὸν Παντοκράτορα.

Μήτηρ ἀπειράνδρως ἐν Παρθένοις, σὺ αὖθις Παρθένος δὲ, ἐν μητράσι μόνη Πανάγνε ἀρρήτως ὤφθης. Θεὸν γὰρ ἐγέννησας, τὸν φύσεις ἀμείβοντα.

Ἄλλος. Ὁ φωτισμός.

Θεοπρεπεῖ, πολιτείᾳ Τρισμάκαρ λελαμπρυσμένος, τοὺς κατακριθέντας ἀδίκῳ ψήφῳ θανατωθῆναι, παραστὰς ἐλυτρώσω, τῷ Δεσπότῃ Χριστῷ κραυγάζοντας· ἕτερον ἐκτός σου, Θεὸν οὐ γινώσκομεν.

Ἐν Οὐρανοῖς, τὴν ἀΐδιον δόξαν νῦν ἐποπτεύων, καὶ τῆς ἀπορρήτου καὶ θείας αἴγλης, ταῖς φανοτάταις ἐντρυφῶν λαμπηδόσι, σκέπασόν με τῇ προστασίᾳ σου, Ὅσιε θεράπων, Χριστοῦ πανσεβάσμιε.

Θεοτοκίον.

Ἵνα τὴν σὴν, ἐκζητήσῃς εἰκόνα συγκεχωσμένην, τοῖς πάθεσι Σῶτερ τὰς οὐρανίους, λαθὼν δυνάμεις, σαρκωθεὶς ἐκ Παρθένου, ἐπεφάνης τοῖς σοὶ κραυγάζουσιν· ἕτερον ἐκτός σου, Θεὸν οὐ γινώσκομεν.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Κηρύττει σου Πάτερ, τὰ θαύματα νῦν, ἡ Μυρέων μεγίστη μητρόπολις, Λυκίων ἐπαρχία τε, καὶ πᾶσα στρατιὰ, τὰς σὰς τερατουργίας. δι᾽ ὧν πάντας ἐκ πόνων, θλιβερῶν ἐλυτρώσω, ἀξιοθαύμαστε Νικόλαε.

[illegible]ιμὴν τῶν χηρῶν, καὶ Πατὴρ ὀρφανῶν, βοηθὸς τῶν ἐν θλίψει παράκλητος, πενθούντων καταφύγιον, ποιμὴν καὶ ὁδηγὸς, πάντων τῶν πλανωμένων, Νικόλαε ὑπάρχων, καὶ ἡμᾶς ἐκ κινδύνων, ταῖς σαῖς πρεσβείαις ἀπολύτρωσαι.

Μετέσχες ἐκ γῆς πρὸς αὔλους σκηνὰς, ἔνθα βλέπεις τὸ ἄφραστον κάλλος Χριστοῦ, Ἀγγέλων τοῖς στρατεύμασιν, ἰσάμιλλος δειχθείς. διὸ σὺν Ἀποστόλοις, καὶ Μάρτυσι χορεύων, ἐκτενῶς τῷ Σωτῆρι, Πάτερ Νικόλαε ἱκέτευε.

Τριαδικόν.

Συνάναρχα τρία, ὁμόθρονα, ἀμερίστου μιᾶς δὲ Θεότητος, δοξάζω αὐτεξούσια, τὰ πρόσωπα σαφῶς. δι᾽ ἧς ἐκ τοῦ μὴ ὄντος, πα-



Digitized by Google

παρήχθην εἰς τὸ εἶναι, σὺν Ἀγγέλοις κραυγάζων· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε. Θεοτοκίον.

Ἡ σωτήριος σκέπη, καὶ πάντων χαρὰ, ἡ προφθάνουσα τάχος καὶ σώζουσα, οἰκτείρησον καὶ νῦν ἡμᾶς, βοῶμέν σοι Ἁγνὴ, τοὺς σὲ προσκαλουμένους, ἀεὶ ἐν περιστάσει. προστασίαν γὰρ ἡμεῖς, μετὰ Θεὸν ἄλλην οὐκ ἔχομεν. Καταβασία.

„Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν. ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ. τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς, καὶ σῶσόν με. Σωτὴρ τοῦ Κόσμου, κράζοντα δόξα σοι.

Προστασία τῶν πιστῶν, ἀθυμούντων χαρμονὴ, εὐφροσύνης καὶ χαρᾶς, ἔμπλησον πνευματικῆς, τοὺς δούλους σου, τοὺς πεποιθότας τῇ προστασίᾳ σου.

Οὐρανὸς ὁ λογικὸς, ὁ Ναὸς ὁ καθαρὸς, ἡ Ἁγία Κιβωτὸς, ὁ τερπνότατος Θεοῦ, Παράδεισος, ἐν ᾧ τὸ ξύλον ζωῆς ὑμνείσθω μοι.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ τῆς νίκης Νικόλαος στέφανος, τῇ σῇ κορυφῇ ἀξίως ἐπιτέθειται. ὡς νικητὴς οὖν ἄριστος, τοὺς σὲ προσκαλουμένους διάσωσον.

Νεκρωθέντα με Μάκαρ τοῖς πταίσμασι, καὶ ταῖς τῶν παθῶν τρικυμίαις ποντούμενον, ἐπιφανεὶς διάσωσον, πρὸς λιμένα τοῦ θείου θελήματος. Θεοτοκ.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, Μῆτερ Ἀειπάρθενε, τῆς Σωτηρίας μου, καὶ σὲ προστάτιν τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νέος Ἀβραὰμ, ἐδείχθης Νικόλαε, ὡς μονογενῆ υἱὸν προσάξας τὸν νοῦν, τῷ Δεσπότῃ σου, ἀναιμάκτους θυσίας προσφέρων ἀεί. κἀντεῦθεν εὐλογήθης ὡς φιλόξενος, Πατὴρ καὶ Τριάδος γέγονας, οἰκητήριον θεῖον καὶ ἄμωμον.

Σημεῖα καὶ φρικτὰ, ἐργάζῃ τεράστια, ἐν πάσῃ τῇ γῇ, καὶ ἐν θαλάσσῃ μακρᾷ, κινδυνεύουσι, ταχυδρόμοις λιταῖς ἐπιστάμενος, ἀσθενοῦσιν ἰατρὸς, καὶ πτωχευόντων τροφεύς. νίκη, κατ᾽ ἐχθρῶν φερώνυμος, τοῦ λαοῦ τοῦ πιστοῦ ἀναδέδειξαι.

Ὄμματι νοὸς, προβλέπων τὰ μέλλοντα, δογμάτων ὀρθῶν πάντας ἐνέπλησας. Ὁμοούσιον, τῷ Πατρὶ τὸν Υἱὸν καταγγέλλων ἡμῖν. τοῦ Ἀρείου μὲν μανίαν ἐξωλόθρευσας, στήλην, ὀρθοδόξου πίστεως, τὰ σεπτά σου προθεὶς κατορθώματα.

Τριαδικόν.

Σέβω καὶ τιμῶ, Τριάδα ἀμέριστον, προσώποις τρισὶ διαιρουμένην ἀεὶ, ἑνουμένην δὲ, τῇ οὐσίᾳ καὶ φύσει ὡς μίαν Ἀρχὴν, τὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον, πάντων κραταιῶς δεσπόζουσαν, καὶ τὸ πᾶν συντηροῦσαν ὡς βούλεται. Θεοτοκίον.

Κλίμαξ Οὐρανοῦ, ἐν μήτρᾳ σου Πάναγνε, Χριστὸς βουληθεὶς ὅλος ἐσκήνωσεν. οὐ γὰρ ἔφερε, τῶν ἰδίων χειρῶν τὸ πλαστούργημα, καθορᾶν ὑπὸ τοῦ πλάνου τυραννούμενον· ἦλθε δουλομόρφῳ σχήματι, τὸ ἀνθρώπινον γένος λυτρώσασθαι. Καταβ.

„Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θὴρ οἷον ἐδέξατο. τῇ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφθορον. ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκ. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸς ἀνεδείχθης. τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας τοὺς ἀθῴους ἐκ τοῦ θανάτου, διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος. Ὁ Οἶκος.

Ἀνυμνήσωμεν νῦν τὸν Ἱεράρχην ᾄσμασι, τὸν ἐν Μύροις λαοί, ποιμένα καὶ διδάσκαλον, ἵνα ταῖς πρεσβείαις αὐτοῦ ἐλλαμφθῶμεν. ἰδοὺ γὰρ ὤφθη ὅλος καθάρσιος, ἀκήρατος, πνεύματι Χριστῷ προσά-

γων

Digitized by Google

γων θυσίαν ἄμωμον, τὴν εἰλικρινῆ Θεῷ ἀπρόσδεκτον, ὡς Ἱεράρχης κεκαθαρμένος, καὶ τῇ ψυχῇ καὶ τῇ σαρκί. ὅθεν ὑπάρχει ἀληθῶς τῆς Ἐκκλησίας προστάτης, καὶ ὑπέρμαχος ταύτης. Ὡς μέγας Μύστης Θεοῦ τῆς χάριτος.

Τῷ αὐτῷ Μηνὶ ϛ΄. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ.

Στ. Ὁ Νικόλαος πρέσβυς ὢν ἐν γῇ μέγας,
Καὶ γῆς ἀποστὰς εἰς τὸ πρεσβεύειν ζέει.
Ἕκτῃ Νικολέω γ' ἔφανη βιότοιο τελευτή.

Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ τῶν τυράννων, πρότερον, τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας, καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν ἀρχιερωσύνην ἐδέξατο. Ἐπὶ δὲ τὰ Χριστιανῶν ἦν πρεσβεύων, τὴν εὐσέβειαν κηρύττων ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς Πόλεως, καὶ πληγαῖς καὶ στρεβλώσεσι, παρ' αὐτῶν ὑποβληθεὶς, τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ καὶ ἄλλων Χριστιανῶν. Τοῦ δὲ μεγάλου καὶ εὐσεβοῦς Κωνσταντίνου τὴν Βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν. μεθ' ὧν, καὶ ὁ μέγας Νικόλαος ἀφεθεὶς, τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος συναθροίζεται ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, ἧς μέρος, καὶ ὁ θαυμαστὸς Νικόλαος γίνεται. Οὗτος πολλὰ μὲν καὶ ἄλλα ἐποίησε θαύματα, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. διέσωσε δὲ καὶ συκοφαντηθέντας ἄνδρας τρεῖς, ἀδίκως μέλλοντας θνήσκειν. Ὡς γὰρ τὸν καιρὸν καθ' ὃν ἔμελλον οὗτοι ἀποτέμνεσθαι, ἐν φυλακῇ ὄντες ἔμαθον, τὸν Ἅγιον εἰς βοήθειαν ἐπεκαλέσαντο, ὑπομνήσαντες αὐτῷ καὶ ὧν ἐποίησεν ἄλλων εὐεργεσιῶν, καὶ ὅπως τρεῖς ἄνδρας ἐν τῇ Λυκίᾳ ἀναιρεῖσθαι μέλλοντας διεσώσατο. Τοιγαροῦν ὁ ταχὺς εἰς βοήθειαν, καὶ θερμὸς εἰς ἀντίληψιν, ὁ Ἅγιος φημὶ Νικόλαος, ὀπτάνεται ὄναρ τῷ Βασιλεῖ, καὶ τῷ Ἐπάρχῳ. καὶ τὸν μὲν ἐπιτιμᾷ διὰ τὴν πρὸς τὸν Βασιλέα εἰς τοὺς ἄνδρας διαβολήν. τὸν δὲ Βασιλέα ἀναδιδάσκει. καὶ ὑπομιμνήσκει, ὡς ἀναίτιοι εἰσι, καὶ διὰ φθόνον, τῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑπεβλήθησαν. Ὅθεν αὐτοὺς λυτροῦται τῆς ἐπικειμένης ἀνάγκης. Πρὸς τούτοις δὲ καὶ ἕτερα πλεῖστα τεράστια ἐκτελέσας, καὶ ἱερῶς τὸν ὀρθόδοξον ποιμάνας λαὸν, καὶ εἰς βαθὺ γῆρας ἐληλακὼς, πρὸς Κύριον ἐξεδήμησεν. οὐδὲ μετὰ τὸ τέλος τοῦ ποιμνίου ἐπιλαθόμενος, ἀλλὰ καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέραν, τὰς εὐεργεσίας αὐτοῦ τοῖς δεομένοις ἐπιδαψιλευόμενος, καὶ κινδύνων παντοίων καὶ περιστάσεων ῥυόμενος. Καὶ νῦν δὲ ὡς τότε ὁ αὐτὸς Θεὸς δι' αὐτοῦ πλεῖστα θαύματα ἐνεργεῖ. καὶ οἱ ἐκ πίστεως ἀδιστάκτως ἐξαιτούμενοι, οὐκ ὀλίγα ταῦτα, ἀλλὰ καὶ μείζονα, καὶ οὕτως ἔχοντα θαυματουργήματα λαμβάνουσιν. ὥσπερ καὶ νῦν τοιοῦτόν τι γέγονε παρὰ τοῦ τρισμάκαρος Πατρὸς ἡμῶν Νικολάου. Ἀνὴρ γάρ τις εὐλαβὴς ἦν ἐν τῷ Βυζαντίῳ ἐν Χριστῷ πιστὸς, καὶ τὸν Ὅσιον Πατέρα ἡμῶν Νικόλαον ὑπερβαλλόντως φιλῶν, καὶ φιλούμενος ὑπ' αὐτοῦ. Οὗτός ποτε πρὸς ἑτέραν χώραν, διὰ πλοὸς ἀφικέσθαι βουλόμενος, δουλείας αὐτὸν ἀναγκαίας κατεπειγούσης, ἀπελθὼν ἐν τῷ Ναῷ τοῦ Ἁγίου προσηύξατο κατὰ τὸ εἰωθὸς αὐτῷ. καὶ τοὺς οἰκείους προσγενεῖς τε καὶ φίλους ἀσπασάμενος, ἐπέβη τῷ Πλοίῳ. Περὶ δὲ ὥραν ἐνάτην τῆς νυκτὸς ἀνέστησαν μεταβαλεῖν τὰ ἱστία, ἑτέρου ἀνέμου πνεύσαντος. συνανέστη δὲ καὶ ὁ εὐλαβέστατος οὗτος ἀνὴρ πρὸς χρείαν ὕδατος. Ἀσχολουμένων δὲ πάντων πρὸς τὴν τῶν ἱστίων μεταβολὴν, συμποδισθεὶς, οἷα φιλεῖ συμβαίνειν, ἀπερρίφη εἰς τὸ Πέλαγος κατὰ τὸ μέσον τῆς Θαλάσσης. Κἀκεῖνοι μὲν σκοτείας οὔσης. καὶ τοῦ πνεύματος σφοδροτέρως ἐπὶ τὰ πρόσω βιαζομένου, μὴ δυνάμενοι τί διαπράξασθαι, τὸν τοῦ ἀνδρὸς ἀπωδύροντο πικρότατον θάνατον. Ὁ δέ γε, μεθ' ὧν ἐνεδέδυτο ἀπορριφεὶς τῇ Θαλάσσῃ, καὶ γεμομένων τούτων πληρέστατον τοῖς ὕδασιν, εἰς τὸν πυθμένα τοῦ Πελάγους καταποντισθεὶς, Ἅγιε Νικόλαε βοήθει μοι εἶπεν.



Digitized by Google

Ἐπὶ πολὺ δὲ τὴν φωνὴν ἀνακράζοντος, ὢ τοῦ θαύματος, ὡς ἀκατανόητα τὰ θαυμάσιά σου Κύριε, εὑρέθη μέσον τοῦ οἴκου αὐτοῦ, δοκῶν ἐν τῷ βυθῷ ἑστάναι. Οἱ δὲ γειτονοῦντες, τῶν φωνῶν ὡς ἤσθοντο, ἀνέστησαν. ὡσαύτως καὶ οἱ ἐν τῷ οἴκῳ αὐτοῦ φῶτα ἀνάψαντες, συνελθόντες καὶ οἱ ἔξωθεν γειτονοῦντες, εἶδον αὐτὸν μέσον τῆς οἰκίας ἑστῶτα καὶ κράζοντα, καὶ τοὺς χιτῶνας, οὓς ἐνεδέδυτο ἐν τῇ Θαλάσσῃ, θαλάσσιον καταῤῥέοντας ὕδωρ. καὶ ἐννεοὶ γεγονότες, ἐξέστησάν τε καὶ ἔφριξαν. Ὁ δὲ, ὦ ἀδελφοὶ, τί ἐστι τὸ ὁρώμενον; ἐγὼ γὰρ οἶδα ἀκριβῶς, ὅτι πάντας ὑμᾶς ὀψὲ, ἐν ματῇ ὥρα ἀσπασάμενος, τῷ πλοίῳ ἐμβὰς ἀπέπλευσα, καὶ αἰσίου ἀνέμου πνεύσαντος, ἐφ' ἱκανὸν τὸν πλοῦν διηνύσαμεν. περὶ δὲ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἢ καὶ τρίτην, ἐν τῷ πλοίῳ σταθεὶς διὰ τὸ λαβεῖν ὕδωρ, συμποδισθεὶς ὑπὸ τῶν ναυτῶν, ἐν τῇ Θαλάσσῃ ἀπεῤῥίφην, καὶ εἰς βοήθειαν τὸν Ἅγιον Νικόλαον ἐπεκαλούμην. πῶς δὲ νῦν εἰμὶ ἀγνοῶ. ὑμεῖς εἴπατέ μοι, ὅτι ἐξεστηκὼς εἰμὶ, καὶ ἄλλος ἐξ ἄλλου γέγονα. Οἱ δὲ τῶν εἰρημένων νουνεχῶς ἀκροασάμενοι, τό,τε θαλάσσιον ὕδωρ καταῤῥέον ἐκ τῶν χιτώνων ὁρῶντες, ἐξεπλάγησαν ἐννοοῦντες τὸ παράδοξον τοῦ θαύματος. Καὶ σὺν αὐτῷ χαίροντες ὁμοῦ καὶ δακρύοντες, ἐπὶ πολὺ τὸ, Κύριε ἐλέησον, ἔκραζον. Εἶθ' οὕτως ἀποδυσάμενος, καὶ ἕτερα ἀμφιασάμενος, τὸν Ναὸν τοῦ Ἁγίου Νικολάου κατέλαβε, καὶ τὸ λοιπὸν τῆς νυκτὸς ἐκεῖσε διεβίβασε, προσπίπτων μετὰ δακρύων, ἐκλιπαρῶν, ἀντιβολῶν, τὴν εὐχαριστίαν μετ' ἐκπλήξεως ἀπεδίδου. Ὄρθρου δὲ ἤδη φθάσαντος, καὶ τοῦ συνήθους λαοῦ συναθροισθέντος, τὸ θαῦμα πᾶσι κατάδηλον γέγονεν. Ὡς οὖν ἅπαντες τῶν ἡδυπνόων ἐκείνων ἀρωμάτων ἐνεπλήσθησαν, τῶν εἰς εὐχαριστίαν τοῦ Ἁγίου Νικολάου παρὰ τοῦ ἀνδρὸς προσαχθέντων, ὁλόφωτον δὲ καὶ τὴν Ἐκκλησίαν ἑωρακότες, ἐπυνθάνοντο, τίς ἡ αἰτία τοῦ δράματος; Καὶ μαθόντες ἐξέστησαν, τὸν Θεὸν δοξάζοντες, καὶ τὸν Ἅγιον εὐφημοῦντες. Τὸ ἐξαίσιον τοίνυν τοῦτο καὶ ὑπερφυὲς ὄντως μεγαλεῖον, εἰς πᾶσαν τὴν Κωνσταντίνου μεγαλόπολιν διαδραμὸν, εἰς ὦτά τε τοῦ κρατοῦντος τότε Βασιλέως φθάσαν, καὶ τοῦ τὴν μεγάλην τότε Ἐκκλησίαν τοῦ Θεοῦ τῷ Ἀρχιερατικῷ θρόνῳ κοσμοῦντος, ἐπὶ συνεδρείᾳ ἐνέπεσε τὸν ἄνδρα καλέσασθαι. Παραστάντος οὖν τούτου, καὶ ἐπὶ παῤῥησίᾳ πολλῶν συνελθόντων διηγησαμένου, ὅπως, καὶ τίνα τρόπον αὐτῷ τὸ ἐξαίσιον, καὶ ὄντως ἀκατανόητον τοῦτο τερατούργημα γέγονεν, ἅπαντες ἐξεβόησαν. Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. Λιτὴν δὲ καὶ ἀγρυπνίαν διαλαλήσαντες, καὶ πανδημεὶ συναθροισθέντες, εἰς τὸν Ναὸν τοῦ Ἁγίου ἀπῄεσαν, δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεὸν, καὶ τῷ πιστῷ αὐτοῦ θεράποντι τὴν εὐχαριστίαν ἀπονέμοντες.

## Βίος τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου, Ἐπισκόπου Μύρων τῆς Λυκίας.

Εὐλόγησον Πάτερ.

Σοφόν τι χρῆμα ζωγράφων χεὶρ, καὶ δεινὴ μὲν μιμήσασθαι τὴν ἀλήθειαν, δεινὴ δὲ τῶν πραγμάτων ἐναργῆ παραστῆσαι τὰ σύμβολα. Σοφώτερον δὲ ἄρα λόγος, καὶ πολλῷ γραφικῆς ἐναργέστερον, δεῖξαί τε ὃ βούλεται, καὶ ὑπ' ὀφθαλμοὺς προθεῖναι τὸ πρᾶγμα, ὅσῳ καὶ πλέον διερεθίζειν εἶδε πρὸς μίμησιν, καὶ ζήλου τι κέντρον ταῖς ψυχαῖς ἐνιέναι, καὶ πρὸς τὰ ἴσα διανιστᾶν. Αὐτίκα γοῦν ὁ τὸν κατὰ Θεὸν πολιτευσάμενος βίον, τῷ λόγῳ διατυπούμενος, πολλοὺς ἂν ἐφελκύσηται, καὶ παρακαλέσῃ πρὸς ἀρετὴν, καὶ ὅλως πρὸς τὸν ὅμοιον διαθερμανεῖ ζῆλον, ὥσπερ δὴ καὶ ὁ τοῦ θείου Πατρὸς Νικολάου· καὶ τούτου γε μᾶλλον ὑπέρτιμος, ὅσῳ καὶ ἀκοὴν πλέον ἡδύνει, καὶ ψυχὴν εὐφραίνει, καὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν διανιστᾷ. Τὰ τούτου τοίνυν καὶ διηγητέον ἡμῖν, καὶ περιληπτέον τῷ λόγῳ εἰς δύναμιν, καὶ πάλαι μὲν ὄντα γνώριμα τοῖς πολλοῖς, καὶ οὐδὲ μιᾶς δεόμενα ἱστορίας. πλὴν ἀλλ' ὅσον ἀναλαβεῖν αὐ-

Digitized by Google

αὐτῷ, καὶ εἰς μνήμην εἰσενεγκεῖν, καὶ τὰς τῶν φιλαρέτων ἡδῦναι ψυχάς. Τῷ μεγάλῳ τοιγαροῦν καὶ θαυμασίῳ τούτῳ Πατρὶ, Πάταρα μὲν ἡ πατρὶς, πόλις Λυκίας, καὶ τῶν ἐπιφανῶν πρότερον. Πατέρες δὲ, τὰ μὲν εἰς γένος, τῶν εὖ γεγονότων, οὐσίαν δὲ αὐτάρκη, καὶ ὅση μὴ περιττὴ κεκτημένοι. ἄγευστοι κοσμικῆς δόξης καὶ φαντασίας γενόμενοι, καὶ τῷ παιδὶ καλὸς τύπος πρὸς ἀκτησίαν ἐσόμενοι. περὶ μόνον σχολάζοντες τὸ ἀγαθὸν, καὶ τοῦτο ἐκ παντὸς τρόπου μεταδιώκοντες. Οὗτοι παρὰ τὰς διεξόδους τῶν ὑδάτων τῆς εὐσεβείας πεφυτευμένοι, ὁμοῦ τε καρπὸν ἐν καιρῷ διδοῦσι τὸν θεῖον Νικόλαον, καὶ ὁμοῦ πεδᾶται τὰς ὠδῖνας ἡ Μήτηρ, ἄγονος ἐξ ἐκείνου καὶ ἄτεκνος τὸ λοιπὸν μείνασα, οἱονεὶ τῆς φύσεως διομολογούσης, τὸ μὴ δύνασθαι τοιοῦτον ἄλλον προσενεγκεῖν. Ἀλλὰ τοῦτον δὴ πρῶτον ἅμα καὶ τελευταῖον ἡ Μήτηρ τὸν εὐγενῆ κλάδον εἰς φῶς ἀγαγοῦσα, πολυειδῆ ὅμως μετὰ τοῦ συζύγου τῷ πνεύματι δέδωκε τὸν καρπὸν, τὸν τῶν ἀρετῶν σωρὸν, τὴν τῶν ἀγαθῶν Θάλασσαν, τὴν καλὴν ὄντως εὐπαιδίαν πλουτήσαντες, τὸν θαυμαστὸν τοῦτον φημὶ Νικόλαον. Ἐκ τοιούτων δὲ γεννηθεὶς, δεῖγμα τῆς πρὸς τὸν Βαπτιστὴν οἰκειότητος, τὴν τῆς γεννησαμένης παρῆψε στείρωσιν. Ὅτι ὁ μὲν, διαλύει Μητρὸς ὠδῖνας τεχθεὶς, οὗτος δὲ, κλείει τὸ ἔμπαλιν. Ἐπειδὴ δὲ καὶ θηλάζειν αὐτὸν κατὰ βρέφος ἐχρῆν, καὶ τῷ μητρῴῳ παρακεῖσθαι μαζῷ, ἐπισημαίνεται κἀνταῦθα Θεὸς, ὁποῖός τις ἔσται Νικόλαος, ἤδη φρονοῦσαν ἡλικίαν ἀπολαμβάνων. Ὅλης μὲν γὰρ Ἑβδομάδος, ὅσα καὶ βρέφος τῇ θηλῇ ἐχρῆτο. ἐπειδὴ δὲ ἡ Τετρὰς τῶν ἡμερῶν καὶ ἡ Παρασκευὴ καταλάβοι, ἅπαξ ἐν ἑκατέρᾳ τούτων γάλακτος μετελάμβανε, καὶ ταῦτα, μετὰ τὸν τῆς ἑσπέρας καιρὸν, ὑπὸ κανόνι τελείῳ, καὶ πρὸς τῆς παιδικῆς τιθηνούμενος ἡλικίας, καὶ τὸ πρὸς ἐγκράτειαν οἰκείως ἔχειν ὑποφαίνων ἐκ προοιμίων. Οὕτω τοιγαροῦν ἀναγόμενος, καὶ τὰ χρηστὰ τῶν ἠθῶν, τὰ μὲν ἐξ αὐτῶν ἐκείνων τῶν Πατέρων ἀποματτόμενος, τὰ δὲ φύων καὶ γεωργῶν αὐτὸς οἴκοθεν, ὥσπερ τις ἀγαθὴ γῆ καὶ γενναία, ἡλικίας τε ἤδη ἥπτετο, καὶ γραμματιστῇ παρεδίδοτο. Ὁ δὲ μεγέθει φύσεως καὶ διανοίας ὀξύτητι, πλεῖστα τῶν μαθημάτων ἐν βραχεῖ καρπωσάμενος, τὸ μὲν πολιτικὸν τοῦτο καὶ ἀγοραῖον διέπτυσεν, ἑταιρείας δὲ ἀτάκτους καὶ ὁμιλίας ἐκκλίνας, καὶ γυναιξὶ συλλαλεῖν, ἢ καὶ διδόναι ὀφθαλμὸν ὅλως ἀπαγορεύσας, καὶ ἀληθῶς ἐπεμέλετο σωφροσύνης. καὶ ταῖς ἔξω διατριβαῖς χαίρειν εἰπὼν, τοῖς θείοις δὲ ὅλως οἴκοις σχολάζων, οἶκον αὐτὸς ἑαυτὸν ἄξιον τοῦ Δεσπότου κατασκευάζων, καὶ παραρρίπτεσθαι μᾶλλον ἐν αὐτοῖς κατὰ τὸν θεῖον Δαβὶδ αἱρούμενος. Ἐπειδὴ δὲ πρός τε τὴν τῶν θείων Γραφῶν γνῶσιν, καὶ τῶν περὶ Θεοῦ δογμάτων ἱκανῶς ἐκπεπόνητο, μυρίαις τε κεκόσμητο χάρισι, καὶ τὴν προσήκουσαν τοῖς Ἱερεῦσιν ἀκρίβειαν ἀτεχνῶς ἔσωζεν, (ἀλλά γε καὶ τὸ ἦθος αὐτῷ καὶ πρὸ τῆς πολιᾶς στάσιμόν τε καὶ πρεσβυτικὸν ἦν,) πρεσβύτερον αὐτὸν ἠξίουν ψηφίζεσθαι. Προτροπῇ τοίνυν τοῦ πρὸς πατρὸς αὐτοῦ θείου, ὑπὸ τοῦ τηνικαῦτα τῆς Μυρέων Προέδρου, χειροτονεῖται Πρεσβύδῶρος, καὶ τῷ δεδωκότι Θεῷ ἀντιδίδοται, ὁ τερον ὄντως εὐχῆς τοῖς γεγεννηκόσιν αὐτὸν γενόμενος.

Ὁ μέντοι Ἀρχιερεὺς τῆς Μυρέων, οὗτος θείου Πνεύματος εὐμοιρεῖν ἠξιωμένος, τὴν τοῦ Νέου ψυχὴν κατὰ μόνον ἀρετῆς βλέπων, καὶ περὶ τῆς μελλούσης αὐτῷ πλεονάσαι χάριτος, προεφήτευσεν οὕτως εἰπών. ὡς ἔσται μὲν λυπουμένων εὐμενὲς παραμύθιον, ποιμανεῖ δὲ ψυχὰς καλῶς, καὶ πεπλανημένους πρὸς νομὰς τῆς εὐσεβείας ἀνακαλέσεται, καὶ σωτὴρ τοῖς ἐν κινδύνοις ἀναφανεῖται. Ἅπερ ἐν τῷ χρόνῳ ὕστερον καὶ εἰς ἔργον ἐξέβη, τὰ ἑξῆς τοῦ λόγου δηλώσει.

Εἰ δὲ χρὴ λέγειν, ὁπόση μετὰ τὴν χειροτονίαν αὐτῷ πρὸς ἀρετῶν ἐργασίαν ἐπίδοσις γέγονεν, ἀγρυπνίαις τε καὶ νηστείαις καὶ προσευχαῖς οἵαις ἑαυτὸν ἐδεδώκει, ἐξ ὧν τὴν τῶν ἀσωμάτων διαγωγὴν, ἐν σώματι θνη-

θμητῷ κατορθώσειν ἐφιλονείκει, καὶ διὰ τοῦτο καὶ μεγάλα περὶ αὐτοῦ τοῖς πολλοῖς ἐδίδου φαντάζεσθαι.

Ὡς δὲ καὶ ὁ προμνημονευθεὶς θεῖος αὐτοῦ, (Νικόλαος δὲ καὶ αὐτὸς ὠνομάζετο,) εἰς τοῦτο ἀρετῆς ἥκοντα τὸν νεανίσκον ἑώρα, καὶ τηλικαύτης ἀξιωθέντα τῆς χάριτος, τὴν τε τοῦ θείου Ναοῦ πρόνοιαν, (ὃν πρότερον ἐπ' ὀνόματι τῆς ἁγίας Σιὼν ἐκεῖνος ἐδείματο, καὶ εἰς Μοναστήριον συνεστήσατο,) αὐτῷ ἐγχειρίζει, καὶ συνεργοὺς τῷ νέῳ τοῦ πράγματος, ὅσους καὶ τῆς ἀρετῆς αὐτῷ κοινωνοὺς ἔδει ποιεῖται. ὥς τε καὶ συνδιαφέρειν αὐτῷ τὰς ἐκκλησιαστικὰς φροντίδας, καὶ τῶν ἱερῶν ἐπιμελέστατα προνοεῖν. Καί μεν δήποτε καὶ τοῦ θαυμαστοῦ τούτου Νικολάου ἐν Παλαιστίνῃ ἀπάραντος, ἐφ' ᾧ τὸν ζωοποιὸν τοῦ Χριστοῦ Τάφον, τὸ σωτήριόν τε τοῦ Σταυροῦ ξύλον ἐν αὐτῇ προσκυνήσειεν, οὗτοι τὸν ἐκείνου τόπον ἐπλήρουν, καὶ τὰ τοῦ Ναοῦ καὶ τὰ τῆς οἰκονομίας οὕτως ἐνήργουν, ὥς περ ἂν εἰ παρὼν ἐκεῖνος ἐτύγχανεν. ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ἄρτι δὲ τῶν Πατέρων αὐτοῦ τὸν βίον ἀπολιπόντων, κληρονόμος τῆς οὐσίας καταληφθεὶς, καὶ ὅσα εἰκὸς υἱὸν φιλοπάτορα ἐπὶ Πατέρων ἀποδημίᾳ φιλοστόργων, ἐνδείξασθαι διατελέσας, οὐ πρὸς τὸν πλοῦτον εὐθὺς εἶδεν, οὐδ' ὅπως ἂν αὐξηθείη ὁ κλῆρος αὐτῷ καὶ διαμείνοι, φροντίδα κἂν μικρὰν γοῦν ἔθετο. πάλαι γὰρ κοσμικαῖς ἁπάσαις ἀποταξάμενος εὐπαθείαις, ἀληθῆ ἔσπευδε δεῖξαι διὰ τῆς μετὰ ταῦτα διαγωγῆς, τὰ τοῦ βίου προοίμια, σύμφωνόν τε τῇ ἀρχῇ, ἅπαν τὸ ἑξῆς ἐπιθεῖναι. Διὰ ταῦτα καὶ Θεῷ πάντα τὰ καθ' ἑαυτὸν ἐπιτρέπων, γνώρισόν μοι Κύριε, ἔλεγεν, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. καὶ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. ὅτι ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας. ἀπὸ γαστρὸς Μητρός μου, Θεός μου εἶ σύ. Ἤκουε δὲ καὶ τοῦ θείου Δαβὶδ λέγοντος οὑτωσί. πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. πρὸς δὲ καὶ τοῦ σοφοῦ Σολομῶντος. Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε. Οἴκοθεν οὐδὲ ἀπείχετο εὖ ποιεῖν, ἀλλὰ χεὶρ ἦν ἀνέτος πρὸς τοὺς δεομένους, καὶ Ποταμὸς πολλῷ ῥέων καὶ ἡσύχῳ ῥεύματι.

Ἀλλὰ γὰρ ἄξιον ἤδη καὶ τῶν κατὰ μέρος ἐπιμνησθῆναι, ἵν' ὁ πλοῦτος αὐτοῦ τῆς χρηστότητος, ἀκριβέστερος γνωσθῇ.

Ἀνήρ τις ἄδοξος ἐξ ἐνδόξου, καὶ πένης ἐκ πλουσίου γενόμενος, ἐπειδὴ τοῖς ὅλοις διηπορεῖτο, καὶ αὐτῶν ἤδη τῶν ἀναγκαίων ἐπιλειπόντων αὐτοῦ, φεῦ μέχρι καὶ τίνων ἡ ἔνδεια προχωρεῖν οἶδε, γνώμην ἔχε τὰς θυγατέρας, (τρεῖς δὲ ἦσαν αὐτῷ διαφερόντως ἀγαθαὶ τὴν μορφὴν,) μισθοῦ πρὸς ἀκολασίαν ἐκδιδόναι τοῖς βουλομένοις, καὶ τὸ ἐντεῦθεν αὐταῖς πορίζόμενον, ἑαυτοῦ τε καὶ τῶν παίδων ποιεῖσθαι τροφήν. τὸ γὰρ ἀνδράσιν αὐτὰς συναρμόσαι ἀδυνάτως εἶχεν, ἅτε διὰ τὸ πολὺ τῆς πενίας, ὑπὸ πάντων εὐθὺς ἀπαξιουμένας. Ὁ μὲν οὖν ἐν τούτοις ὤν, καὶ τὴν πονηρὰν ταύτην ἐπίνοιαν ἐμελέτα, καὶ ἔργου ἤδη ἐλεεινῶς ἥπτετο. Ἀλλὰ σὺ Κύριε ὁ φύσει τε ἀγαθὸς, καὶ ἀγαθοῦ παντὸς αἴτιος, καὶ ἡμετέραις ἀνάγκαις φιλανθρώπως ἐπικαμπτόμενος, εἰς ὦτα πεσεῖν τὸ γινόμενον παρασκευάζεις τῷ Νικολάῳ, καὶ Ἄγγελον αὐτὸν ἀγαθὸν τῷ ἤδη καὶ κατὰ ψυχὴν κινδυνεύοντι, καὶ βοηθὸν ἕτοιμον ἐπιπέμπεις, ὁμοῦ τε τὴν πενίαν αὐτῷ παραμυθούμενον, καὶ πενίας χαλεπωτέρου πράγματος ἀπολύοντα. Καὶ ὅρα μοι τοῦ Ἁγίου τὸ μετὰ συνέσεως συμπαθές. οὐ γὰρ ὑπέμεινε τῷ ἀνδρὶ προσελθεῖν, καὶ περὶ τούτου βραχύ τι διαλεχθῆναι, οὐδὲ τὴν εὐεργέτιν αὐτῷ ἐμφανίσαι χεῖρα, ἃ συνήθες ποιεῖν τοῖς μικροψύχοις τὸν ἔλεον. ᾔδει γὰρ ὅτι φορτικὰ ταῦτα τοῖς ἐκ πλούτου καὶ δόξης εἰς ἀπορίαν καταπεσοῦσιν, ἐκτρέποντά τε τὰς ἐκείνων ψυχὰς, καὶ εἰς μνήμην προτέρας εὐημερίας ἐμβάλλοντα. ἀλλ' ὥσπερ ὑπερβαλέσθαι φιλονεικῶν, καὶ τὴν εὐαγγελικὴν δήπου παραγγελίαν, τὸ μὴ πιστευθῆναι τὴν ἀριστερὰν τὸ γινόμενον, οὐδὲ αὐτὸν ἠθέλησε τὸν εὐεργετούμενον μάρτυρα τοῦ πραττομένου παραλαβεῖν. Οὕτω μακρὰν ἀπεῖχε τοῦ τὴν παρὰ ἀνθρώπων δό-

Digitized by Google

δόξαν ἐπιζητεῖν, ἐπεὶ καὶ μᾶλλον αὐτὸς ἀγαθότητι ποιῶν, ἢ ἕτεροι πονηρὰ δρῶντες, τὸ λανθάνειν ἐσπούδαζεν. Ἀμέλει καὶ ἀνδρὸς ἀπόδεσμον χρυσίου λαβὼν, ἀωρὶ τῶν νυκτῶν, παρὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἥκει. καὶ τοῦτον διά τινος θυρίδος ἀκοντίσας, αὐτὸς εὐθέως οἴκαδε ἐπανήει, ὥσπερ αἰσχυνόμενος ὀφθῆναι διδύς. Ἕωθεν οὖν ὁ ἀνὴρ ἀναστὰς, καὶ τὸν χρυσὸν εὑρὼν, ἔπειτα τὸν δεσμὸν λύσας, κατεπλάγη, καὶ ἑαυτὸν ἐξηπατῆσθαι ᾤετο, δεδιὼς, μὴ οὐχὶ χρυσὸς ᾖ τὸ ὁρώμενον. Πόθεν γὰρ ἂν καὶ ὑπέλαβέ τι τοιοῦτον, τὸ μὴ δὲ θελῆσαι τὸν εὐεργετηκότα συνίστορα, τὸν εὖ παθόντα τῆς εὐεργεσίας λαβεῖν; Ὅθεν καὶ ἄκροις ἐπιτρίβων αὐτὸ δακτύλοις, καὶ περιεργότερον ἐνορῶν, ἐπεὶ ἔγνω χρυσὸν ἀληθῶς εἶναι, ἥδετο, ἐθαύμαζεν, ἠπορεῖτο, θερμὸν ὑφ' ἡδονῆς ἀπέσταξε δάκρυον. Ὡς δὲ πολλὰ στρέφων καθ' ἑαυτὸν οὐδένα εἶχε τῶν γινωσκομένων, ᾧ ἐπιγράψῃ τὸ γεγονὸς, ἐπὶ τὸν Θεὸν ἀνέφερε τοῦτο, καὶ δάκρυσιν εὐχαριστῶν οὐκ ἀνήει. Ἀμέλει καὶ τοῦ πρὸς Θεὸν ἁμαρτήματος τὴν αἰτίαν ἤρξατο πρὸ τῶν ἄλλων λύειν, καὶ μίαν τῶν θυγατέρων τὴν πρώτην, εὐθὺς ἀνδρὶ προσαρμόζει, τὸ δοθὲν χρυσίον, ἀρκούντως εἰς προῖκα ταύτῃ καταλαβών. Ὅπερ ἐπεὶ πρὸς γνῶσιν ἦλθε τῷ θαυμαστῷ Νικολάῳ, καὶ ἔγνω κατὰ γνώμην αὐτῷ πράξαντα τὸν ἄνδρα, (τοῦτο γὰρ καὶ αὐτὸς ἐσπούδαζε, τὸ λῦσαι διὰ τοῦ γάμου τοῦ κακοῦ πρόφασιν,) εὐπρεπὴς ἦν τὰ ὅμοια καὶ πρὸς τὴν δευτέραν δρᾶσαι τῶν θυγατέρων. Καὶ δὴ καὶ ἄλλον αὐτῷ ἰσοτάλαντον διὰ τῆς θυρίδος ἀπόδεσμον χρυσοῦ λαθὼν ἅπαντας, νυκτὸς ἐπιπέμπει. Ὄρθρου δὲ διαναστὰς ὁ ἀνὴρ, καὶ τὸ χρυσίον ὁμοίως εὑρὼν. τῇ ὁμοίᾳ εἴχετο καὶ αὖθις ἐκπλήξει, καὶ τῷ ἐδάφει τὸ μέτωπον προσερείσας, θερμοτέροις αὐτῷ δάκρυσιν ἔβαλλε. Θεὲ, λέγων, καὶ θελητὰ τοῦ ἐλέους, οἰκονόμε τῆς ἡμῶν σωτηρίας, ὁ καὶ πρότερον διὰ τὴν ἐμὴν ἐνανθρωπήσας παρακοὴν, καὶ νῦν με τῆς παγίδος τοῦ ἀλλοτρίου μετὰ τῶν παίδων ῥυόμενος, αὐτός μοι τὸν τῷ σῷ θελήματι διακονούμενον, τὸν ἐν ἀνθρώποις τῆς σῆς χρηστότητος Ἄγγελόν τε καὶ μιμητὴν ἀνάδειξον, τίς οὗτος ὁ καὶ τῆς πιεζούσης πενίας ἡμᾶς ἐξελόμενος, καὶ τῶν ἀτόπων λύσας ἐπινοιῶν. Ἰδοὺ γὰρ τῷ ἐλέει τῷ σῷ καὶ τὴν δευτέραν τῶν παίδων ἀνδρὶ νομίμῳ ἐκδίδωμι, φυγοῦσαν ἤδη τὸ θήραμα γενέσθαι τῷ διαβόλῳ, καὶ κέρδος ἐμοὶ προσφέρειν, πολλῆς οἴμοι ζημίας βαρύτερον. Ταῦτα δὲ ἔλεγε, καὶ τῇ δευτέρᾳ τῶν θυγατέρων εὐθὺς ἐτέλει τοὺς γάμους, μετέωρον ἤδη τὴν ψυχὴν ἔχων, ὡς οὐδ' ἐπὶ τῆς τρίτης ἂν ἀπορήσῃ, τοῦ συνοικον αὐτὴν ἀγαπήσοντα ἔχειν. καὶ τὴν προῖκα γὰρ ἕτοιμον ἤδη, καὶ διὰ χειρὸς ἔχειν ᾤετο, θαῤῥῶν ὡς εἰκὸς καὶ περὶ αὐτῆς ὑπὸ τῶν προτέρων. Ἔνθεν τοι καὶ προσεκτικὸς ἦν καὶ μεμεριμνημένος, καὶ νύκτας ὅλας διατελῶν ἄγρυπνος, μὴ καὶ αὐτὸν λάθῃ ἐπιστὰς ὁ καλὸς πλουτοδότης, ἀλλ' ὅπως εἰ καὶ αὖθις ἀφίκοιτο, ἀμφοτέραις τε αὐτοῦ ἐπιλάβοιτο, καὶ παρ' αὐτοῦ μάθοι τίς τε εἴη, ὅθεν ὁ χρυσὸς αὐτῷ ἐπιῤῥέει. Ὁ μὲν δὴ οὕτω πρὸς τὴν ἐκείνου ἔλευσιν διηγρύπνει. Ἐφίσταται δὲ τὸ τρίτον ὁ τοῦ Χριστοῦ θεράπων Νικόλαος, βαθείας νυκτὸς ἡσύχῳ ποδί. καὶ παρὰ τῷ συνήθει τόπῳ γενόμενος, ἴσον χρυσοῦ καὶ πάλιν ἀπόδισμον, διὰ τῆς αὐτῆς θυρίδος εἰσπέμπει. Καὶ παρὰ χρῆμα οἴκαδε ἐπανήει. Ὁ δέ γε τῶν παίδων Πατὴρ, τοῦ εἰσπεσόντος χρυσοῦ τὸν ψόφον αἰσθόμενος, καὶ τούτῳ παρεῖναι πάλιν τὸν συνήθη πλουτοδότην κατανοήσας, ὡς ποδῶν εἶχεν, εὐθέως ἐδίωκε. Καὶ καταλαβὼν καὶ γνοὺς ὅς τι εἴη, (οὐδὲ γὰρ τῶν ἀσήμων οὗτος διὰ τὴν ἀρετὴν ἦν, καὶ τὸ τοῦ γένους ἐπιφανές.) πίπτει τε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ Λυτρωτὴν ἐκεῖνον ἐκάλει καὶ βοηθὸν, καὶ σωτῆρα ψυχῶν εἰς ἔσχατον ἀπωλείας ἤδη καταγομένων Εἰ μὴ γὰρ τοὺς σοὺς ἔλεγεν οἰκτιρμοὺς ὁ μέγας ἐν ἐλέει διανέστησε Κύριος, πάλαι ἂν ἀπωλώλειν πατὴρ ἄθλιος, μετὰ θυγατέρων οἴμοι τριῶν, ἀλλὰ νῦν σέσωκεν ἡμᾶς διὰ σοῦ, καὶ τοῦ πικροῦ τῆς ἁμαρτίας ἐῤῥύσατο πτώματος, ἤγειρέ τε ἀπὸ κοπρίας πτωχοὺς,

καὶ

Digitized by Google

καὶ ἀπὸ γῆς ἀνέστησε πεινῶντας. Ταῦτα ἐκεῖνος μὲν σὺν δάκρυσιν εὐφροσύνης, καὶ θερμῷ πνεύματι πίστεως, πρὸς αὐτὸν ἔλεγε, καὶ πολὺς ἦν τοῖς μακαρίοις ποσὶν ἐκείνη προσκείμενος, Ὁ δὲ ἐπειδὴ ἔγνω δῆλος ἤδη τῷ ἀνθρώπῳ γενόμενος, διανίστησί τε αὐτὸν, καὶ ὅρκοις τὴν ἐκείνου καταλαμβάνει ψυχὴν, μὴ ἂν πρὸς ἑτέρους παρ' ὅλον αὐτοῦ τὸν βίον ἐξενεγκεῖν τὰ γεγενημένα, μὴ δὲ δημοσιεῦσαι τὸν ἔλεον,

Ἓν μὲν δὴ τοῦ ἀνδρὸς τοῦτο, καὶ οὕτω μεγιστόν τε καὶ γνωριμώτατον, Τὰς δὲ καθ' ἑκάστην πρὸς τοὺς ἐν χρείᾳ, διανομὰς, καὶ χορτάζειν πτωχοὺς ἐν ἄρτῳ, καὶ διατρέφειν αὐτοὺς ἐν λιμῷ, καὶ ψυχὰς πεινάσας ἀγαθῶν ἐμπιπλᾷν, ἀλλὰ ταῦτά γε οὐδὲ μετρίως εἰπεῖν αὖτις ἐξαρκέσειεν.

Ἐπειδὴ δὲ καὶ τελεωτέρας ἀρετῆς ἤρα, καὶ μείζονος ἀπολαῦσαι τῆς παρὰ Θεῷ οἰκειώσεως, λαμβάνει μὲν αὐτὸν ἡσυχίας ἔρως, ὠδίνει δὲ τὴν ἀποδημίαν, ὡς μὴ ὄντως ἄλλως αὐτὸν τοῦ ποθουμένου τυχεῖν. σχολάσατε γάρ φησι καὶ γνῶτε. διὸ καὶ μακρυνεῖν ἑαυτὸν ἔγνω, καὶ κατὰ τὸν Προφήτην εἰς ἔρημον αὐλισθῆναι προέθετο,

Καί ποτε δόξαν αὐτῷ τὴν Παλαιστίνην λαβεῖν ἐφ' ᾧ τοὺς Ἁγίους τόπους ἰδεῖν, ἐν οἷς ὁ ὑπὲρ ἡμῶν παθὼν Κύριος τὰς ἐν Κόσμῳ διατριβὰς ἐποιήσατο, πλοίου ἐπιβὰς ἐξ Αἰγύπτου νῦν ἀναχθέντος, εἰς Παλαιστίνην κατέρρει, ὁμοῦ μὲν τὴν ποθουμένην ζητῶν ἐρημίαν, ὁμοῦ δὲ καὶ εἰς θέαν, ὡς ἔφην, τῶν Ἁγίων τόπων φερόμενος, Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω, ἡμεῖς δὲ τῷ πλῷ βραχύ τι προσδιατρίψωμεν.

Ἔπλει μὲν οὖν εὐθὺς τῆς Αἰγύπτου. τῶν δὲ ναυτῶν οὐδὲν τῶν μελλόντων προσορωμένων, τρικυμίαν οὗτος αὐτοῖς, καὶ πνευμάτων ἀγριωτέρων ἐμβολὰς προσαγγέλλει, Αὐτὸν γὰρ ἔφη τὸν πονηρὸν ἰδεῖν τῆς νεὼς ἐπιβάντα, τά τε τοῦ ἱστοῦ καὶ τὰ τῶν πηδαλίων καλώδια, μαχαίρᾳ διατεμόντα, καὶ ὅλην περισχόντα τὴν ναῦν, καὶ περιδινήσαντα, καὶ τῷ βυθῷ βουλόμενον αὔτανδρον καταδύειν, οὕτως ἔφη, καὶ παρὰ χρῆμα ὥσπερ ἔκτινος ἀπὸ τοῦ συνθήματος, σφοδρά τις λαῖλαψ τῶν νεφῶν διαπνεύσασα, εἰς κλύδωνα μέγιστον τὸ πέλαγος αἴρει, καὶ οἱ συμπλέοντες οὐδὲν ἧττον ἐκυμαίνοντο τὰς ψυχάς. καὶ παρὰ τῷ μεγάλῳ στάντες, ηὔχοντο μὲν τῷ Θεῷ, ἐδέοντο δὲ αὐτοῦ ἐπαμύναι πικρῶς κινδυνεύουσι, καὶ μηδεμίαν ἐλπίζουσι τοῦ κακοῦ λύσιν, ἀπὸ τοῦ προειπεῖν αὐτὸν, ὥσπερ καὶ δύνασθαι βοηθεῖν ἐλπίσαντες. Ὁ δὲ θαρρεῖν τε αὐτοῖς ἐκέλευε, καὶ ταχεῖαν ἔσεσθαι τὴν ἀπαλλαγὴν τοῦ κακοῦ. παρηγγύα. Ἀμέλει καὶ τὰ λυποῦντα πάντα ὀξέως ἐλύετο, καὶ ἥ τε Θάλασσα ἡμεροῦτο, καὶ εἰς γαλήνην ἀκριβῆ μετεβάλλετο, καὶ αὐτοὶ τῶν θρήνων ἐπιλαθόμενοι, πρὸς εὐθυμίαν ἐτράποντο, Θεῷ τε καὶ τῷ αὐτοῦ θεράποντι τὴν χάριν ὁμολογοῦντες, καὶ διπλῇ τοῦτον θαυμάζοντες, τότε προειπεῖν ἅμα, καὶ τὸ λῦσαι τὰ σκυθρωπά. Ἀλλὰ τούτων οὕτως ἐχόντων, τὶς τῶν ναυτῶν ἐπὶ τὸ ἄκρον ἀνελθὼν τῆς μέσης κεραίας, ὥστε τὶ τῶν τῆς νεὼς ὅπλων καλῶς διαθεῖναι, ὡς ἤδη ἐκεῖθεν καὶ κατελθεῖν ἔμελλε, διολισθήσας ἄνωθεν, ἐπὶ μέσην τὴν ναῦν καταπίπτει. Καὶ ὁ μὲν ἄπνους ἔκειτο, καὶ ὡρᾶτο νεκρός. ὁ δὲ καὶ πρὶν κληθῆναι ἀμύνειν ὢν ἑτοιμότατος, προσευχῇ τοῦτον ῥᾷον, ἢ τῶν ὕπνῳ κατεχομένων διανιστᾷ, καὶ ζῶντα πάλιν ἀπέδωκε τοῖς πλωτῆρσιν. Ἔπειτα ἱστία πάντα πετάσαντες, καὶ δι' αὔρας λεπτῆς, καὶ ἡδείας τὸ ἑξῆς τοῦ πλοῦ διελθόντες, ὡς ἤδη τῇ γῇ προσωρμίσθησαν, πολλὰς ὁ Κύριος διὰ Νικολάου εἰργάζετο τὰς ἰάσεις. τυφλοί τε γὰρ εὐθέως τὸ φίλον φῶς ἐθεῶντο, καὶ ἄλλοι, χαλεπῶς πάσχοντες, τῶν ὧν εἶχον κακῶν ἀπελύοντο, καὶ συνελόντα φάναι, οὐδεὶς ἦν ὑπὸ τοῦ πάθους, ἢ νοσήματος κατεχόμενος, ἢ καὶ λύπῃ τινὶ βαρυνόμενος, ὃς ἐπὶ Νικολάῳ προσέλθοι, οὐκ εὐθὺς ἰᾶτο, καὶ τὸ λυποῦν ἀπεβάλλετο, Οὕτως οὖν, οὐ ῥᾳδίως μόνον, ἀλλὰ καὶ ἀμισθὶ τῆς ἰάσεως γινομένης, τίνα ἔδει τῶν κακῶς πασχόντων ἀπολιμπάνεσθαι, δίδωσιν ὁ λόγος σκοπεῖν; Ἐκ δὲ τοῦ πάλιν πόσους εἶναι τοὺς ἰωμένους, εἶτα καὶ πόσην πρὸς

Θεὸν

Digitized by Google

Θεὸν γίνεσθαι τὴν εὐχαριστίαν, πόσην τῶν δοξολογούντων αὐτῶν τὴν πανήγυριν; Ἐκεῖθεν οὖν ἀπάρας πρὸς τὸν τοῦ Χριστοῦ Τάφον, καὶ παρὰ τὸν σεβάσμιον αὖθις Γολγοθᾶ ἔρχεται, ἔνθα καὶ ὁ Σωτήριος ὑπὲρ ἡμῶν ἐπάγη Σταυρός. Ἔπειτα καὶ τῷ θείῳ τοῦ Σταυροῦ ξύλῳ νυκτὸς πρόσεισι. καὶ αὐτομάτως μὲν αὐτῷ αἱ τοῦ ἱεροῦ διανοίγονται πύλαι, θερμὴν δὲ τὴν προσευχὴν καὶ πολλὴν ἐκεῖσε προσενεγκὼν τὴν προσκύνησιν, πλείονα ποιεῖται καὶ τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐνέργειαν.

Ἐπεὶ δὲ ἱκανῶς αὐτῷ εἶχε τῆς ἐν Παλαιστίνῃ διατριβῆς, διαποντίῳ πάλιν πρὸς τὴν ἐνεγκαμένην χρῆται τῇ ἐπανόδῳ. ὄψεως αὐτῷ θείας τοῦτο ἐντειλαμένης, ὥστε μὴ ἐπὶ πλέον στέρεσθαι τῆς γλυκείας ἐκείνου φωνῆς τὰ αὐτοῦ πρόβατα. ἐνταῦθα καὶ τοῦ πλοίου ἐπιβάντος τοῦ θαυμασίου, ἥτε τῶν πλωτήρων ἐλέγχεται κακουργία, καὶ ἡ τοῦ θείου Πνεύματος ὑπ' αὐτῷ θαυμάζεται δύναμις. Ὁ μὲν γὰρ πρὸς τὴν πατρίδα πλεῖν ἔμελλε, καὶ τοῦτο πρότερον τοῖς καλοῖς ναύταις συνθέμενος, οὕτω δὴ τῆς νεὼς ἐπέβη. οἱ δ' ἐπειδὴ ἀνείλοντο τὰς ἀγκύρας, οἴκου ἐμέμνηντο. Τοῦ λιμένος οὖν ἐξορμήσαντες, καὶ τὴν ὀθόνην διαπετάσαντες, τοῦ πνεύματος αὐτοῖς ἐπιφόρου πνέοντος, πρὸς τὴν οἰκίαν ἀπέπλεον. ἠμέλει δὲ οὐδαμῶς ἡ δίκη, ἀλλὰ παρὰ πόδας αὐτοῖς ἐπίει, καὶ βίαιόν τι καταιγὶς ἀντιπνεύσασα, τοὺς οἴακάς τε διήγαγε, καὶ τὰ πηδάλια παρήνεγκε, καὶ αὐτοῖς μὲν ἔσχατον ἀπειλεῖ κίνδυνον, τὸν δὲ τοῖς τῆς πατρίδος προσορμίζει λιμέσι. Τί οὖν ἡ συμπαθὴς ἐκείνη καὶ μεγαλόφρων ψυχή; οὐδὲ πικρίας, οὐδὲ λόγου τινὸς πρὸς αὐτοὺς ἐδεήθη στύφοντος, ἀλλ' ὁμοῦ τε μεταβαλλομένους εἶδε, καὶ πικρὸν οἷον τὸν μεταμέλον ποιουμένους, καὶ τῆς οἰκείας ἡττήθη χρηστότητος, καὶ πάλιν αὐτοὺς δι' εὐπλοίας εἰς τὴν οἰκίαν ἀνέπεμψεν. Αὐτὸς μέντοι τῇ τῆς Ἁγίας Σιὼν ἀποδοθείσῃ ἤδη Μονῇ, πρὸς τοῦ θείου αὐτοῦ πάλαι καλῶς οἰκοδομηθείσῃ, ὡς ὁ λόγος ἄρτι φθάσας ἐδήλωσεν, ἀσπάσιός τε αὐτοῖς ὤφθη, καὶ ἡδονῆς τοὺς ἐν αὐτῇ πάντας ἐπλήρου, καὶ πολυτελεῖ τούτους ἑστίᾳ, καὶ φιλοτίμῳ τῇ χάριτι. Σοφῶς δὲ ἄρα τὰ κατ' αὐτὸν ἄνωθεν ἡ πρόνοια διετίθει, καὶ τὸ μέγα τοῦτο φῶς ἐπὶ μεγάλην ἔμελλε θήσειν τὴν λυχνίαν, καὶ διὰ τοῦτο πάλιν αὐτὸν ἐπὶ τὴν Πόλιν κατήγαγε, φιλοπόνως τὸ θεῖον μέλι τῆς ἀρετῆς ἐργαζόμενον, Οὕτω δὲ μετιὼν τὸν βίον, ὥστε λανθάνειν ἀνθρωπίνους ἅπαντας ὀφθαλμοὺς, πλέον ἑαυτὸν δῆλον ἐποίει τὸν τοῦ παντὸς ἄξιον. οὔτε ἔκρυπτε τὸν ἐργάτην ἡ ἀρετὴ, οὐχ ἧττον ἢ τὸ φῶς τοὺς δι' ἐκείνου πορευομένους. καὶ οἱ τῶν ἐκείνου δὲ πόνων καρποὶ, ταχὺ τὸ δένδρον ἐμήνυον, ἀλλὰ καὶ τοῦ συνειδότος αὐτῷ τὰ κρύφια τῆς καρδίας Θεοῦ, μὴ ἐπὶ πλέον τὸν οἰκεῖον θεραπευτὴν λανθάνειν ἀνεχομένου, δῆλον τὸν ἄνδρα ποιεῖ. καὶ ὅπως, προσεκτέον τῷ διηγήματι.

Ἄρτι τοῦ κατ' ἐκεῖνο καιροῦ τῆς Μυρέων Προέδρου τὸν θρόνον ἄμφω καὶ τὸν βίον ἀπολιπόντος, καὶ τῆς πρὸς Θεὸν ἁψαμένου πορείας, ζῆλος εἰσῆλθε θεῖος τούς τε ὑπ' αὐτὸν Ἐπισκόπους, καὶ τοὺς λογάδας τοῦ κλήρου, τὸν ἄξιον ἀποδοῦναι τῷ θρόνῳ. Καὶ δήποτε πάντων ἐκκλησιασαμένων, συνεβούλευέ τις αὐτῶν, (Θεοῦ δὲ τοῦτο, καὶ τῆς ἐκείνου σοφίας οἰκονομία,) εὐχῇ τὰ τοῦ πράγματος ἐπιτρέψαι. τοῦτο πάντων ὡς περίδιαν ἑκάστου γνώμην προελομένων, ὁ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος, καὶ τῆς ἐκείνων δεήσεως εἰσακούων, ἐνὶ τούτων τὸν προστησόμενον τῆς Ἐκκλησίας ἀποκαλύπτει.

Καὶ δήποτε τῷ ἀνδρὶ τῷ δε, Θεία τὶς ἐπιστᾶσα ὄψις, ἐπιτάττειν αὐτῷ ἐδόκει, παρὰ τὰς τοῦ Ναοῦ εἰσόδους ἐλθόντι στῆναι, καὶ ὅσπερ ἂν φαίνεται πρῶτος τὸν Ναὸν καταλάβοι, οὗτος ἐστὶν ὁ τῷ ἐμῷ κινούμενος Πνεύματι. καὶ λαβόμενοι αὐτοῦ, Νικόλαος δὲ τῷ ἀνδρὶ ὄνομα, Ἐπίσκοπον προχειρίσασθε. τοῦτο γὰρ αὐτῷ καὶ προώρισται.

Οὕτως ὁ θεῖος ἐκεῖνος ἀνὴρ μυηθεὶς, τῇ Συνόδῳ ταῦτα καὶ τῷ κλήρῳ κοινοῦται, Καὶ δὴ

Digitized by Google

δὴ φιλοπονώτερον ἁπάντων τῆς προσευχῆς ἐχομένων, ὁ τὸν μέγαν ἐκκαλυφθεὶς, ἔνθα δὴ κεκέλευστο ἀφικνεῖται. Ἤδη δὲ περὶ ὄρθρον Πνεύματι θείῳ κινηθεὶς ὁ μέγας Νικόλαος, τὴν Ἐκκλησίαν καὶ οὗτος καταλαμβάνει. Ἐπεὶ δὲ ἐν τῷ προνάῳ γένοιτο, λαβόμενος αὐτοῦ ὁ τῆς ὄψεως ἠξιωμένος, πῶς ἄρα ὦ τέκνον καλῇ, ἐπιμελῶς ἤρετο; Ὁ δὲ πράως οὕτω καὶ ἀφελῶς· Νικόλαος ἁμαρτωλὸς Δέσποτα ἔφη τῆς ἁγιότητος δοῦλος τῆς σῆς.

Ὁ θεῖος τοίνυν ἐκεῖνος ἀνὴρ, ἐπειδὴ τὰ μέτρια ταῦτα καὶ ταπεινὰ παρὰ τοῦ μεγάλου ἤκουσε ῥήματα, τοῦτο μὲν ἀπὸ τῆς τοῦ Νικολάου κλήσεως, ἣν καὶ ἡ φανεῖσα ὄψις αὐτῷ προειρήκει, τοῦτο δὲ καὶ ἀπὸ τοῦ μεγέθους τῆς μετριοφροσύνης, (οὐκ ἠγνόει γὰρ ἐπὶ τίνα ἐπιβλέπει Θεὸς, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον δηλαδὴ καὶ ἡσύχιον,) τοῦτον ἐκεῖθεν εἶναι τὸν ὑπὸ Θεοῦ δηλούμενον ἐγνωκὼς, ἡδονῆς εὐθὺς ὑποπίμπλαται, καθάπερ τινὶ κεκρυμμένῳ περιτυχὼν θησαυρῷ. καὶ ἕρμαιον εἶναι τὴν τοῦ ἀνδρὸς εὕρεσιν λογισάμενος, ἀκολούθει μοι τέκνον, φησὶ πρὸς αὐτόν. Εἶτα καὶ παραλαβὼν, ἤγαγε πρὸς τοὺς Ἐπισκόπους. οἱ δὲ συμβάλλουσιν αὐτίκα τὸ πρᾶγμα, εἰρημένον αὐτοῖς πρότερον ἀπὸ τοῦ ἀνδρὸς, καὶ μεστὴ θείας χαρᾶς καὶ αὐτοῖς ἐγίνετο ἡ ψυχὴ, συμβαίνουσαν τῇ ἀπὸ Θεοῦ ψήφῳ, καὶ τὴν τοῦ ἀνδρὸς κρίνουσιν ἀρετήν. Εἶτα τὸν Ἅγιον ὡς εἶχον εὐθὺς κατὰ μέσον ἄγουσι τοῦ Ναοῦ. πανταχοῦ δὲ τῆς φήμης διαδραμούσης, (φιλεῖ γὰρ ἐν οὕτω μεγάλοις προστάγμασιν αὕτη, συντόμῳ μάλιστα χρῆσθαι καὶ ταχεῖ τῷ πτερῷ,) συρρεῖ μέν τοι πλῆθος ἀριθμοῦ κρεῖττον. Οἱ δὲ σὺν μεγέθει φωνῆς, δέξασθε τὸν οἰκεῖον ἀδελφοὶ ποιμένα φασὶν, ὃν ὑμῖν ἔχρισε τὸ Πνεῦμα τὸ Ἅγιον. ᾧ τὴν τῶν ὑμετέρων ψυχῶν κυβέρνησιν, καὶ τὸν καταρτισμὸν ἐνεχείρισεν. ὃν οὐκ ἀνθρωπίνη ψῆφος, ἀλλὰ θεία προεχειρίσατο. Ἔχομεν τοιγαροῦν ὃν ἐποθοῦμεν, ὃν ἐζητοῦμεν. μιᾶ ὑπειλήφαμεν, ὑπὸ τούτου ποιμαινόμενοι καλῶς καὶ ἀγόμενοι. οὐκ ἄπορον μὲν ἐλπίδων καὶ τῷ Θεῷ παραστῆναι λαὸς περιούσιος, ἐν ἡμέρᾳ ἐπιφανείας αὐτοῦ καὶ ἀποκαλύψεως. Τούτοις τὸ πλῆθος προσετίθεσαν τὴν εὐχαριστίαν, καὶ εὐφροσύνης οὐχ ὅπως καὶ λεχθῆναι ῥᾳδίας, πρὸς Θεὸν ἐφθέγγοντο ῥήματα. Ἡ μέν τοι τῶν Ἐπισκόπων ἱερὰ Σύνοδος σὺν τῷ κλήρῳ, πᾶν ἔτι νενομισμένον πρότερον ἐπ' αὐτῷ διαθέντες, τῷ τῆς Ἀρχιερωσύνης χρίσματι τελειοῦσιν. ἀναβαλλόμενον μὲν καὶ ὀκνοῦντα τὴν προεδρείαν, διὰ δειλίαν ὄντως ἐπαινουμένην, μόλις δ' οὖν ἐπὶ τὸν Ἀρχιερατικὸν ἀναβάντα θρόνον, καὶ τῆς Μυρέων προκαθίσαντα, καὶ τὴν ἐπιστασίαν ἀναδεξάμενον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, καὶ τὰ τῆς εὐσεβείας δόγματα ὑγιῶς φρονοῦντά τε καὶ διδάσκοντα. Βάσκανον δὲ ἄρα τούτοις ὁ πονηρὸς ἐπέβαλεν ὀφθαλμόν. ἀνθοῦσαν γὰρ οὕτως οὐκ ἤνεγκε τὴν εὐσέβειαν, ἀλλ' ὀξὺς ὅτι μάλιστα τοὺς κρατοῦντας εἰσδὺς, σφοδρότερόν τε τὸν διωγμὸν αὐτίκα ἐποίει, καὶ βασιλικὰ διατάγματα κατὰ πᾶσαν ἐφοίτα τὴν οἰκουμένην, εἰς ἄρνησιν τῆς εὐσεβείας τοὺς πιστοὺς ἐκκαλούμενα ἴσως, εἰδ' οὐ, ἀλλὰ δεσμὰ καὶ φρουραὶ καὶ βαρύτατοι βάσανοι, καὶ τέλος βίαιοι θάνατοι τοὺς ἀπειθοῦντας εὐθὺς ἐξεδέχοντο. Ταῦτα καὶ μέχρι τῆς Μυρέων ἐν βραχεῖ φθάνει, πτηνοῖς διακόνοις τοῖς θερμοῖς τῆς ἀσεβείας ἐρασταῖς χρώμενα. Ὁ θεῖος τοίνυν Νικόλαος, ἐπειδὴ μέγας ἦν ἐν αὐτῇ, τὰ Χριστιανῶν πρεσβεύων, καὶ τὴν εὐσέβειαν ἐλευθέρᾳ κηρύττων γλώττῃ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων παρὰ τῇ Πόλει, καὶ δεσμὰ καὶ στρέβλας, καὶ μυρίαν ἄλλην βάσανον καταψηφισθεὶς, εἶτα καὶ φυλακῇ μετὰ πολλῶν καὶ ἄλλων Χριστιανῶν παραδίδοται. ἐν ᾗ καὶ διέμεινε χρόνον οὔτε βραχὺν, χρηστοῦ μὲν οὐδενὸς ἀπολαύων, τῶν ἐκ τῆς φυλακῆς δὲ ἱκανῶν ἀνεχόμενος, οὕτω γενναίως, ὥσπερ ἄν τις ἡδέων καὶ προσφιλῶν ἀνάσχοιτο. Πλὴν οὐδὲ οὕτως ἀνίει τοὺς ὑπ' αὐτὸν, νάμασιν εὐσεβείας ἐπάρδων, καὶ τὴν ἐν αὐτοῖς πίστιν ἐκτρέφων, ἐν ἀρραγεῖ τε θεμελίῳ τοὺς ἐκείνων πόδας ἱστῶν,

καὶ

Digitized by Google

καὶ μεγαλικωτέρους ὑπὲρ τῆς ἀληθείας αὐτοὺς παρεχόμενος. Ἀλλ᾽ εὐθὺς ἥλιος μετὰ νέφος, καὶ ἠπία τὶς αὔρα μετὰ τὴν καταιγίδα, καὶ φιλανθρώπως ὁ ἐμὸς Χριστὸς ἄνωθεν πρὸς τὴν αὐτοῦ κληρονομίαν ἰδὼν, καθαίρει μὲν ἀσεβείας ἅπαντα σκῆπτρα, καὶ ἐκ μέσου ποιεῖ. Διοκλητιανοὶ ταῦτα καὶ Μαξιμιανοὶ, καὶ ὅσοι μετ᾽ αὐτοὺς τοῦ ἑλληνισμοῦ προεστήκεισαν· ἀνίστησι δὲ κέρας σωτηρίας τῷ λαῷ αὐτοῦ, καὶ τύπῳ Σταυροῦ δι᾽ ἀστέρων, τὸν Κώνσταντος καὶ Ἑλένης υἱὸν Κωνσταντῖνον μετακαλεῖται, καὶ τὸ Ῥωμαίων ἐγχειρίζει σκῆπτρον. Ὁ δὲ συνετὸς ὢν, καὶ τὸν καλέσαντα ὅς τις εἴη μὴ ἀγνοήσας, αὐτῷ τε ἐθάρσησε, καὶ τοὺς ἀνθισταμένους πάντας καταβαλὼν, θερμότατα προέστη τῆς εὐσεβείας, καὶ παλινῳδίαν τοῖς πρὸ τοῦ βασιλεύσασιν ᾖδε. καθαιρεῖσθαι μὲν τοὺς τῶν εἰδώλων ναοὺς κελεύων, ἀφίεσθαι δὲ τῶν φυλακῶν τοὺς ἀποκεκλεισμένους διὰ τὸ τοῦ Χριστοῦ ὄνομα, ἀνοικοδομεῖσθαι δὲ τὰ χριστιανῶν τεμένη, καὶ τὸν οἰκεῖον τῆς Ἐκκλησίας ἐπαναιρεῖσθαι κόσμον. Τοῦ τοιούτου τοιγαροῦν δόγματος τὴν ὑπὸ χεῖρα πᾶσαν διαλαβόντος, ἐπὶ τὰς ἑαυτῶν πατρίδας οἱ τοῦ Χριστοῦ ὁμολογηταὶ κατήγοντο ἕκαστος. Ἀμέλει καὶ τὸν οἰκεῖον Ἀρχιερέα Νικόλαον ἡ Μυρέων, μάρτυρά γε τῇ προαιρέσει, καὶ ἀναίμακτον ἀπελάμβανε στεφανίτην. Ὁ δὲ χαρίσμασι πάντοθεν κομῶν τοῖς θεοδωρήτοις, πάθη τε πάντα ἰᾶτο, καὶ ἐπίδοξος, οὐ πιστοῖς μόνον, ἀλλὰ καὶ πολλοῖς ἐν βραχεῖ καὶ τῶν ἀπίστων ἐγένετο, καὶ θαῦμα ταῖς ἁπάντων ἔκειτο ψυχαῖς λόγου κρεῖττον. Διατοι ταῦτα καὶ τῶν εἰδωλικῶν πολλοὺς ἔτι βωμῶν περιλειπομένους ὁρῶν, καὶ τούτους πολλῶν δαιμόνων ἐπιχωριάζοντας φύλων, καὶ οὐκ ὀλίγους ἀπολλῦντας τῶν Μυρέων, ζήλῳ θείῳ διακαυθεὶς τὴν ψυχὴν, ἀνδρικώτατα διανίσταται· καὶ τὴν ἐκείνων πᾶσαν περιελθὼν, εἴπου τινὶ βωμῷ περιτύχοι, εἰς ἔδαφος κατέσπα, καὶ εἰς κόνιν ἐλέπτυνε. καὶ οὕτως ἐκποδὼν τὴν τῶν δαιμόνων πληθὺν ποιούμενος, καθαρᾶς ἀπολαύειν γαλήνης τῇ ποίμνῃ παρεῖχε. Τοιαῦτα τῷ ἁγίῳ κατὰ τῶν τῆς πονηρίας διαστρατηγοῦντι πραγμάτων, γίνεταί τις αὐτῷ ἄνωθεν ἔμπνευσίς τε καὶ ἔννοια θειοτέρα, μὴ δὲ τοῦ τῆς Ἀρτέμιδος ἀποσχέσθαι ναοῦ, ἀλλὰ καὶ αὐτῷ προσβαλεῖν, καὶ τὰ ἴσα τοῖς προτέροις διαθεῖναι. ἦν γὰρ οὗτος, τό, τε κάλλος θαυμάσιος, καὶ μεγέθει τοὺς ἄλλους ὑπεραναστηκὼς, καὶ δαίμοσιν ἡδίστη διατριβή. Ὁρμῆς τοιγαροῦν ἐπὶ τουτονὶ τὸν ναὸν πλείονος αὐτὸν εἰσελθούσης, καὶ ἀνδρικώτερον αὐτῷ ἐμβαλὼν, οὐχ ὅσα ὑπερανεστήκει τῆς γῆς ἅπαντα καθῄρει μόνον, εἰς ἔδαφός τε κατέσειεν, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν κρηπίδων ἀνέσπα. καὶ τὸ ὅλον, τὰ μὲν ἐπὶ τοῦ ἀέρος μετέωρα τοῦ ναοῦ, τῷ ἐδάφει ἐδίδου, τὰ δὲ κάτω καὶ ὑπὸ γῆν, εἰς τὸν ἀέρα ἐρρίπτει. Οἵ γε μὲν πονηροὶ δαίμονες, οὐδ᾽ οὕτως ὑπομεῖναι τὸν Ἅγιον δυνατοὶ ἦσαν, ἀλλὰ καὶ φεύγοντες φωνὰς ἠφίεσαν, καὶ ὑπ᾽ αὐτοῦ ἀδικεῖσθαι ἰσχυρῶς διετείνοντο, καὶ τῶν ἰδίων ἄκοντες ἀπανίστασθαι. Καὶ οὕτω μὲν ταῦτα τῷ Ἁγίῳ ἐχώρει, καὶ πέρας αὐτοῦ χρηστὸν, ἡ κατὰ δαιμόνων ἐλάμβανε στρατηγία. Ἀλλὰ μεμνῆσθαι πάλιν ὁ λόγος καὶ τῶν ἄλλων αὐτοῦ βούλεται, καὶ μὴ λήθῃ παραδοῦναι τὰ λόγου καὶ μνήμης ἄξια.

Ἤδη γὰρ Κωνσταντίνου τοῦ πρώτου Βασιλέως τὸ εὐσεβὲς ἑλομένου, τὴν Ῥωμαίων ἀρχὴν διοικοῦντος, καὶ τούτου δὴ τοῦ μεγάλου Ἀρχιερέως τὸ περὶ αὐτὸν πλῆθος πρὸς ἀνάληψιν τῶν ὀρθοδόξων ἀσκοῦντος δογμάτων, καὶ πᾶν εἴτι ἔκφυλον ἐν αὐτοῖς καὶ νόθον ῥίζαις αὐταῖς ἀποτέμνοντος, ἀθροίζεται μὲν κατὰ Νίκαιαν τὸ ὀρθόδοξον ἅπαν, ἐφ᾽ ᾧ τὸν εὐσεβῆ τῆς Πίστεως ὅρον διαθεσπίσῃ, τὴν δὲ Ἀρείου βλάσφημον αἵρεσιν μακρὰν ἀπελάσῃ, καὶ εἰρήνην πάσῃ βραβεύσῃ τῇ Ἐκκλησίᾳ, ὁμότιμον τῷ Πατρὶ τὸν Υἱὸν δογματίζοντες, καὶ εἰς ἓν ἀμφότερα τὰ μέρη συνάψοντες. Μέρος οὖν καὶ ὁ θαυμαστὸς οὗτος Νικόλαος, τῆς ἱερᾶς γίνεται Συνόδου, γενναίως τε κατὰ τῶν Ἀρείου φλυαριῶν ἵσταται. καὶ διαλύσας πάντα, καὶ κανόνα πᾶσι τῆς ὀρθῆς πίστεως ἀκριβῆ παραδοὺς,



Digitized by Google

ῥαδοῦς, ἐκεῖθέν τε ἀναζώννυσι, καὶ πρὸς τὴν οἰκείαν ἐπανήκει ποίμνην, τρέπων πάντας καὶ προάγων ἐπ' ἀρετὴν, καὶ θερμότερον τῆς διδασκαλίας ἁπτόμενος. Λιμοῦ δέ ποτε κατὰ τὴν Λυκίαν περιέχοντος, ἐστάνιζε τροφῆς καὶ ἡ Μυρέων, καὶ τοῖς ἴσοις κακοῖς ἐπιέζετο. Ἐμπορείαν γοῦν τινὶ τῶν ναυτικῶν σίτου πεποιημένῳ, ἐπιφαίνεται νυκτὸς ὁ μέγας Νικόλαος, καὶ τρεῖς αὐτῷ χρυσοῦς εἰς ἀῤῥαβῶνα δοὺς, ἐν τῇ Μυρέων καταῖραι, καὶ ἀποδόσθαι τὸν σῖτον τοῖς ἐκεῖ ἐπισκήπτει. Διυπνισθεὶς τοίνυν ὁ ἔμπορος, καὶ τοὺς χρυσοῦς παρὰ τῇ χειρὶ εὑρὼν, καὶ τὴν ὄψιν εἰς νοῦν βαλλόμενος, τὸ γεγονός τε διὰ θαύματος ποιησάμενος, πρὸς τὰ Μύρα κατάγεται. Καὶ ὁ μὲν τὸν σῖτον ἐν τῇ Πόλει διαπωλεῖ, οἱ δὲ ἐν αὐτῇ παραμύθιον τοῦ λιμοῦ τοῦτον εὑρόντες, Θεῷ καὶ τῷ μεγάλῳ Νικολάῳ κἀνταῦθα, ὥς περ δὴ καὶ πολλοῖς ἄλλοις, τὴν σωτηρίαν ἐπέγραφον.

Εἶτα στάσις ὑπὸ τῶν Τανφάλων κατὰ Φρυγίαν ἀνάπτεται τὴν μεγάλην. Καὶ δῆτα πυθόμενος ὁ Βασιλεὺς Κωνσταντῖνος, καὶ κοινῇ συσκεψάμενος περὶ τούτου, τρεῖς ἅμα τοῖς ὑπ' αὐτῷ στρατηλάταις, (Νεποτιανὸς, καὶ Οὖρσος, καὶ Ἑρπυλίων αὐτοῖς τὰ ὀνόματα,) καταμάσαι τὰ πράγματα, καὶ εἰς ἀταξίαν μεταγαγεῖν εἰς Φρυγίαν ἐκπέμπει. Οἱ δὲ σὺν πολλῷ τάχει τῆς Κωνσταντίνου ἐξορμηθέντες, ἔν τινι τῶν Μυρέων λιμένι τῆς Λυκίων κατήχθησαν Ἐπαρχίας, Ἀδριάκις τὸ ἐπίνειον ἐκαλεῖτο. Πλεῖν τοίνυν οὐ παρέχοντος αὐτοῖς τοῦ πελάγους, βραχὺ πρὸς τῷ λιμένι διεκαρτέρουν. Ἐν τούτῳ δέ τινες τῶν ὑπ' αὐτοὺς στρατιωτῶν ἐξίασι τοῦ πλοίου τὰ πρὸς χρείαν αὐτοῖς ὠνησόμενοι. Οἷα δὲ φιλεῖ τὸ στρατιωτικὸν ἁρπαγῇ τῶν ἀλλοτρίων καὶ βίᾳ τὰ πολλὰ χαίρειν, τούτοις ἐχρῶντο κἀνταῦθα, καὶ κακῶς τὰ τῶν προσοίκων ἐποίουν. Εἶτα καὶ εἰς στάσιν ἐχώρει τὸ πρᾶγμα, καὶ ταραχή τις πρὸς τῷ καλουμένῳ πλακώματι ἀνεγήγερτο. Γνωσθὲν οὖν τῷ θαυμαστῷ Νικολάῳ, μὴ δὲ βραχὺ μελήσας, παρὰ τὸ ἐπίνειον ἧκεν. Ἐπειδὴ δέ τισιν ὀλίγοις γέγονε δῆλος, τῇ φήμῃ διὰ πάντων ἐφοίτα. καὶ παραχρῆμα ἡ Πόλις αὐτῷ πᾶσα μετὰ τῶν στρατηλατῶν προσκυνήσοντες ὡς ἔθος ὑπήντων. Ἐρωμένου τοίνυν τοὺς Στρατηλάτας ἐφ' ὅ, τε, καὶ ὅθεν ἥκοιεν. ἐκεῖνοι παρὰ Βασιλέως ἀπεστάλθαι εἶπον, ἐφ' ᾧ τοῖς κατὰ Φρυγίαν τὰς στάσεις καλῶς διαθήσουσι. Καὶ ὃς παραλαβὼν αὐτοὺς ἐν τῇ Πόλει, φιλοτίμως ξενίζει. εἶτα τὸν θόρυβον ἐκεῖνοι κοιμίσαντες τῶν στρατιωτῶν, καὶ ἀλογίας τῆς παρ' ἐκείνου ἀξιωθέντες, ἤδη πρὸς τῇ ἐξόδῳ ἦσαν. Ἐν τούτῳ δὲ προσίασί τινες τῶν τῆς Πόλεως τῷ Ἁγίῳ, καὶ θερμότατα τοῖς αὐτοῦ ποσὶ προσπεσόντες, ἀμύνειν ἀδικουμένοις ἐδέοντο, καὶ λύσιν τῶν παρόντων ἠξίουν. Ὁ γὰρ Ἡγεμὼν Εὐστάθιος, σὺν οἰμωγῇ καὶ δακρύοις ἔλεγον, χρήμασι τὴν ψυχὴν διαφθαρεὶς ὑπὸ τῶν φθόνου καὶ κακίας θεραπόντων, τρεῖς τῶν ἐν τῇ Πόλει ἄνδρας, οὐδὲν ὅλως ἁμαρτόντας, θανάτῳ κολάζει. Ὑπὲρ τούτων οὖν καὶ ἡ πόλις ἐλεεινῶς κόπτεται, καὶ πενθεῖ, καὶ τὴν σὴν ἐν πολλῇ τῇ λύπῃ παρουσίαν ἐπιβοᾶται. εἰ γὰρ παρῆς, οὐκ ἂν τοιοῦτον ὁ Ἥλιος παρ' αὐτῇ μύσος ἐπεῖδε. Τούτων ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ τῆς ἐκείνου συμπαθείας μιμητὴς ἀκούσας, σφύζει τε πρὸς ταῦτα τὴν ψυχὴν, καὶ ἀνίσταται. καὶ τοὺς στρατηλάτας παραλαβὼν αὐτίκα, ὁδοῦ εἴχετο. Ἔν τινι γοῦν τόπῳ (Λέων δὲ οὗτος ἐκαλεῖτο,) γενόμενος, ἐπυνθάνετο τῶν παριόντων, εἴ τι περὶ τῶν ἀνδρῶν ἐκείνων εἴδοιεν, καὶ ὅπου ἄρα τούτους ἀπολίποιεν. Οἱ δὲ κατὰ τοὺς καλουμένους φησὶ Διοσκόρους ἐν τῇ πλατείᾳ. καὶ ὃς, αὐθὺ τοῦ μαρτυρίου τῶν Ἁγίων Κρίσκεντος καὶ Διοσκορίδου ὁδεύων, ἐπειδὴ μαθὼν τούτους ἄρτι τὴν πύλην ὑπερβαίνοντας παρὰ τὸν Βηρὰν ἄγεσθαι, (τόπος δὲ οὗτος τῶν καταδίκων ἐπιθανάτιος,) ἐπιτείνας τὴν πορείαν, καὶ τὸ ἐνδέον τῷ γήρει τῷ διαπύρῳ τῆς καρδίας ἀναπληρώσας, ἐν βραχεῖ τὸν ὡρισμένον τόπον καταλαμβάνει, καὶ ὁρᾷ πολὺν μὲν ὄχλον περιεστῶτα, τοὺς ἄνδρας δὲ ὀπίσω φεῦ τὰς χεῖρας δεδεσμημένους, καὶ



Digitized by Google

τὰ ὄψεις κεκαλυμμένους. ἤδη δὲ πρὸς γλῶτταν κεκλισμένους, καὶ γυμνῷ τραχήλῳ καὶ διατεταμένῳ τὴν τομὴν ἀναμένοντας, ἐλεεινὸν θέαμα, καὶ μὴ δι' ὀφθαλμὸν δυνάμενον ἔχειν τοῦ πάθους μάρτυρα, αὐτὸν δὲ τὸν δήμιον τὸ ξίφος ἤδη διεσπασμένον. καὶ φόνιόν τι καὶ μανικὸν βλέποντα, καὶ ψιλῇ θέᾳ τὸ ἀπηνὲς ὑποφαίνοντα. Ταῦτα ὡς εἶδε, καὶ τῷ σκυθρωπῷ ἐκείνῳ θεάματι τὰς ὄψεις ἐπέβαλε, πρᾳότητι τὸ αὐστηρὸν κεράσας, οὔτε θρασύτι καὶ μενικὸν ἄλλως ἐφθέγξατο, οὔτε ἀγεννῶς προῆλθε καὶ ὑφειμένως. ἀλλ' ὡς εἶχε δρομαίως ἐπὶ τὸν δήμιον παρελθὼν, τὸ ξίφος μὲν τῶν ἐκείνου χειρῶν ἀφαιρεῖται, οὐδὲν ὑποδείσας, ἢ πτοηθεὶς, ῥίπτει δὲ αὐτὸ κατὰ γῆς, καὶ τοὺς ἄνδρας τῶν κατεχόντων δεσμῶν ἀνίστησι. Ταῦτα μετὰ πολλῆς δρῶντα τῆς αὐθεντίας, οὐδεὶς ἦν ὁ κωλύων, τὸ περιὸν οἶμαι τῆς ἀρετῆς εἰδότες, καὶ τὸν ὑπὲρ τοῦ δικαίου ζῆλον αὐτοῦ δυσωπούμενοι. Τοῖς μὲν οὖν σωθεῖσιν ἡ χαρὰ θερμὰ ἐκίνει τὰ δάκρυα. καὶ ἀθρόον τι ἐκ μεταβολῆς καὶ εὔθυμον ἀνεβόων. Τὸ δὲ πεδίον ὅλον θέατρον ἦν, ἀφήμουν τε πάντες. καὶ ἐρρήγνυντο ἐπὶ τῇ βοῇ, πρὸς τὴν ὄψιν ὧν ἐτεθέαντο. Ἐνταῦθα ὁ Ἡγεμὼν Εὐστάθιος ἐπιφαίνεται, ἀλλὰ καὶ φανέντα τοῦτον ὁ μέγας περιορᾷ, καὶ προσερχόμενον ἀπωθεῖται, κατειπεῖν τε αὐτοῦ πρὸς τὸν Βασιλέα, καὶ καλέσας κατ' αὐτοῦ τὸν Θεὸν, καὶ ὅλως κακοῖς περιβαλεῖν ἐσχάτοις τὸν ἄνδρα ἠπείλει, ἀδικώτατα, οὕτω τῇ ἀρχῇ χρώμενον, καὶ μεγάλοις ἐπιχειροῦντα κακοῖς. Ὁ δὲ δεινῶς τε τοῖς τῆς μεταμελείας κέντροις ἐβάλλετο, καὶ καὶ συνειδότι πάνυ σφόδρα τὴν καρδίαν ἐδάκνετο. ταῦτά τοι καὶ δακρύοις τὸν ἔλεον ἐθηρᾶτο. καὶ ἱκέτης ἐγίνετο, καὶ ὑπὸ ψυχῆς ὅλης ἐδεῖτο, διαλλαγῆναι αὐτῷ τὰ πρὸς τὸν μέγαν Νικόλαον. Εἶτα καὶ τὴν αἰτίαν ἐπὶ Σιμωνίδην καὶ Εὐδόξιον τοὺς Μυρέων πρωτεύοντας μετετίθει. τὸν δὲ ἄρα ψευδόμενος οὐκ ἐλάνθανεν. ᾔδει γὰρ ἀκριβῶς, ὅτι χρυσίῳ διαφθαρεὶς, θάνατον κατέκρινε τῶν ἀθῴων. Ἐκεῖνοι μὲν οὖν ὅλοι τῆς πρὸς αὐτὸν ἀχαριστίας ἐγίνοντο, καὶ πολὺς ὁ τοῦ Χριστοῦ θεράπων ὑπὸ τῆς αὐτῶν γλώττης ᾔδετο, καὶ τὸ ἔργον οὐκ ἄλλου τινὸς ὡμολόγητο. Οἱ μέν τοι στρατηλάται τῶν αὐτοῦ θαίων ἀγχῶν ἀξιωθέντες, καὶ ταύτας καλὸν ἐφόδιον ἐπαγόμενοι, πρὸς τὴν Φρυγίαν ἀφίκοντο. Καὶ διαθέμενοι τὰ ἐν αὐτῇ πάντα εἰς δέον, καὶ ὅσα παρὰ τοῦ Βασιλέως ἐντέταλτο αὐτοῖς τελεσάμενοι, πρὸς τὸ Βυζάντιον ἐπανῆκον. Τούτοις ὑποδοχὴ φιλότιμος καὶ πολυτελὴς πρός τε τοῦ Βασιλέως καὶ τῶν ἐν τέλει γίνεται, καὶ τοῦ λοιποῦ περὶ τὰ Βασίλεια διῆγον, ἀπόβλεπτοι καὶ περιφανεῖς, καὶ πολλή τις ἦν ἡ περὶ αὐτοὺς θεραπεία. οὐκ ἔμελλε δὲ ταῦτα πράως οἴσειν ὁ φθόνος, οὐδὲ βασκάνῳ ὀφθαλμοῖς φορητὰ γενέσθαι. Ὅθεν καὶ προσελθόντες τινὲς τῷ Ἐπάρχῳ τῆς Πόλεως, ἅτε παραδοκιμούμενοι παρ' αὐτῷ, δεινὴν πλέκουσι κατ' ἐκείνων συκοφαντίαν, οὐ χρηστὰ λέγοντες βεβουλεῦσθαι τοὺς στρατηλάτας, οὐδὲ μὴν εἰς ἀγαθὸν περιστῆναι τέλος τὴν ἐκείνων ὁρμήν. νεωτέροις γὰρ ἐπιχειροῦσι πράγμασιν. ὅσα ἡμῖν εἰς ἀκοὰς ἧκε, καὶ πονηρὰ τεκταίνουσι κατὰ Βασιλέως. Οὕτω τῶν ἀνδρῶν κατειπόντες, καὶ χρυσίῳ πολλῷ τὸν Ἔπαρχον ὠνησάμενοι, τὰς βασιλικὰς δι' ἐκείνου φθείρουσιν ἀκοάς. αὐθὺς γὰρ εἰς ὄψιν αὐτὸς τῷ Βασιλεῖ γενόμενος, διέξεισί τε ἃ παρ' ἐκείνων ἀκούσας, καὶ πείθει ἐρήμῃ δίκῃ ὑπ' αὐτοῦ ἁλῶναι τοὺς ἄνδρας. τέως δ' οὖν φυλακῇ δοθῆναι, μὴ λαθόντας φησὶ δράσωσιν, ἃ πάντας μεμελετήκασι. Γέγονε μὲν οὕτω, καὶ τοὺς ἄνδρας εἶχεν ἡ φυλακὴ, οὐδ' αὐτὸ τοῦτο εἰδότας, ὅτου χάριν τῇ φυλακῇ παραδέδοντο. τοσοῦτον ἀπεῖχον τοῦ πονηρόν τι βουλεύσασθαι κατὰ Βασιλέως. Χρόνος ὁ μεταξὺ συχνὸς, καὶ πάλιν ἡ πονηρία καθάπερ οὐκ ἀρκουμένη τοῖς προλαβοῦσι, τὸ ἐλλεῖπον ἀναπληροῖ. Διῆγον μέν τοι οὕτως οἱ ἄνδρες τῇ φυλακῇ προσκακοπαθοῦντες. Οἱ συκοφάνται δὲ, ἐπειδὴ ὑπορρέοντα τὸν χρόνον ἑώρων, δείσαντες μήπου τι τῶν ἀδοκήτων συμβαίη, ἐλεγχθῇ μὲν τὰ τοῦ δράματος, περιτραπῇ δὲ κατ' αὐτῶν ὁ κίνδυνος, προσίασι τῷ Ἐπάρ-



Digitized by Google

χῳ πάλιν, καὶ ὄχλου πλείονος γίνονται, μὴ οὕτως ἐᾶσαι τὰ τῶν ἀνδρῶν, ἀλλ' ἀξίαν αὐτοῖς τὴν δίκην ἐπενεγκεῖν. Ἐκεῖνος τοίνυν ὑπὲρ τοῦ χρυσοῦ δεδοικὼς, μὴ καὶ ἀφαιρεθείη τοῦτον, πέρας τῶν ὑποσχεθέντων οὐκ εἰληφότων, πρόσεισι τῷ Βασιλεῖ καὶ αὖθις, τῇ τε τοῦ προσώπου ἐνστάσει, καὶ τῷ σκυθρωπῷ τῆς ὄψεως, κακῶν ἄγγελος ἥκειν δοκῶν, καὶ ἅμα δῆλος εἶναι βουλόμενος τῆς ἐκείνου ζωῆς ἐκ παντὸς φροντίζων, καὶ ἀνοικῶς ἔχων, καὶ πιστότατα πρὸς αὐτὸν διακείμενος. Ἔνθεν τοι καὶ ποικίλως αὐτὸν ὑποτρέχει, καὶ ὑποκάθηται ῥήμασιν, οἱ κατὰ τοῦ σοῦ κράτους Δέσποτα (εἰρηκὼς) πονηρὰ μεμελετηκότες, ἀνθ' ὧν παρ' αὐτοῦ ἀπέλαυσαν ἀγαθῶν, οὐδὲ ἐν τῇ φυλακῇ ὄντες ἀφίστανται τῆς ἴσης μελέτης, οὐδέ τις αὐτοὺς αἱρεῖ μεταμέλεια, ἀλλ' ἐμμένουσι καὶ νῦν τοῖς προτέροις, καὶ τὰ αὐτὰ πάλιν κακούργως ῥάπτουσι. Νῦν οὖν εἰ μὲν ἔστιν ὅπως αὐτοὺς ἀξίως τιμωρησαίμεθα, εἰδ' οὖν ἄλλα σκεπτέον, μὴ αὐτοὶ προλαβόντες, ἡμᾶς κακῶς διαθῶνται. Θορυβοῦσι ταῦτα τὸν Βασιλέα, καὶ εἰς ὑπονοίας ἐμβάλλουσιν. ἀμέλει καὶ ἀπολῦσαι φροντίδων τοὺς λογισμοὺς, καὶ μὴ τρέμειν εἰς τὸ μέλλον καὶ δεδοικέναι βουλόμενος, θάνατον κατακρίνει τῶν ἀναιτίων. Ὥριστο τοίνυν τὸ θανεῖν αὐτοὺς εἰς τὴν ἐπιοῦσαν. ἡ γὰρ ψῆφος ἑσπέρας ἐδέδοτο, καὶ τῷ δεσμοφύλακι, δυστυχὴς ἄγγελος ἧκε τῆς καταδίκης, καὶ πάντα μηνύει τὰ κατ' αὐτούς. ὁ δὲ πολλὰ πρότερον ἐφ' ἑαυτοῦ θρηνήσας τὴν συμφορὰν, (ἦν γὰρ ὡς ἔοικε πολλῷ τοῦ ἐπάρχου φιλανθρωπότερος, ἄλλως τε καὶ φίλος αὐτοῖς ἤδη καὶ συνήθης γενόμενος,) εἶτα καὶ τοῖς ἀνδράσι πενθῶν πρόσεισι, καὶ ὤφελον ἔλεγε μηδὲ τὴν πρώτην ὑμῶν εἰς λόγους ἦλθον, μηδὲ τοσοῦτον διετρίψατε παρ' ἐμοὶ χρόνον, μηδὲ τραπέζης ὑμῖν, μηδὲ ἁλῶν ἐκοινώνησα. ῥᾷον γὰρ ἂν ὑπέστην τὴν συμφορὰν, ἧττον ἤλγησα τὴν διάζευξιν, οὐκ ἂν μου τὸ πάθος οὕτω καθίκετο τῆς ψυχῆς. ἄνειον γὰρ ἀπ' ἀλλήλων διαζευγνύμεθα τὴν πικρὰν, οἴμοι, καὶ τελευταίαν διάζευξιν, καὶ οὐκ ἂν ὑμῶν ἔτι τὴν ποθεινὴν ὄψομαι θέαν. οὐ λαλούντων ἀκούσω. οὐκ ἄρτον κοινὸν παραθήσομαι. ἀναιρεθῆναι γὰρ ἐκελεύσθητε, Ἀλλ' ἔτι καὶ περὶ τῆς οὐσίας βούλεσθε διαθεῖναι τῆς ὑμετέρας, ἤδη καιρὸς, μὴ καὶ φθάσῃ τὴν ὑμῶν γνώμην ὁ θάνατος. Ταῦτα μὲν εἶπε θρηνῶν, καὶ τὸν θάνατον ἐκείνων πικρῶς ὀδυρόμενος. Οἱ δὲ, τί γὰρ ἂν καὶ ἔδρασαν ἐπὶ τούτοις ψυχὴ μηδὲν ἑαυτῇ θανάτου ἄξιον συνειδυῖα; περιερρήγνυντό τε τὰς αἰσθῆτας, καὶ τὰς τρίχας ἀθλίως ἐτίλλοντο. ἵνα τί δὲ ἡμεῖς τὸν τῶν κακούργων ὑποστησώμεθα θάνατον; τί καὶ θανάτου ἄξιον εἰργασμένοι; τοὺς οἰκείους ὀνομαστὶ ἐκάλουν, τοὺς συγγενεῖς, τοὺς συνήθεις. ἐπεμαρτύροντο Θεὸν τοῖς παροῦσι. τὸν θάνατον ἤδη πρὸ τῶν ὀφθαλμῶν ἐφαντάζοντο. οὕτω πικρῶς ἀποδυρομένων, καὶ τὴν συμφορὰν φεῦ περιπαθεῖς θρυνούντων, ἕτερος αὐτῶν, Νεποτιανὸς τοὔνομα, εἰς μνήμην ἥκει Νικολάου, καὶ ὅπως ἐν τοῖς Μύροις ἀνδρῶν ἐκεῖνος τῶν τριῶν προέστη, καὶ θανάτου ἐξείλετο, σωτὴρ αὐτοῖς ἐκ παραδόξου καὶ ἀγαθὸς προστάτης γενόμενος. Ταῦτα πρὸς ἀλλήλους αὐτοῖς διομιλουμένοις. (εὑρετικὸν γὰρ ἀνάγκη πρὸς πολλὰς ἐννοίας ἐγείρουσα, καὶ ψυχῶν μεσίτις.) κἀκείνοις τὰ πρὸς Θεὸν Νικόλαος παρελαμβάνετο. καὶ Κύριε ὁ Νικολάου Θεὸς, ὁ τοὺς τρεῖς ἄνδρας πρότερον ἀδίκου θανάτου ῥυσάμενος, ἔπιδε καὶ νῦν ἐφ' ἡμᾶς ἔλεγον, ὅτι ὁ βοηθῶν ἐν ἀνθρώποις οὐκ ἔστιν, ἰδοὺ γὰρ συνέχεται ἡμῖν ἡ καρδία, καὶ αἱ θλίψεις αὐτῆς ἐπληθύνθησαν ἐφ' ἡμᾶς, καὶ οὐδεὶς ὁ ἐξάγων ἡμᾶς ἐκ τοῦ πειρασμοῦ. ἰδοὺ καὶ ἡ φωνὴ πρὸ τῆς ψυχῆς ἡμᾶς ἐπιλείπει, καὶ ἡ γλῶττα τῷ πυρὶ τῆς καρδίας ξηραίνεται. καὶ οὐκέτι σοι οὐδὲ προσενεγκεῖν δυνάμεθα δέησιν. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, μὴ παρόψῃ τὴν ἀδικίαν, μὴ ὑπερίδῃς τὸν ἄδικον θάνατον. Ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς τῶν ζητούντων ἡμῶν τὴν ψυχὴν, καὶ σπεῦσον εἰς τὴν βοήθειαν ἡμῶν, ἄνειον γὰρ θανατούμεθα. Τούτοις προσχὼν ὁ τοὺς φοβουμένους αὐτὸν ὡς τέκνα Πατὴρ οἰκτείρων. ἐξαπο-

Digitized by Google

ποστέλλει βοήθειαν αὐτοῖς τὸν ἅγιον τὸν οἰκεῖον θεράποντα. Καὶ τῆς νυκτὸς ὄναρ τῷ Βασιλεῖ ὁ θαυμαστὸς Νικόλαος ἐπιστὰς, Βασιλεῦ ἔφη, τὸ τάχος ἀναστὰς, τοὺς κατεχομένους τρεῖς παρὰ τῇ φυλακῇ στρατηλάτας ἄνες. μάτην γὰρ ἐσυκοφαντήθησαν· εἶτα καὶ τὴν πᾶσαν ἀδικίαν ἐξετραγῴδει, καὶ τὰ τοῦ δράματος διεξίει σὺν ἀκριβείᾳ. εἰδ' οὖν πόλεμον κινήσειν, καὶ κακῶς αὐτὸν ἀπολεῖν, καὶ τὰ ἔσχατα δρᾶσαι ἠπείλει. Καταπλαγεὶς τοίνυν ὁ Βασιλεὺς τὴν τοῦ ἀνδρὸς παῤῥησίαν, τῇ τε ἄλλῃ καὶ ὅτι ἀωρὶ τῶν νυκτῶν οὕτω τῶν βασιλείων ἔνδον ἐγένετο, ἀλλὰ τίς ἤρετο σὺ ὁ τοιαῦτα τῷ ἐμῷ κράτει ἐπισείων καὶ διαπειλούμενος; Ὁ δὲ, Νικόλαος ὁ ἐν τῇ Μυρέων Μητροπόλει ἔφη. Καὶ αὐτίκα ὁ μὲν ὑπὸ τῆς ὄψεως διαταραχθεὶς ἀνίσταται. Ὁ δὲ Ἅγιος ἐπίσης καὶ τῷ Ἐπάρχῳ Ἀβλαβίῳ καθεύδοντι ἐπιφαίνεται, καὶ τὰ αὐτὰ περὶ τῶν ἀνδρῶν ἐπισκήπτει. Ἀβλαβίῳ δὲ ἐρομένῳ καὶ αὐτῷ, ὅς τις εἴη, Νικόλαος ἀπεκρίνατο τοῦ Χριστοῦ δοῦλος. Διυπνισθεὶς τοίνυν Ἀβλάβιος, ἔστρεφέ τε τῷ νῷ τὴν θέαν, καὶ τίποτε ἄρα τὸ φανὲν, καὶ ὅ, τι δηλοῦν ἐσκόπει. Καὶ αὐτίκα ἥκει τις πρὸς αὐτὸν παρὰ Βασιλέως μηνύων ἅπερ ὁ Βασιλεὺς ἐν ὕπνῳ ἐθεάσατο. Καὶ ὃς πάλιν ἀπαγγέλλει τὴν ὄψιν, καὶ τὰ φανέντα αὐτῷ ἅπαντα διεξίει. Πρὸς τὸ παράδοξον τοίνυν ἐκεῖνο τῆς θέας ἄμφω καταπλαγέντες, ὅ,τε Βασιλεὺς καὶ ὁ Ἔπαρχος, καὶ ὅπως ὥσπερ ἀπὸ συνθήματος ἡ αὐτὴ ὄψις ἑκατέρῳ ἐφοίτησεν, ἐπειδὴ τὸ ὄνειρον συμβαλεῖν οὐκ εἶχον, μετακαλεσάμενος ἀπὸ τῆς φυλακῆς τοὺς Στρατηλάτας ὁ Βασιλεὺς, τίσι φησὶ μαγείαις χρησάμενοι, τοιούτους ἡμῖν ἀπεπέμψατε τοὺς ὀνείρους, πόλεμον οὕτω σφοδρὸν ἐπισείοντας, καὶ τὰ μεγάλα καθ' ἡμῶν ἀπειλοῦντας; Οἱ δὲ μηδὲν τοιοῦτον ἐν ἑαυτοῖς συνειδότες, νεύμασιν ἀλλήλους ἠρώτων, εἴ τι ἄντις αὐτῶν εἰδείη, ἐκπεπληγμένον ἕκαστος ἑκάστῳ τὸν ὀφθαλμὸν ἐπιβάλλοντες. Ὁ Βασιλεὺς τοίνυν οὕτω τοὺς ἄνδρας ἔχοντας ἰδὼν, ἐπὶ τὸ πρᾳότερον μεταβάλλει, καὶ προσχὼν αὐτοῖς, ἀποκρίνασθαι πρὸς ταῦτα κελεύει. Οἱ δὲ, δακρύων τοὺς ὀφθαλμοὺς πληρώσαντες, καὶ συνεχὲς ἀναβλύζοντες, ἡμεῖς εἶπον ὦ Βασιλεῦ, οὔτε μαγείαν, ὅ, τι ποτέ ἐστιν οἴδαμεν, οὔτε κατὰ τοῦ σοῦ κράτους δεινόν τι ἐμελετήσαμεν, μάρτυς ὁ πάντας ὁρῶν ὀφθαλμός. Εἰδὲ μὴ οὕτω ταῦτα, ἀλλά τι πονηρὸν ἡμῖν ἔσκεπται κατὰ σοῦ, μηδεμία ὦ Βασιλεῦ, μηδένα καθ' ἡμῶν λάβῃς ἔλεον. μὴ πρὸς τῆς Τριάδος αὐτῆς, μὴ δὲ ὅλου φείσῃ τοῦ γένους ἡμῶν. ἀλλ' εἴ τι καὶ θανάτου βαρύτερον, ἀπόφηναι καθ' ἡμῶν. Ἡμῖν ὦ Βασιλεῦ οὗτος ἐκ πατέρων κλῆρος ὑπῆρξε, τὸν Βασιλέα τιμᾷν, καὶ τὴν εἰς αὐτὸν εὔνοιαν τοῦ παντὸς προτιμᾷν. εἰδέ τις ταῦτα παραβαίνοι, ζημιοῦν αὐτὸν τὰ μεγάλα, καὶ ὡς πολεμίῳ τὸ λοιπὸν χρῆσθαι. Ὥς τε ἀμελοῦντες ἑαυτῶν, τὴν σὴν, ὦ Βασιλεῦ, ἐβλέπομεν σωτηρίαν. ὅθεν καὶ ἀμοιβαὶ φιλότιμοι παρὰ τῆς σῆς ἡμῖν ἠλπίζοντο δεξιᾶς. Ἐπειδὴ δὲ καὶ πολεμία χεὶρ κατὰ τοῦ σοῦ κράτους ἐκινεῖτο, καὶ τοιαύτην ἀνδρῶν ἀρετὴν ὁ καιρὸς ἐζήτει, τοὺς ἄλλους παραδραμὼν, ὅσοι τοῦ αὐτοῦ ἡμῖν ἐτύγχανον ἀξιώματος, ἡμᾶς οὐκ ὄφελον προείλου, καὶ τὴν πρὸς ἐκείνους ἡμῖν ἐνεχείρισας φροντίδα. Ταῦτά τοι καὶ πρόθυμοι τῷ σῷ προστάγματι εἴξαμεν, καὶ τὰ πρὸς τοὺς ἐχθροὺς ἐπανειλόμεθα, καὶ τὴν οἰκείαν ἀρετὴν, σὺν Θεῷ δὲ εἰρήσθω, ἐπὶ τῶν ἔργων ἱκανῶς παρεστήσαμεν. Ὅπερ εὖ οἶδ' ὅτι πάντες συμφήσουσι, τοῦτο τὴν εὐδαιμονίαν πρότερον ἡμῖν παρασχὸν, νῦν καθ' ἡμῶν ὁ φθόνος ὁπλίζει, καὶ κρινόμεθα φεῦ ὡς ὁρᾷς, καὶ τὰ ἔσχατα πείσεσθαι προσδοκῶμεν. Ὥς τε περιέστηκεν ἡμῖν ὦ Βασιλεῦ ἡ τῆς πρὸς σὲ εὐνοίας ἀπόδειξις, μείζονος τιμωρίας ὑπόθεσιν εἶναι, καὶ ἀντὶ δόξης ἐλπιζομένης καὶ ἀμοιβῶν, θανάτου φόβος ἡμᾶς ἔχει καὶ καταδίκης, ἐπὶ τῷ τελευταίῳ τούτῳ καὶ δυστυχεῖ κατορθώματι. πῶς ταῦτα Ἥλιε, πῶς ταῦτα δίκῃ φέρεις ὁρᾷν; Τούτοις ὁ Βασιλεὺς κατακλασθεὶς τὴν ψυχὴν, δῆλος ἦν μεταμελόμενος ἐπὶ τῇ ἐκείνων ὕ-



Digitized by Google

βρει, ἔτρεμε γὰρ τὰ τοῦ Θεοῦ δικαιώματα, καὶ τὴν ἀλυργίδα ᾐσχύνετο, μὴ νομοθετῶν ἄλλοις, αὐτὸς εὐθύνας ὑπόσχῃ τῆς κρίσεως. Εὐθὺς οὖν ἐπιεικὲς ὁρᾷ πρὸς αὐτοὺς, καὶ ἡμερώτατα φθέγγεται. Οἱ δὲ τὰς ψυχὰς πρὸς τὸν λόγον διαναστάντες, ἐπειδὴ καὶ τὸ ἐνδόσιμον τῆς παῤῥησίας αὐτοῖς ἐδόθη παρὰ τοῦ Βασιλέως, ἐδημοσίευον τὸν θησαυρὸν, οὐκ ἔκρυπτον τὴν ἐλπίδα. Καὶ Κύριε ὁ τοῦ σοῦ Νικολάου Θεὸς μέγας ἐβόων, ὁ τοὺς τρεῖς ἄνδρας ποτὲ τοῦ ἀδίκου θανάτου διασωσάμενος, ἐξελοῦ καὶ ἡμᾶς δι' αὐτοῦ τοῦ ἐπηρτημένου τούτου κινδύνου. Ἁρπάζει τὸν λόγον ὁ Βασιλεύς. καὶ τίς οὗτός ἐστιν ὁ Νικόλαος ἔφη; καὶ πῶς καὶ τίνας ἔσωσεν; εἴπατε. Νεποτιανὸς οὖν αὐτίκα πάντα διέξεισιν αὐτῷ κατὰ μέρος. Ὁ δὲ Βασιλεὺς τῇ περὶ τὸ Θεῖον καὶ τοὺς αὐτοῦ θεράποντας τιμῇ καὶ προτοῦ καλλυνόμενος, οὐδ' ἐνταῦθα γοῦν λήθην τῆς οἰκείας ἐλάμβανεν ἀρετῆς. ἀλλ' ὁμοῦ τε περὶ τοῦ ἀνδρὸς ἀπηγγέλη, καὶ οὐδὲ πολλῶν ἐδεήθη λόγων. ἀλλ' εἰς τὴν φανεῖσαν ὄψιν αὐτῷ ἐπὶ πλέον ἀνενεγκὼν, καὶ τὴν ὑπὲρ τῶν ἀδικουμένων παῤῥησίαν, καὶ τὸν πολὺν ἐκεῖνον ζῆλον ὑπερθαυμάσας, συγγνώμης τε ἀξιοῖ τοὺς ἄνδρας. καὶ οὐκ ἐγώ φησιν ὑμῖν χαρίζομαι τὴν ζωὴν, ἀλλ' ὃν ὑμεῖς εἰς βοήθειαν ἐκαλέσατε, καὶ ὃς οὐδὲ καθεύδειν εἴα ἡμᾶς, προστατῶν ὑμῶν καὶ κηδόμενος. Ἄπιτε τοιγαροῦν παρ' αὐτὸν, καὶ κειράμενοι τὴν κόμην, τὰ τῆς εὐχαριστίας ἀπόδοτε. ἀπαγγείλατε δὲ καὶ παρ' ἡμῶν, ὅτι τὸ κελευσθὲν ἰδοὺ πεποίηκα, μὴ ἀπειλείτω μοι.

Ταῦτα εἶπε, καὶ χρυσοῦν Εὐαγγέλιον, καὶ σκεῦός τι ἕτερον χρυσοῦν καὶ αὐτὸ ἐκ λίθων τιμίων συγκείμενον, καὶ κηρολύχνους δύω χρυσοῦς δίδωσιν αὐτοῖς, ἐντειλάμενος ἀνατεθῆναι ταῦτα τῷ ἐν Μύροις Ναῷ. Οὕτω καὶ αὐτοὶ παραδόξου σωτηρίας ἐπιτυχόντες, εὐθὺς ὁδοῦ τε ἥψαντο, καὶ περιχαρεῖς εἰς τὸν Ἅγιον ἥκουσιν, ἄσμενοί τε αὐτὸν εἶδον, καὶ δῆλοι ἦσαν, ὑπὸ τῆς ἄγαν ἡδονῆς πρόθυμοι εἶναι, καὶ αὐτὴν προέσθαι τὴν χαρισθεῖσαν αὐτοῖς ζωὴν, ὥς τε ἀξίαν ἀποδοῦναι τὴν εὐχαριστίαν τῷ οὕτως εὐεργετήσαντι, εἶτα καὶ τὰ τοῦ Βασιλέως ἀνατιθέασι. Κύριε Κύριε τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, ἠρέμα ὑποφωνοῦντες, μὴ δὲ αὐτοὺς ἀγεύστους τῆς ἡδονῆς τοὺς πένητας ἀφιέντες, ἀλλὰ καὶ τούτους τοῖς οὖσι δεξιωσάμενοι.

Ταύτῃ τοιγαροῦν ἐπὶ τῶν ἔργων, τοῦ Θεοῦ τὸν οἰκεῖον θεράποντα μεγαλύνοντος, ὑπόπτερος ἡ περὶ αὐτοῦ φήμη διαρθεῖσα, πανταχοῦ τε ἔθνους, καὶ πάντα περιέλαμβανε, πέλαγός τε διέβαινε, καὶ κατὰ Θαλάσσης ἐφέρετο, καὶ οὐδένα τόπον ἀνήκοον τῶν μεγάλων τοῦ ἀνδρὸς χαρίτων ἠφίει.

Ναῦται γοῦν ποτε κλύδωνι περιπίπτουσι χαλεπῷ. οἱ τῆς ἐν χερσὶν ἀπογνόντες σωτηρίας, ἐπειδὴ τὸν μέγαν Νικόλαον, ὀξεῖαν ἐπὶ τοῖς παρ' ἐλπίδα βοήθειαν ὑπὸ τῆς φήμης ἐμάνθανον, ὅλοι τῆς δεήσεως τῆς πρὸς αὐτὸν γίνονται, τοῦτόν τε κατὰ τοῦ κλύδωνος ἐκάλουν, καὶ αὐτῷ τὰς χεῖρας ὤρεγον, καὶ μόνης ἐξείχοντο τῆς παρ' αὐτοῦ βοηθείας. Καὶ ὃς, οὐδὲ βραχὺ μελήσας, ἐπιπηδᾷ εὐθὺς τῇ Νηῒ, καὶ φανερὸς τοῖς ἐκείνων γενόμενος ὀφθαλμοῖς, ἰδοὺ κεκλήκατέ με φησὶ, καὶ βοηθήσων ὑμῖν πάρειμι. Εἶτα θαῤῥεῖν αὐτοῖς διακελευσάμενος, τοῦ πηδαλίου τε λαμβάνεται ὑπὸ τῇ πάντων ὄψει, καὶ ταύτῃ τὴν ναῦν ἰθύνειν ἐῴκει. Εἶτα καὶ τῇ Θαλάσσῃ ἐπιτιμήσας, τὰς τρικυμίας αὐτοῖς καὶ τοὺς στροβίλους, καὶ τὰ ἄλλα τὰ ἐκ τοῦ χειμῶνος κοιμίζει κακὰ, ὥσπερ δὴ καὶ ὁ ἐμὸς Ἰησοῦς τὸ πρότερον. καὶ οὕτως ἥμερον καὶ γαλήνην αὐτοῖς δίδωσι πλοῦν.

Ὡς οὖν πράῳ τῷ πνεύματι φερομένους, ἡ χέρσος αὐτοὺς ὑπεδέχετο, τῆς νηὸς ἀποβάντες, τὸν διασωσάμενον τοῦ κινδύνου αὐτοὺς ἠπείγοντο φθάνειν. Εἶτα μαθόντες εἰς τὴν Ἐκκλησίαν αὐτὸν οἴχεσθαι, ἀπίασι παρὰ τὸν Ναόν. Ὁ μὲν οὖν μέρος ἑαυτὸν τοῦ κλήρου ποιήσας, εἰσῄει μετὰ τῶν ἄλλων. οἱ δὲ ὡς ἐπέβαλον αὐτῷ τὰς ὄψεις, μήπω τούτοις γνωσθέντι πρότερον, ἀπὸ γοῦν τῆς ἐν τῷ Πελάγει ἐπιφανείας


Digitized by Google

εἰς ἐκεῖνον εὐθὺς ἀνέφερον. καὶ προσδραμόντες, προσπίπτουσιν αὐτοῦ τοῖς ποσί. καὶ ἡ γλῶττα μὲν εἰς εὐχαριστίαν αὐτοῖς ἐκινεῖτο, συνεφθέγγετο δὲ ταύτῃ καὶ ἡ ψυχὴ ἅν τε ἔπαθε, καὶ ὅπως ἐρρύσθη μιμνησκομένη, δάκρυά τε διὰ τῶν ὀφθαλμῶν προΐει τῶν λεγομένων μάρτυρας. Εἶτα καὶ τοῖς παροῦσι κατὰ μέρος τὰ τοῦ δράματος διηγοῦντο.

Ὁ θαυμαστὸς τοίνυν Νικόλαος, κινδύνου ῥύεσθαι τοῦ τῆς ψυχῆς οὐχ ἧττον εἰδώς, ὃ καὶ τῆς πλείονος μᾶλλον ἠξίου μερίμνης, ἐπειδὴ τῷ διορατικῷ τοῦ Πνεύματος χαρίσματι, μοχθηρίαν αὐτοῖς ὑποκαθημένην ἑώρα, πόρρω Θεοῦ καὶ τῶν ἐκείνου βάλλουσαν ἐντολῶν, ἐπιγνῶτε ἑαυτοὺς ἔλεγε, παρακαλῶ τέκνα. ἐπιγνῶτε, καὶ τὰς καρδίας ὑμῶν, καὶ τὰ τοῦ νοῦ κινήματά τε καὶ διανοήματα, εἰς εὐαρέστησιν ἀπευθύνατε τοῦ Θεοῦ. Κἂν γὰρ τοὺς πολλοὺς λανθάνωμεν, καὶ χρηστοὶ δοκῶμεν, ἀλλ' ἐκεῖνόν γε πάντως οὐδὲν λήσεται τῶν ἡμετέρων. Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον φησί, Θεὸς δὲ εἰς καρδίαν. Ἠκούσατε καὶ τοῦτο τῆς Γραφῆς λεγούσης. Μὴ ποιεῖτε κακά, καὶ οὐ μὴ καταλάβῃ ὑμᾶς κακά. Μάθετε δὲ μᾶλλον εὖ ποιεῖν, καὶ τὸν ἁγιασμὸν τοῦ σώματος ὅλῃ προθέσει καταδιώξατε. Ναὸς γὰρ ὑμεῖς Θεοῦ. Ὃς δὲ φθείρει τὸν ναὸν τοῦ Θεοῦ, φθερεῖ αὐτὸν ὁ Θεός. Παῦλος ταῦτα ὁ θεῖος φησίν. οὕτω ποιεῖτε, καὶ τοῦ λοιποῦ ἕξετε βοηθὸν ἄμαχον τὸν Θεόν. ἀρκεῖ μοι τὰ εἰρημένα, ἣν οὗτος ἐπλούτει παρὰ Θεοῦ ῥοπὴν ἱκανῶς παραστῆσαι. ἀλλ' οὐκ οἶδ' ὅπως ἡ περὶ αὐτοῦ μνήμη οὐδ' ἐνταῦθα στῆναι τὸ ὅλον ἀνέχεται, ἀλλ' εἰ μὴ καὶ τὰ λειπόμενα προσθήσῃ, ζημίαν τίθεται τὴν μεγίστην. Λόγος δέ τις ἄνωθεν τοῦ χρόνου καὶ εἰς ἡμᾶς φοιτήσας, τὸν μακάριον τουτονί, πρεσβυτικὸν μὲν τὸ ἦθος, Ἀγγελικὸν δὲ τὴν θέαν, ἁγιασμοῦ δὲ καὶ χάριτος ἀποπνέοντα θείας ὑπογράφει. προστίθησι δὲ καὶ ταῦτα περὶ αὐτοῦ. Ὡς εἴ τις αὐτῷ καὶ ἐντύχοι, πολλὴ τῷ ὄντι αὐτίκα, καὶ παρὰ μόνης τῆς ἐκείνου θέας ἐπίδοσις πρὸς τὸ βέλτιον καὶ μεταβολή τις ἐγίνετο. Καὶ ἕκαστος δὲ πάθει τινὶ καὶ λύπῃ βαρυνόμενος τὴν ψυχήν, ὡς μόνον αὐτῷ ἀτενίσειεν, ἱκανὴν εὕρισκε τοῦ λυποῦντος παραμυθίαν. Ἐξῄει δὲ καί τις ὑπέρφωτος ἀστραπὴ τῆς ἐκείνου θέας, καὶ τὸ πρόσωπον κατέλαμπεν ὑπὲρ τὸ Μωσέως. Εἴπου τοίνυν συμβαίη τῶν ἑτεροδόξων τινὰς αὐτῷ καθ' ὁδὸν συνελθεῖν μόνον, εἰ τῆς ἐκείνου ἀπολαύσειαν γλώσσης, εὐθὺς ἀπίεσαν τὴν ἐκ παίδων συναυξηθεῖσαν αὐτοῖς αἵρεσιν ἀποβαλόντες, τὸν ὀρθὸν τῆς ἀληθείας λόγον ἐνστερνισάμενοι. Ὁ μὲν οὕτω διαβιώσας, καὶ λαμπρῶς κατάγε τὸν τῆς ἀρετῆς λόγον πολιτευσάμενος, καὶ οἷόν τι μύρον χαρίεν ὡς ἀληθῶς καὶ προσαγωγὸν ἐν μέσῳ τῆς Μυρέων τοῖς ἄνθεσι τῶν θείων χαρίτων μυρίσας, βαθύτατά τε γηράσας, καὶ πλήρης ἡμερῶν, τῶν τε θείων καὶ τῶν λυομένων γενόμενος, ἐπεὶ καὶ ἄνθρωπον ὄντα τοῦτον ἔδει τῷ καιρῷ, μόνῳ λειτουργῆσαι τῆς φύσεως, νόσῳ περιπίπτει βραχείᾳ. Ἡ δὲ αὐτῷ εἰς εὐχαριστίας τὰς πρὸς τὸν Θεὸν καὶ ὕμνους ἐξοδίους τε καὶ προπεμπτηρίους ἀνήλωτο, καὶ τῇ τῆς ἐκδημίας ἐλπίδι χαριέστατα διετίθη τοῦτον. Ὅπερ γὰρ τοῖς ἄλλοις τὸ τῇ σαρκὶ παραμένειν, τοῦτο ἐκείνῳ τὸ διαζευχθῆναι τοῦ σώματος. Ἀλλ' ὁ μὲν οὕτω τὸν ἐπίκηρον τουτονὶ καὶ βραχὺν καταλείπει βίον, διαβαίνει τε πρὸς τὴν μακρὰν ἐκείνην καὶ μακαρίαν ζωήν, λαμπρότησιν Ἀγγέλων συνών, καὶ συναγαλλόμενος, καὶ τὸ τῆς Τριάδος φέγγος ὁρῶν τρανώτερόν τε καὶ καθαρώτερον. Τὸ δὲ τούτου σῶμα τὸ τίμιον, χερσὶν ὁσίαις Ἐπισκόπων καὶ τοῦ κλήρου παντὸς λαμπροφορίᾳ τιμώμενον, τῷ ἐν Μύροις ἐναπετέθη Ναῷ, μύρον καὶ εἰς τόδε χρόνου προχέον, νόσων ψυχικῶν τε καὶ σωματικῶν ἴαμα.

Τῶν γοῦν ἁπανταχόθεν γῆς ἐκεῖ συρρεόντων, ἀφθόνου μεταλαμβανόντων τῆς χάριτος, πόρρω τινὰς τῆς Λυκίων διῳκισμένους, καὶ πολλῶν ἀπέχοντας ἡμερῶν ὁδόν, πόθος λαμβάνει θερμός, τὸ τοῦ ἁγίου μνῆμα καταλαβεῖν, ἀρρύσασθαί τε τοῦ μύρου, καὶ μεταλαβεῖν τοῦ ἁγιασμοῦ. Καὶ δὴ τὰ ἱστία ἐνθέ-



Digitized by Google

ἐνθέμενοι τῇ νηῒ, πρὸς τὴν Λυκίαν πλεῖν ἔμελλον. Πονηρὸν δὲ δαιμόνιον, ὃ τὸν βωμὸν πάλαι τῆς Ἀρτέμιδος κατοικοῦν ἦν, ὃ ὁ πολὺς Νικόλαος ἐκεῖθεν μετὰ τῶν ἄλλων ἀπήλασεν, εἰς ἔδαφος τὸν βωμὸν κατασείσας, καὶ τὸν πλοῦν ἐκεῖνον αἰσθόμενον, καὶ τοῦτο μὲν μνησικακοῦν τῷ Ἁγίῳ, τῆς τε τοῦ νεὼ καταστροφῆς, καὶ οἰκείας ἐκεῖθεν ὑπερορίας, καὶ ὅση δύναμις ἀμύνασθαι σπουδάζον, τοῦτο δὲ καὶ τοῦ ἁγιασμοῦ τοὺς ἄνδρας ἀποστερῆσαι βουλόμενον, καὶ βλάψαι τὸν πόθον, γυναῖκα ὑποκρινόμενον, ἄγγος τι πλῆρες ἐλαίου βαστάζειν ἐδόκει. καὶ τοῦτο προμηθεῖσθαι μὲν ἀποφέρειν ἔλεγε πρὸς τὸν τοῦ Ἁγίου τάφον, δεδοικέναι δὲ τὸ πολὺ τοῦ πλοῦ καὶ τρέμειν. ἀδύνατον γάρ φησι γυναικὶ, πρὸς τοσοῦτον ἀποθαρσῆσαι πέλαγος, δέομαι τοιγαροῦν ὑμῶν, τὸ ἄγγος ἐκεῖνο λαβόντας, κομίσατε παρὰ τὸν τάφον, καὶ βαλεῖν τῷ τοῦ Ἁγίου λύχνῳ τὸ ἔλαιον. Τοιαῦτα τὸ βδελυρὸν δαιμόνιον ἔλεγέ τε καὶ ἠξίου, τὸ ἄγγος ἐκεῖνο ταῖς χερσὶ πιστεῦον τῶν φιλοθέων. Τὸ δὲ ἄρα, πονηρά τις ὑπῆρχεν ἐνέργεια, καὶ ὅλως ἀξία τοῦ δεδωκότος. Πείθει τοίνυν πολλὰ ἱκετεῦσαν. Καὶ λαβόντες αὐτὸ, ἐπειδὴ ὁ τῆς πρώτης ἡμέρας πλοῦς αὐτοῖς ἤνυστο, σὸν ἔργον ὦ πιστὲ τοῦ Θεοῦ θεράπων καὶ δεξιὲ τοῖς κινδυνεύουσι παραστάτα, καὶ τοῦτο δὴ τὸ παραδόξως γενόμενον. Νύκτωρ γὰρ τισὶ τούτων ἐπιφανεὶς, ῥίπτειν κατὰ τοῦ βυθοῦ τὸ ἄγγος κελεύει. Οἱ δὲ αὐτίκα ὄρθρου διαναστάντες, οὕτως ἐποίουν. καὶ ἀκοντίζουσιν αὐτὸ κατὰ τοῦ Πελάγους. καὶ εὐθὺς φλόξ τε μετέωρος πρὸς τὸν ἀέρα ἤρετο, καὶ καπνοὶ ἐκεῖθεν καὶ ὀδμαὶ δυσώδεις ἐπέμποντο. τό, τε ὕδωρ διέσχε, καὶ κάτωθεν ἀνακοχλάσαν, βρασμώδεις ψόφους ἐποίει, καὶ σπινθῆρες αἱ σταγόνες ἦσαν, ἥτε Ναῦς κλύδωνι τοσούτῳ ἀποληφθεῖσα, κατεδύετο ἤδη. καὶ οἱ ἄνδρες τῷ παραλόγῳ τοῦ κινδύνου καταπλαγέντες, ἀπεγνωκότες ἄγριον εἰς ἀλλήλους ἑώρων, καὶ ὅλως ἐν ἀμηχανίᾳ ἦσαν. ἀλλ' ὁ πόρρωθεν τῆς αὐτῶν σωτηρίας προνοῶν, καὶ τὸ ἄγγος ἀφεῖναι κατὰ τοῦ βυθοῦ κελεύσας, οὗτος αὐτοῖς κἀνταῦθα ἐπιφανεὶς, τοῦ χαλεπωτάτου κλύδωνος ῥᾷστα, καὶ τοῦ κινδύνου ἐξείλετο. Ὁμοῦ τε γὰρ ἡ ναῦς βραχὺ τοῦ τόπου μετέβη, καὶ τοῦ δέους οἱ ἄνδρες ἀφείθησαν, καὶ αὔρα τις περιέπνευσε τούτοις, ἡδεῖά τε καὶ εὐώδης, καὶ ἥσθησαν τῇ ὀδμῇ, καὶ τὰς ψυχὰς ὡς ἥδιστα διετέθησαν.

Ταῦτά σοι πρὸς Θεοῦ τὰ γέρα Νικόλαε. αὗται τῶν πόνων αἱ ἀμοιβαί. ταῦτα τῶν ἀσκητικῶν ἀγώνων τὰ ἔπαθλα, τὰ κατὰ τὸν παρόντα φημὶ βίον, τὰ γὰρ τοῦ μέλλοντος ἐκεῖνα πάντως εἰσὶ, τὰ μήτε ὀφθαλμῷ θεατὰ, μήτε ὠσὶν ἀκουστὰ, μήτε καρδίᾳ ληπτὰ γενόμενα, ἃ ἑτοιμάσαι τὸν Θεὸν δεδιδάγμεθα τοῖς ἀγαπῶσιν αὐτόν. Ἐγὼ δέ σε οὐδὲν ὀκνήσω καὶ λαμπρὸν μάρτυρα καλέσαι, καὶ στεφανίτην ἀναίμακτον, (ὅσα γε ἀναφέρειν εἰς προαίρεσιν ἐπιστάμεθα,) ψυχῇ μόνῃ τὸ δυσσεβὲς κράτος καταβαλόντα, καὶ καλῶς τῆς ὑπερορίας ἀνακληθέντα, καὶ μετὰ λαμπρῶν τῶν τροπαίων ἐπανελθόντα Χριστιανοῖς, καὶ τὴν προτέραν τιμὴν, τῇ δευτέρᾳ διαδεξάμενον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ Ἁγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, Δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ᾨδὴ ζ'. Ὁ Εἱρμός.

„Ἡ Κάμινος Σωτὴρ ἐδροσίζετο, οἱ Παῖδες δὲ χορεύοντες ἔψαλλον, Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ Ὕψιστος Παράδεισον ἔμψυχον, παστάδα τε ἁγνὴν χαριτόπλοκον, χρυσόμορφον Πορφύραν, καὶ Οὐρανόν σε ἀνέδειξε.

Στερέωσον τὸν νοῦν μου τρεπόμενον, τὸν λογισμὸν κλονούμενον ἕδρασον, ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῇ σῇ σκέπῃ Μητροπάρθενε.

Ἄλλος. Εἰκόνος χρυσῆς.

Ζηρῷ πειρασμῷ, περιπέπτωκα δεινῶς κατακεντούμενος, καὶ πύλαις ᾅδου προσεπέλασα, ταῖς ἀθυμίαις βαλλόμενος, σῶσόν με πρεσβείαις σου μάκαρ, καὶ ἀνάστησον ψάλ-

Digitized by Google

ψάλλοντα· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἔνδυτε φωτὸς, ταῖς αὔλοις ἀστραπαῖς περιλαμπόμενος, τοὺς ἐν τῷ σκότει τῶν θλίψεων, κεκακωμένους ἐξάρπασον, καὶ πρὸς φωτισμὸν εὐφροσύνης, καθοδήγησον ψάλλοντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Δυσώπει Χριστὸν, τὸν υἱόν σου καὶ Θεὸν Θεογεννήτρια, τοὺς πεπηρωμένους δεινοῖς πταίσμασι, καὶ ταῖς ἀπάταις τοῦ ὄφεως, αἵματι αὐτοῦ τῷ τιμίῳ, ἀναῤῥύσασθαι ψάλλοντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ.

Παντοίων χαλεπῶν τε νοσημάτων, ἰατρὸς παράδοξος Πάτερ Νικόλαε, φανεὶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἰασάμενος παράσχου εὐρωστίαν βοᾷν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ῥυσάμενος τοὺς πάλαι στρατηλάτας, ἐκ θανάτου ἅγιε τούτους διήγειρας, ὑμνεῖν, καὶ δοξάζειν τὸν Σωτῆρα Χριστὸν, μετὰ πίστεως θερμῆς καὶ ἀνακράζειν σοι, σὲ ἀνευφημοῦμεν, σοφὲ ὡς εὐεργέτην.

Σοφίας τῷ κρατῆρι πλησιάσας, μυστικῶς τὰ χείλη σου Πάτερ Νικόλαε, κρουνοὺς, ἀμβροσίας ἔνθεν ἐξήντλησας, ὑπὲρ μέλι καὶ κηρίον τοῖς λαοῖς ἐκβοῶν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Τριαδικόν.

Τριὰς σὲ ἀνυμνοῦμεν τρισαγία, καὶ Μονὰς τρισλαμπεστάτη ὁμοούσιε, Πατὴρ ὁ Υἱὸς καὶ Πνεῦμα ἅγιον. ἐν ᾧ οἱ πάντες βαπτισθέντες ἀναμέλπομεν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἡ πάντων δεχομένη τὰς δεήσεις, Θεοτόκε πρέσβευε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, λυτρωθῆναι τῆς κολάσεως, τοὺς τιμῶντάς σε κυρίως καὶ δοξάζοντας· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Καταβασία.

„Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ, ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε Λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἔμψυχος θάλαμος, καὶ ἔμπνους ἁλουργὶς, χλαμὺς ἁλουργόχροος, τῷ πάντων Βασιλεῖ, ἐδείχθης Παρθένε, καὶ πορφύρα ἐξ ἧς, ἡ σὰρξ συνεξυφάνθη, τοῦ θεανθρώπου Λόγου.

Συνέλαβες ἄχραντε, τὸν ἅπασαν δρακὶ, τὴν Κτίσιν συνέχοντα, ὡς Κτίστην καὶ Θεὸν, ἀῤῥήτως ἀφράστως, δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς, βροτὸν γεγονότα, καὶ ὃ ἦν μὴ ἐκστάντα.

Ἄλλος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡς εὐμενὴς καὶ συμπαθὴς, τοὺς ἐν βάθει πειρασμῶν περισχεθέντας, ἐλευθέρωσον μάκαρ, τῶν κατεχόντων δεινῶν, τὴν λύσιν βραβεύων πρεσβείαις σου, ταῖς πρὸς τὸν Σωτῆρα, Χριστὸν ἱερομύστα.

Μυσταγωγὸς τῶν ὑπὲρ νοῦν, τῶν Ἁγίων λειτουργὸς καὶ οὐρανίων, χρηματίζων Θεόφρων, ἀρχιερεύς τε πιστὸς, πταισμάτων τὴν ἄφεσιν αἴτησαι, παρὰ τοῦ Σωτῆρος, ἡμῶν ἱεροφάντα.

Θεοτοκίον.

Ἐξασθενεῖ μου ὁ νοῦς, εἰς τὰ βάθη ἐμπεσὼν τῆς ἀτιμίας, ὡς ἐντεῦθεν ποικίλοις, περιπαρῆναι κακοῖς. ἀλλὰ σὺ Παρθένε θεράπευσον, τῷ τῆς ἀπαθείας, φωτὶ περιβαλοῦσα.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Τάγματα Πατριαρχῶν καὶ Ἀποστόλων, Ἱερέων τε Μαρτύρων δῆμοι, Προφητῶν ὁ σύλλογος, ἅπας δῆμος τῶν εὐσεβῶν, μακαρίζουσι τὴν θείαν πολιτείαν σου. μεθ᾽ ὧν καὶ ἡμεῖς παρακαλοῦμέν σε. μὴ ἐλλίπῃς ἀεὶ πρεσβεύων τὸν Κύριον, διαφυλαχθῆναι, ἡμᾶς ἐκ πάσης βλάβης.

Ὕψιστε Παμβασιλεῦ μεγαλοκράτωρ, ταῖς εὐχαῖς τοῦ ὁσίου ποιμένος, τὴν ζωὴν εἰρήνευσον, πάντων Λόγε Χριστιανῶν, χορηγῶν κατὰ Βαρβάρων εὐσεβεῖ Βασιλεῖ, τὴν νίκην καὶ τὴν ἰσχὺν δεόμεθα. ἵνα πάντες

σε

Digitized by Google

ἀεὶ ὑμνῶμεν τὸ κράτος σου, καὶ ὑπερυψῶμεν, εἰς πάντας τοὺς αἰῶνας.

Φωτὶ ἐλλαμφθεὶς τῷ ἀπροσίτῳ Πάτερ, τὰς ψυχὰς τῶν ἐν θλίψει αὐγάζεις, διαλύων ἅπαντα, ζόφον σκότους τῶν πειρασμῶν. ἀπαστράπτεις εὐφροσύνην τῇ καρδίᾳ ἡμῶν. ἐν αἷς τηλαυγῶς καταλαμπόμενοι, ἐκβοῶμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας.

Τριαδικόν.

Ζωὴν καὶ ζωὰς καὶ ἓν καὶ τρία φῶτα, τὴν Τριάδα πιστῶς ἀνυμνοῦμεν, πατρικαῖς ἑπόμενοι, θείαις ὄντως ταῖς διδαχαῖς, τὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον. μεθ' ὧν εὐσεβοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας.

Θεοτοκίον.

Πράγματος ξενοπρεποῦς ἡ Βάτος τύπον, προεικόνισεν ἄχραντε Κόρη, καιομένη ἄφλεκτος, πάλαι ὄρει ἐν τῷ Σινᾶ, τὸ Μυστήριον τοῦ τόκου σου προγράφουσα. τὸ πῦρ γὰρ ἐν σοὶ τὸ τῆς Θεότητος, ἐνοικῆσαν, ἀλώβητόν τε τετήρηκε. διό σε ὑμνοῦμεν, εἰς πάντας.

Καταβασία.

„Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε Κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ, τῆς θεότητος Παρθένου, ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω, ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Ὁ Εἱρμός.

„Τὴν ζωοδόχον Πηγὴν τὴν ἀέναον, τὴν φωτοφόρον Λυχνίαν τὴν πάγχρυσον, τὸν Ναὸν τὸν ἔμψυχον, τὴν Σκηνὴν τὴν ἄχραντον, τὴν Οὐρανοῦ καὶ τῆς Γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Ῥεῖθρον τῆς σῆς με κατάρδευσον χάριτος, τὸν συμφορῶν τῷ φλογμῷ φλογιζόμενον, καὶ δεινῶς τηκόμενον, Πηγὴ χαριτοβρύτε, τὸν Ποταμὸν ἡ τεκοῦσα τῶν χαρίτων, ἐξ οὗ ὁ πίνων διψήσῃ οὐδέ ποτε.

Ὡς τοῦ νυμφίου ὡραῖόν σε Θάλαμον, ὡς τοῦ Δεσπότου Παλάτιον ἔμψυχον, ὡς Πορφύραν πάγχρυσον, καὶ τερπνὸν Παλάτιον, τοῦ Χριστοῦ Δέσποινα πάντων, καθικετεύοντά σε σῶσόν με.

Ἄλλος. Ἀνάρχου γεννήτορος.

Λαμπάσι τῆς χάριτος, Θεόφρον καταφωτιζόμενος, καὶ φωστὴρ εὐσεβείας, σαφῶς γενόμενος, τοὺς ἐν πειρασμοῖς διασώζεις, τοὺς ἐν βυθῷ, θαλάσσης λυτροῦσαι. καὶ τρέφεις λιμώττοντας, παραδόξως παμμακάριστε.

Ὡς ἐν Παραδείσῳ τῆς τρυφῆς, νῦν συναυλιζόμενος, καὶ τὴν ἄφραστον δόξαν τρανῶς θεώμενος, ἐκ τῶν οὐρανίων ἁψίδων τοὺς ὑμνητάς, τοὺς σοὺς ἐποπτεύεις, παθῶν ἐκλυτρούμενος, Θεοφόρε παμμακάριστε.

Θεοτοκίον.

Σοφίαν καὶ δύναμιν, καὶ Λόγον ἐνυπόστατον, τοῦ Πατρὸς Θεομῆτορ, ἁγνὴ γεγέννηκας, ἐκ τῶν σῶν ἀχράντων αἱμάτων, τὸν ἑαυτῆς, ναὸν προσλαβοῦσαν, καὶ τούτῳ καθ' ἕνωσιν, ἑνωθεῖσαν ἀδιάρρηκτον.

Ἄλλος. Μυστήριον ξένον.

Χορεύσατε πνεύματι, πάντες φιλέορτοι, Οὐρανοὶ εὐφραίνεσθε, Ὄρη τε καὶ Βουνοὶ Ἐκκλησίαι, καὶ Παρθένων χοροί, ἀσκητῶν ἐν τῇ μνήμῃ τοῦ παμμάκαρος, ἐν ᾗ συνελθόντες, τὸν Σωτῆρα μεγαλύνωμεν.

Ψαλάτωσαν ὕμνοις, τὰ πέρατα ἅπαντα, ἐγκωμίων στέμμασι, πάντες τὴν κορυφὴν Νικολάου, τοῦ θείου κοσμοῦντες, σοφῶς, τοῦ θεράποντος Χριστοῦ τοῦ Θεοῦ, δι' οὗ ἐκ παθῶν τε καὶ κινδύνων λυτρωθείημεν.

Ὡς ἄξιον δέχου, τὸν ὕμνον Νικόλαε, τοῦ μικροῦ ποιήματος, τοῦτον ὥσπερ Χριστός, προσεδέξατο τῆς χήρας τὰ δύο λεπτά. μὴ βδελύξῃ με τὸν ἄθλιον παθῶν, οὐ κομπάζων γὰρ τρισμάκαρ κατετόλμησα.

Τριαδικόν.

Ἑνίζεται ὁμουσίῳ θελήματι, ἡ Τριὰς μερίζεται, πάλιν προσωπικοῖς ἀμερίστως συντηροῦσα τὸ κράτος ἀεί, ὁ Πατήρ, ὁ Υἱὸς καὶ Πνεῦμα τὸ ζῶν, ὁ εἷς τρισυπόστατος Θεός. ὃν μεγαλύνομεν.

Θτ.

Διέσωσαι πᾶσα, ἡ Κτίσις τῷ τόκῳ σου, καὶ ἀφεῖλε Κύριος, θρῆνον καὶ ὀδυρμὸν καὶ πᾶν δάκρυον, ἐκ παντὸς προσώπου ἁγνή,

Θεο-

Digitized by Google

Θεοτόκε παραμῶμεν ἐν σοὶ, καὶ ἡμεῖς τὰς ὀφειλὰς ἀποπληρούμεθα. Καταβασία.

„ Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον. „ Οὐρανὸν τὸ Σπήλαιον, Θρόνον „ Χερουβικὸν τὴν Παρθένον, τὴν Φάτ- „ νην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώ- „ ρητος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες „ μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγαν ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν, πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας, καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον. Ὅμοιον.

Μεγάλως σε ἐδόξασεν, ἐν θαύμασιν ὁ Κύριος, καὶ ζῶντα καὶ μετὰ τέλος, Νικόλαε ἱεράρχα, τίς γὰρ ἐκ πόθου πίστεως, μόνον ἐπεκαλέσατο, τὸ ἅγιον σου ὄνομα, καὶ οὐκ εὐθὺς εἰσηκούσθη, θερμὸν προστάτην εὑρών σε;

Θεοτοκίον. Ὅμοιον.

Σοφίαν ἐνυπόστατον, καὶ Λόγον ὑπερούσιον, καὶ ἰατρὸν τῶν ἁπάντων, Χριστὸν τεκοῦσα Παρθένε, τὰ ἕλκη καὶ τὰ τραύματα, τῆς ψυχῆς μου θεράπευσον, τὰ χαλεπὰ καὶ χρόνια, καὶ τῆς καρδίας μου παῦσον, τὰς ἀπρεπεῖς ἐνθυμήσεις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στ. δ. καὶ ψάλλομεν, γ. προσόμοια. Ἦχος α.

Τῶν οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας τὰ ἄνθη περιΐπτάμενος, ὡς μεοττὸς τῆς ἄνω, καλιᾶς τῶν Ἀγγέλων, Νικόλαε τρισμάκαρ κράζεις ἀεὶ, πρὸς τὸν Θεὸν ὑπὲρ πάντων ἡμῶν, τῶν ἐν ἀνάγκαις κινδύνων καὶ πειρασμῶν, καὶ λυτροῦσαι ταῖς πρεσβείαις σου.

Τῆς ἱερᾶς διπλοΐδος τὴν ὡραιότητα, ταῖς πρακτικαῖς εἰργάσω, ἀρεταῖς λαμπροτέραν, Πάτερ θεοφόρε. ὅθεν ἡμῖν, ἱερουργεῖς τὰ τεράστια, τῶν ἀοιδίμων θαυμάτων ἱερουργέ, τῶν δεινῶν ἡμᾶς λυτρούμενος.

Τῶν ἀθεάτων τὰ κάλλη περιερχόμενος, τὴν φοβερὰν ἐκείνην, κατεμόνησας δόξαν ἅγιε ἁγίων. ὅθεν ἡμῖν, τὰ οὐράνια λόγια, τῶν ἀρρήτων ἐκείνων θεωριῶν, ἀπαγγέλλεις Ἱερώτατε.

Ὡς ἐν ὀνείρῳ ἐπέστης τῷ εὐσεβεῖ Βασιλεῖ, καὶ τοὺς δεσμώτας Πάτερ, ἐκ θανάτου ἐρρύσω, πρέσβευε ἀπαύστως, ὅπως καὶ νῦν, ταῖς εὐχαῖς σου ῥυσθείημεν, ἐκ πειρασμῶν καὶ κινδύνων καὶ ὀδυνῶν, οἱ ἀξίως εὐφημοῦντές σε. Δόξα. Ἦχος πλ. α.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ πανηγύρει τοῦ θεοφόρου Πατρός. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν δι' ὀνείρου φρικτῆς ἐπιστασίας, Βασιλέα πείθοντα, ἀναιτίους κρατουμένους τρεῖς, ἀπολῦσαι στρατηλάτας ἀνυμνείτωσαν. Ποιμένες, καὶ Διδάσκαλοι, τὸν τοῦ καλοῦ Ποιμένος, ὁμόζηλον Ποιμένα, συνελθόντες εὐφημήσωμεν. Οἱ ἐν νόσοις τὸν ἰατρὸν, οἱ ἐν κινδύνοις τὸν ῥύστην, οἱ ἁμαρτωλοὶ τὸν προστάτην, οἱ πένητες τὸν θησαυρὸν, οἱ ἐν θλίψεσι τὴν παραμυθίαν, τὸν συνοδίτην οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην, οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. πανάγιε Νικόλαε, πρόφθασον, ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων. προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατημένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν. τὴν Λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον Νεφέλην, τὴν τῶν Οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε Κιβωτὸν τὸν πυρίμορφον τοῦ Δεσπότου Θρόνον, τὴν μαννοδόχον χρυσέαν Στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου Πύλην, τὴν πάντων Χρι-

Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας. οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. δίδοται καὶ Ἅγιον Ἔλαιον τοῖς Ἀδελφοῖς ἐκ τῆς κανδήλας τοῦ Ἁγίου, ψαλλομένων τῶν ἰδιομέλων. Ἦχος Πλ. β΄. Σεργίου.

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ. εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ. σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας. σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας. καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας. διὸ πύλη σοι Οὐρανῶν ἠνέῳκται. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, Ἅγιε Νικόλαε. Ἦχος Πλ. δ΄.

Στ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσ.

Εἰς αἶνον ἔδραμες τοῦ Κυρίου Νικόλαε, ἐν τῇ προσκαίρῳ ζωῇ, καὶ αὐτός σε ἐδόξασεν, ἐν τῇ ἐπουρανίῳ, καὶ ὄντως ζωῇ. διὸ παῤῥησίαν κεκτημένος πρὸς αὐτὸν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος ὁ αὐτός.

Τῶν ἀνδραγαθημάτων σου Ὅσιε Πάτερ, ὁ καρπὸς ἐφαίδρυνε τῶν πιστῶν τὰς καρδίας. τίς γὰρ ἀκούων τὴν ἄμετρόν σου ταπείνωσιν, τὴν ὑπομονὴν οὐκ ἐθαύμασε, τὴν πρὸς τοὺς πένητας ἱλαρότητα, θλιβομένων τὸ συμπαθές; πάντας θεοπρεπῶς ἐδίδαξας, ἱεράρχα Νικόλαε, καὶ νῦν τὸν ἀμαράντινον ἀναδησάμενος στέφανον, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄.

---

Τῷ αὐτῷ Μηνὶ Ζ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀμβροσίου Ἐπισκόπου Μεδιολάνων.

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν, στιχ. προσόμοια. Ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Ἡγεμονίας τὸν θρόνον κατακοσμῶν ἀρεταῖς, δι' ἐπιπνοίας θείας, τὸν τῆς ἱεραρχίας, προσφόρως ἐκομίσω. ὅθεν πιστὸς οἰκονόμος τῆς χάριτος, ἐν ἀμφοτέροις Ἀμβρόσιε γεγονὼς, διπλοῦν στέφανον κεκλήρωσαι. Ὅμοιον.

Ἐν ἐγκρατείᾳ καὶ πόνοις, καὶ ἀγρυπνίαις πολλαῖς, καὶ προσευχαῖς συντόνοις, τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐκάθηρας Θεόφρον. σκεῦος λοιπὸν, ἐκλογῆς τῷ Θεῷ ἡμῶν, τοῖς Ἀποστόλοις ὡσαύτως ἀναδειχθεὶς, ὑπεδέξω τὰ χαρίσματα.

Τὸν ἀσεβῆ Βασιλέα, ἡμαρτηκότα ποτὲ, ὡς τὸν Δαβὶδ ὁ Νάθαν, παῤῥησίᾳ ἐλέγξας, Ἀμβρόσιε παμμάκαρ, τοῦτον σαφῶς, ἀφορισμῷ καθυπέβαλες, καὶ μετανοίᾳ παιδεύσας θεοπρεπῶς, συνηρίθμησας τῇ Ποίμνῃ σου.

Ἕτερα στιχ. Ἦχος Πλ. α΄. Ὅσιε Πάτερ.

Ὅσιε Πάτερ, ἱερώτατε Ἀμβρόσιε, ἡ Λύρα ἡ φωνοῦσα μέλος σωτήριον, δογμάτων ὀρθοδόξων πᾶσιν ἡμῖν. ἡ καταθέλγουσα πιστῶν τὰς ψυχὰς, εὔηχος Κιθάρα τοῦ θείου Παρακλήτου, τὸ μέγα Ὄργανον τοῦ Θεοῦ, ἡ ἀξιέπαινος Σάλπιγξ τῆς Ἐκκλησίας, διειδεστάτη τε πηγὴ τῶν χαρισμάτων, ἐναποπλύνουσα ῥεῖθρα τῶν παθημάτων, Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, παμμακάριστε Ἀμβρόσιε, Συνόδου θεοφόρων, μέσον Πατέρων ὀφθεὶς, ἐν δύω ταῖς οὐσίαις ἕνα Υἱὸν, σάρκα γενόμενον κηρύττεις σαφῶς, τὸν ἀπεῤῥογάμου ἡμῖν ἐπιφανέντα, τὸν ὁμοούσιον τῷ Πατρὶ, καὶ συναΐδιον τούτου καὶ συμφυῆ. ὅθεν τὴν βλάσφημον Ἀρείου γλωσσαλγίαν, ἐναπεμώρανας, τοῦ Πνεύματος δυνάμει. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, ἀξιάγαστε Ἀμβρόσιε, εὑροῦσα ὡς ἐπόθει, τὴν καθαράν σου ψυχὴν, τοῦ Πνεύματος ἡ χάρις τοῦ Παναγίου, ἐν σοὶ ἐσκήνωσεν ὡς ἄδυτον φῶς. οὗ τῇ ἐνεργείᾳ, τὰ πνεύματα τῆς πλάνης, ἀποδιώκεις διαπαντὸς, καὶ θεραπεύεις τὰς νό-

Digitized by Google

σους καὶ μαλακίας, τῶν προσιόντων σοι, ἁπλότητι καρδίας, καὶ ἐκτελούντων σου τὴν μνήμην τὴν φωσφόρον. Χριστὸν ἱκέτευε, Χριστὸν θεόφρων αἴτησαι, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. ἢ Σταυροθεοτ.

[illegible] τὴν ά. σ̄. τῆς Ὀκτωήχου.

[illegible] μετὰ τὴν συνήθη ἀκολ. οἱ [illegible] χου, καὶ τοῦ Ἁγίου.

[illegible] ις.

Τὸν παμμέγιστον Ἀμβρόσιον αἰνέσω. Ἰωσήφ. [illegible]

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

[illegible]αῖς θείαις φωτοχυσίαις Ὅσιε, κατα[illegible] στραπτόμενος, τὴν φωτοφόρον ταύτην καὶ φαιδρὰν, καὶ ἁγίαν σου κοίμησιν, τοὺς εὐσεβῶς γεραίροντας, σαῖς ἱκεσίαις φωταγώγησον.

Ὁ λόγος ὁ τοῦ Θεοῦ σοφίας σοι, λόγον δεδώρηται, κεκοσμημένον γλώσσῃ ἀληθεῖ, ἱεράρχα Ἀμβρόσιε, αἱρετιζόντων ἄλογον, ἀπορραπίζοντα κακόνοιαν.

Νοός σου τὸ ὀπτικὸν πανόλβιε, προκαθηράμενος, τῆς τῶν παθῶν ἀχλύος δεκτικὸν, καθαρῶν ἐπιλάμψεων, τοῦ παναγίου Πνεύματος, προαπειργάσω παμμακάριστε. Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ἕτερος Κανὼν τοῦ αὐτοῦ.

Ὠδὴ ά. Ἦχος Πλ. δ'. Ἡ κεκομμένη.

Θείῳ φωτί σου, ὑπέρλαμπρε ἥλιε, τῆς ἁμαρτίας μου, τὴν ἀχλὺν ἀπέλασον. οἰκτείρεις γὰρ ψυχὰς, τῇ ἐμφύτῳ εὐσπλαγχνίᾳ σου, σκότος ἀπαλλάττεις τῶν παθῶν, τῇ μόνῃ εὐμενείᾳ σου, Παντοκράτωρ Κύριε, ὁ μόνος εὐδιάλλακτος.

Ἐπὶ τῷ κάλλει, τῶν θείων δογμάτων σου, ἡ Ἐκκλησία φαιδρῶς, Πάτερ ὡραΐζεται, καὶ πίστει ἀσφαλεῖ, πεποικιλμένη δείκνυται. καὶ ὅλη ὡς πλησίον καὶ καλὴ, ἐκ δεξιῶν παρίσταται, ὀρθοδόξως λάμπουσα, τῇ δόξῃ τοῦ νυμφίου Χριστοῦ.

Ἱερωσύνης, τοῖς ὅπλοις στομούμενος, καὶ θείᾳ δόξῃ τὸν νοῦν, Πάτερ ἐλλαμπόμενος, ὡς μάχαιρα πιστῶν, ἐπιλβομένη δείκνυσαι, καὶ Σάλπιγξ τῆς εὐσήμου Ἑορτῆς, θράσῃ τῶν αἱρέσεων, τμητικῶς συγκόπτουσα, καὶ πάντας διεγείρουσα. Θεοτοκίον.

Ὁ πρὸ αἰώνων, Πατρὶ συναΐδιος, ἐκ σοῦ Θεόνυμφε, σάρκα προελάβετο, τὴν φύσιν τῶν βροτῶν, θεώσας συνεδόξασε. διό σε σωτηρίας ἀρχηγὸν, καὶ κόσμου ἱλαστήριον, Θεοτόκε Δέσποινα, πρὸς τὸν ἐκ σοῦ κεκτήμεθα.

Ὠδὴ γ'. Οὐκ ἐν σοφίᾳ.

Μεμυημένος, Ἱεράρχης ὡς ἔνθεος Ὅσιε, πᾶσαν μόνην γραφῆς, τοῖς ἀγνοοῦσιν Ἀμβρόσιε, Πάτερ τὰ δυσέφικτα, τρανῶς ἐσάφησας.

Μεγίστην χάριν, πρὸς Θεοῦ δεδεγμένος καὶ δύναμιν, σῆς ἐσθῆτος ἐπαφῇ ποικίλα πάθη Ἀμβρόσιε, Πάτερ ἐθεράπευσας, τῶν προσιόντων σοι.

Ἐν ἀφροσύνῃ, τὴν πρὸς σὲ τὸν φρονήσει ἐμπρέποντα, πλησιάσαι τολμηρῶς, μιαρωτάτην ὁρμήσασαν, θᾶττον ἐθανάτωσας, θείῳ προστάγματι. Θεοτοκίον.

Γάμος ἀνθρώπων, ἐκαινούργησας μόνη κυήσασα, τὸν τῆς φύσεως ἡμῶν, δημιουργόν τε καὶ Κύριον. ὅθεν σε δοξάζομεν, Θεοχαρίτωτε.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Ῥεῖθρον ἐν καρδίᾳ σου, ἐκ τῶν τοῦ Πνεύματος Ὅσιε, χαρισμάτων, βρύει καταρδεῦον, τοὺς τῆς Πίστεως αὔλακας.

Ὅλον ἀπεκάθηρας, τὸ ὀπτικὸν τοῦ νοῦ Ὅσιε, καὶ εἰς ὕψος, ἤρθης θεωρίας, τῇ ἐλλάμψει τοῦ Πνεύματος.

Στέφεται τοῖς λόγοις σου, ὥσπερ τιμίοις λίθοις σοφὲ, ἡ Ἐκκλησία, καὶ διαυγίζει. τῶν πιστῶν βασιλεύουσα. Θεοτ.

Ἵλεων γενέσθαι μοι, τῷ ἐν πολλαῖς παγέντι παναμώμε. ἁμαρτίαις, τὸν ἐκ σοῦ τεχθέντα, ἀσιγήτως δυσώπησον.

Θθ. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Λόγους ζωῆς Πάτερ σοφὲ κεκτημένος, τὰς διανοίας τῶν πιστῶν καταρδεύεις, καὶ καρποφόρους χάριτι δεικνύεις ἀεί. τῶν

αἱρε-

Digitized by Google

αἱρετιζόντων δὲ, κατακλύζεις τὰς φρένας, χάριν ἀναβλύζων τε, ἰαμάτων ἐκπλύνεις, παθῶν παντοίων ῥύπον ἀληθῶς, ἱερομύστα θεόφρον Ἀμβρόσιε.

Ἕτερον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ λόγον.

Τὸν Προφήτην Ἠλίαν ζηλοτυπῶν, καὶ Ἰωάννην ὡσαύτως τὸν Βαπτιστὴν, ἀνδρείως διήλεγξας, Βασιλεῖς ἀνομήσαντας. ἱεραρχίας θρόνον, ἐνθέως ἐκόσμησας, καὶ τῷ θαυμάτων πλήθει, τὸν Κόσμον ἐπλούτισας. ὅθεν καὶ ταῖς θείαις, συγγραφαῖς κεχρημένος, πιστοὺς ἐπεστήριξας, καὶ ἀπίστους ἐπέστρεψας, ἱεράρχα Ἀμβρόσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν οὐράνιον Πύλην καὶ Κιβωτὸν, τὸ πανάγιον Ὄρος τὴν φωταυγῆ, Νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον Κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τοῦ Κόσμου καὶ ἄφεσις, τῶν πολλῶν ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄχραντον τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν τῷ πάθει ἑστῶσα τοῦ σοῦ Υἱοῦ, τῷ Σταυρῷ πλησιάζουσα μητρικῶς, δακρύων προχύσεσι, λυομένη ἐκραύγαζες. οἴμοι θεῖε Λόγε, πῶς φέρεις ῥαπίσματα, ἐμπτυσμοὺς καὶ μάστιγας, Σταυρὸν καὶ τὸν θάνατον, καὶ ὀνείδη καὶ σκώμματα, καὶ τὴν ὕβριν τὴν ἄδικον; ὅμως ὑπὲρ γένους, σωτηρίας βροτείου, ἑκὼν ταῦτα ὑφίστασαι, ἡ Θεοτόκος ἐβόα σοι. ἣν πρεσβείαν βαλλόμεθα, εἰς οἰκτιρμοὺς σὲ καλοῦμεν, ζωοδότα Κύριε φιλάνθρωπε, ἵνα σώσῃς ἡμᾶς, τῶν παθῶν ἡμῶν Δέσποτα.

Ὠδὴ δ'. Δι' ἀγάπησιν οἰκτίρμων.

Ἱεράρχης ἀνεδείχθης χρισθεὶς τῷ μύρῳ, τῷ τῆς ἱερωσύνης, τελειῶν Ἱερέας, πᾶσι τὴν σωτήριον, δωρούμενος κάθαρσιν.

Ἐξετήρησας τὴν ποίμνην ἐκ πάσης βλάβης, τῶν ἐναντίων μάκαρ, καὶ Ἀρείου τὴν πλάνην, πᾶσαν ἀπημαύρωσας, τῷ φέγγει τῶν λόγων σου.

Τῇ τοῦ Πνεύματος δυνάμει τετειχισμένος, τὰ πονηρὰ διώκεις, τῆς κακίας παμμάκαρ, Πνεύματα μὴ φέροντα, τὴν σὴν ἐπιτίμησιν.

Θεοτοκίον.

Ὁ θελήματι τὰ πάντα δημιουργήσας, δημιουργεῖται θέλων, ἐξ ἁγνῶν σου αἱμάτων, σώζων τοὺς εἰδότας σε, ἁγνὴν Θεομήτορα.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ὁ λειμὼν τῶν δογμάτων σου, καὶ θεολαμπὴς σου βίος πανεύφημε, ὡς συνθέσεως θυμίαμα, κατευωδιάζει τὰς αἰσθήσεις ἡμῶν.

Ἱερεῖον γενόμενος, καὶ ἱερουργὸς καὶ κάρπωμα Ὅσιε, πρακτικῶς ὁλοκαυτώθης Θεῷ, καὶ προσηνέχθης θῦμα τῇ τραπέζῃ Χριστοῦ.

Ὁ οὐράνιος Κύριος, ἐν τῷ στερεώματι τῷ τῆς Πίστεως, ὡς ἀστέρα σε κατέπηξε, δαδουχοῦντα Κόσμον τοῖς σοῖς δόγμασι.

Θεοτοκίον.

Ἡ τραπεῖς τῇ θεότητι, ὅλον ἑαυτὸν ὁ Λόγος ἐκένωσε, καὶ ἀνθρώποις προσωμίλησεν, ἐκ σοῦ σάρκα κόρη προσλαβόμενος.

Ὠδὴ ε'. Σὺ Κύριε μου φῶς.

Νοοῦν λάμποντα φωτὶ, τῷ ἀΰλῳ κτησάμενος, ἀπήστραψας ἰαμάτων, καὶ θαυμάτων ἀκτῖνας, Ἀμβρόσιε μακάριε.

Ἠγειρας σαυτὸν, ἱερὸν καταγώγιον, τοῦ Πνεύματος καταλύσας. τοὺς ναοὺς τῶν εἰδώλων, Ἀμβρόσιε θεόπνευστε.

Μεγίστων ἀρετῶν, φωταυγία λαμπόμενος, ᾐδέσθησαν Βασιλεῖς σε, καὶ τὸν ὅρον τῆς γλώττης, τῆς σῆς οὐ παρεσάλευσαν.

Θεοτοκίον.

Βουλήματι τὸ πᾶν, ὁ σοφῶς ἐργαζόμενος, βουλόμενος ἀναπλάσαι, τοὺς ἀνθρώπους Παρθένε, τὴν σὴν γαστέρα ᾤκησεν.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ἐν τῇ θείᾳ σου μνήμῃ, ἱερέων θίασος Πάτερ ἀγάλλεται, καὶ πιστῶν χορεύει, σὺν Ἀγγέλοις ἀΰλοις εὐφραίνονται, καὶ τρυφᾷ σήμερον, Πνευματικῶς ἡ Ἐκκλησία, ἐν τοῖς λόγοις σου Πάτερ Ἀμβρόσιε.

Γεωργὸς ἀνεδείχθης τέμνων τὴν τῆς Πίστεως εὐθεῖαν ἄρουραν, καὶ διδασκαλίας,

Digitized by Google

λίας, ἐπισπείρων θεόσοφε δόγματα. καὶ αὐξήσας στάχυν, καρποφορεῖς τῇ ἐκκλησίᾳ, τὸν οὐράνιον ἄρτον τοῦ Πνεύματος.

Ἀβραὰμ τὴν θυσίαν, καὶ τὴν ἄμεμπτον πίστιν ἐχαρακτήρισας, Ἰσαὰκ ὡς ἄλλος, τὴν ψυχὴν θυσιάσαι προθέμενος, τῷ τοῦ Κτίστου πόθῳ, καὶ μὴ τρωθεὶς τῇ ἀπιστίᾳ, ἐσχημάτισας φίλος τοῦ Κτίστου σου. Θτ.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν υἱόν σου κεκτημένη πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ῥώμησου, εὐφημεῖ τὰ σεπτὰ προτερήματα. φωτοειδὴς ὡς ἀστὴρ γὰρ, πανταχοῦ θαυμάτων τὰς λαμπηδόνας, Ἱεράρχα, ἐπαφῆκας πιστῶς θαυμαζόμενος.

Ὀρθρίσας, πρὸς Χριστὸν ταῖς ἐκεῖθεν λαμπρότησιν, περιηυγάσθης πλουσίως καὶ φωτὸς ἐπλήσθης τοῦ θειοτάτου, καὶ φωτίζεις, τοὺς πιστῶς σε τιμῶντας ἑκάστοτε.

Σῶμά σου, καὶ ψυχὴν τῷ Θεῷ καθιερώσας, καὶ δεκτικὴν ἀπειργάσω, χαρισμάτων Πάτερ, τὴν σὴν καρδίαν, ἀφειδότως τῷ γλυκείῳ προσέχυσαν ἔρωτι. Θεοτοκίον.

Ἴασαι, τῆς ψυχῆς μου Παρθένε τὰ τραύματα, ἐπισκιάσει σου θείᾳ, καὶ τὸν νοῦν μου λαμπρυνον σκοτισθέντα, ἀμελείᾳ, καὶ κακίᾳ ἐχθροῦ πολεμήτορος.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Λαβὼν τοῦ λόγου σοφὲ, τὸ τάλαντον ὡς θεράπων πιστὸς, καὶ τῇ τραπέζῃ προθεὶς, ἐπολυπλασιάσας, καὶ τοῦτο προσήγαγες, καθαρὸν σὺν τόκῳ, τῷ Δεσπότῃ σου Ἀμβρόσιε.

Ἐλάμπρυνας τὴν στολὴν, τὴν ἱερὰν ἐν τοῖς πόνοις σου, καὶ ἀνεδείχθης ποιμὴν, λογικῶν θρεμμάτων σοφέ. ἣν τῇ βακτηρίᾳ σου, τῆς διδασκαλίας, εἰς μονὰς ἐλαύνεις πίστεως.

Ὁ ζῆλός σου Ἠλιοῦ, ζῆλον μιμεῖται μακάριε. βασιλέα γὰρ πιστὸν, χρανθέντα τοῖς αἵμασιν, ἐλέγξας ἀπήλασας, θείων περιβόλων, τὸν αἰδέσιμον φυλάττων Θεοῦ.

Θεοτοκίον.

Σκέπην καὶ καταφυγὴν, καὶ τεῖχος ὄντως ἀκράδαντον, ἡ πόλις σου σὲ πιστῶς, κεκτημένη Δέσποινα, δυσχερῶν ἐκ θλίψεων, καὶ κινδύνων πάντων, ἐκλυτροῦται ταῖς πρεσβείαις σου.

Κοντάκιον. Ἦχος γ'. Θείας πίστεως.

Θείοις δόγμασι, περιαστράπτων, ἀπημαύρωσας, Ἀρείου πλάνην, ἱερομύστα καὶ ποιμὴν Ἀμβρόσιε. θαυματουργῶν δὲ δυνάμει τοῦ Πνεύματος, πάθη ποικίλα σαφῶς ἐθεράπευσας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ Ζ. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀμβροσίου, Ἐπισκόπου Μεδιολάνων.

Στ. Τὸ φθαρτὸν Ἀμβρόσιος ἐκδὺς σαρκίον, Θείας μετέσχεν Ἀμβροσίας ἀξίως.

Ἑβδομάτῃ Ἀμβρόσιος ποτὲ ἄμβροτον ἤλυθεν οὐδας.

Οὗτος γέγονεν ἐκ τῆς μεγαλοδόξου Πόλεως Ῥώμης, εἷς ὢν τῆς Συγκλήτου. οὔτε λόγοις προσφυῶς γὰρ ζυγός τις ὢν, καὶ στάθμη περὶ τὸ δίκαιον, οὐχ ἑτεροκλινῆ ἐν τοῖς προσπίπτουσι ποιούμενος τὴν ἀπόφασιν, ἀλλ' ἀπαρέγκλητον καὶ ὀρθήν. διά τοι τοῦτο καὶ τὴν ἡγεμονίαν ἐπιστεύθη ἁπάσης τῆς Ἰταλίας παρὰ τῶν εὐσεβῶν Βασιλέων, Κωνσταντίνου καὶ Κώνσταντος τῶν υἱῶν τοῦ μεγάλου Κωνσταντίνου. Οὔπω δὲ καταρτισθεὶς τῷ θείῳ Βαπτίσματι, ἀλλ' ἔτι ὢν ἐν τοῖς κατηχουμένοις, οὐδέν τι δὲ μεῖον εἰς ἀρετὴν καὶ βίου καθαρότητα τῶν μετειληφότων τῶν Μυστηρίων καθίστατο. Ὅθεν καὶ κρίσει τοῦ Βασιλέως Οὐαλεντινιανοῦ, Ἀρχιερεὺς τῆς ἐν Μεδιολάνοις Ἐκκλησίας κατ' ἐκεῖνον καιροῦ τοῦ προέδρου τὸν βίον ἀπολιπόντος, ὁ Ἅγιος Ἀμβρόσιος προχειρίζεται, ὁμοῦ τε τῷ Βαπτίσματι τελεσθεὶς, καὶ κατὰ τὴν τάξιν τοὺς Ἐκκλησιαστικοὺς βαθμοὺς διελθὼν, καὶ ἐπὶ τὸν ἔσχατον προελθὼν, Καλῶς δὲ τὴν εὐσέβειαν καὶ ὀρθῶς διδάσκων, καὶ τὴν Ἐκκλησίαν πάσης αἱρέσεως ἀμέθεκτον διατηρήσας, καὶ συνήγορος γεγονὼς τοῖς κατὰ Ἀρείου καὶ Σαβελλίου

καὶ

Digitized by Google

καὶ Εὐνομίου αἱρέσεων ἀγωνιζομένοις, καὶ ὑπὲρ τῆς εὐσεβοῦς Πίστεως διάφορα Βιβλία συντάξας, καὶ τὸν Βασιλέα Θεοδόσιον ἀπὸ τῆς ἐν Θεσσαλονίκῃ μιαιφονίας καταλαβόντα τὴν Μεδιόλανον Πόλιν, τῶν θείων εἰσόδων τῆς Ἐκκλησίας κωλύσας, καὶ εἰς ὑπόμνησιν ἀγαγὼν ὧν τετόλμηκε, καὶ ὁπόση τὶς διαφορὰ καθέστηκεν ἀνὰ μεταξὺ ἱερωμένου τε, καὶ λαϊκοῦ, καὶ βασιλέως, αὐτὸν διδάξας, καὶ παραινέσας μὴ προπετῶς οὕτω καὶ ἀναιδῶς τῶν θείων κατατολμᾶν, ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀθηνοδώρου.

Στ. Χαίρων Ἀθηνόδωρος ἐτμήθη ξίφει,
Ἀφῃρέθη τε τὸ πνεῦμα πρὸ τοῦ ξίφους.

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, ἐκ Μεσοποταμίας τῆς Συρίας ὁρμώμενος, τὸν μονήρη βίον ἀρχῆθεν ἀναλαβών. Διαβληθεὶς δὲ παρέστη τῷ ἄρχοντι Ἐλευσίῳ. καὶ τὸν Χριστὸν ὁμολογήσας, τείνεται μέσον δύω στύλων, καὶ λαμπάσι καταφλέγεται κατὰ πάντων τῶν τοῦ σώματος μερῶν. καὶ βόλοις σιδηροῖς πυρωθεῖσι, τὰς μασχάλας αὐτοῦ διακαίεται, καὶ τοῖς μυκτῆρσιν ὄγγίνους εἰσδέχεται, καὶ ἐν χαλκῷ τάπητι πυρωθέντι ἁπλοῦται. ὃν παραδόξως ἐκ καυστικοῦ, μετέβαλεν εἰς ψυχρότητα. καὶ αὖθις χαλκῷ ταύρῳ πυρωθέντι ἐμβάλλεται. καὶ ἐκ πολλῶν ἑτέρων βασάνων δι' ἐπιστασίας ἁγίων Ἀγγέλων λυτροῦται. Ὅθεν καὶ πρὸς τὴν πίστιν ἐπισπᾶται ἄνδρας πεντήκοντα, καὶ αὖθις τριάκοντα. Ἐπεὶ δὲ τὴν διὰ ξίφους ἀπόφασιν ἐδέξατο, ὁ μέλλων τοῦτον τέμνειν παρεῖθη, καὶ ὡς νεκρὸς κατέπεσε, τῆς χειρὸς αὐτοῦ σὺν τῷ ξίφει ἀπὸ τοῦ ὤμου πεσούσης, καὶ μηδαμῶς αὐτῷ οὔτε προσεγγίσαι τολμήσαντος, αὐτὸς ὁ Ἅγιος ἐπευξάμενος, τῷ Κυρίῳ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Νεόφυτος ἐν τῇ Θαλάσσῃ βληθεὶς τελειοῦται.

Στίχ. Θανὼν ὁ Νεόφυτος ὑδάτων μέσον,
Παρ' ὑδάτων ζῇ μυστικῶν διεξόδους.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Δομέτιος ξίφει τελειοῦται.

Στ. Δὸς Δομέτιε Χριστομάρτυς καὶ λάβε.
Δὸς τὴν κεφαλήν, καὶ λάβε στέφος μέγα.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Ἰσίδωρος καὶ Ἀκεψιμᾶς, πυρὶ τελειοῦνται.

Στ. Διττοῖς συνάθλοις Ἰσίδωρε συμφλέγου.
Ἴσων γὰρ αὐτοῖς, δωρεῶν Θεοῦ τύχοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Ἀμμοῦν Ἐπίσκοπος Νητρίας, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ἀμμοῦν πατρὸς κατεῖδε Νητρία τρία.
Κόσμου φυγήν, ἄσκησιν, ἔξοδον βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ ἅγιοι Μάρτυρες Γαϊανὸς καὶ Γάϊος, πυρὶ τελειοῦνται.

Ἂν καὶ καμίνου Γάϊε βληθῇς μέσον.
Σοῦ Γαϊανὸς οὐκ ἀφέξομαι λέγει.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι τριακόσιοι Μάρτυρες οἱ ἐν Ἀφρικῇ, ξίφει τελειοῦνται.

Στ. Δόξης ὑπὲρ σῆς ὦ Τριὰς τετμημένην,
Διπλοτριπλῆν δέχου ἑξηκοντάδα.

Οὗτοι οἱ ἅγιοι Μάρτυρες, κατὰ τοὺς καιροὺς ὑπῆρχον Ζήνωνος Βασιλέως Ῥωμαίων. Τὴν δὲ τῆς Ἀφρικῆς ἀρχὴν Ὁνώριχος, μετὰ τὴν τοῦ πατρὸς αὐτοῦ τελευτὴν Γιζερίχου κατεῖχεν, Ἀρειανὸς ὤν. Ὃν οἱ τῆς αἱρέσεως Ἀρείου ἐπίσκοποι, Κύριλλός τε καὶ Βυλιμανδης, πείσαντες διωγμὸν μέγαν, κατὰ τῶν Ὀρθοδόξων κινῆσαι, τοιοῦτον ἀνεῤῥίπισεν, ὡς ὑπερβῆναι καὶ τοὺς κατὰ τοὺς χρόνους Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ κινηθέντας. Ἐκ πασῶν γὰρ τῶν ἐν τῇ χώρᾳ Πόλεων, δεκαπέντε τυγχανουσῶν, πάντας τοὺς ἱερεῖς ἐκδιωχθῆναι προστάττει, πρότερον τῶν τῆς Ἐκκλησίας ἱερῶν τε καὶ ἐπίπλων ἀφαιρεθέντων. Εἶτα μίαν Ἐκκλησίαν οἱ ὀρθόδοξοι καταλαβόντες, τὴν μυστικὴν ἐκεῖσε λειτουργίαν ἐπετέλουν. Ὅπερ γνόντες οἱ Βάρβαροι, περιέσχον αὐτήν. καὶ ξύλα κομίσαντες, καὶ λοιπὴν ὕλην ξηρὰν ἐνεγκόντες περὶ αὐτήν, ὑφῆψαν, καὶ τὴν Ἐκκλησίαν κατέκαψαν, σὺν πᾶσι τοῖς Θεὸν ὑμνοῦσιν, Ὁνώριχος δὲ τοῦτο ἀποδεξάμενος, προσέταξε τοὺς μὴ ἀναβαπτιζομένους τὸ ἀρειανικὸν βάπτισμα, παραυτίκα ἀναιρεῖσθαι. Καὶ ὅσοι μὲν τὰ τῶν βασανιστηρίων κολάσεων φόβητρα φέρειν οὐκ ἠδύναντο, φυγῇ τὴν σωτηρίαν ἐκέρδαινον, χώρας ἀπολιπόν-

Digitized by Google

λιπόντες καὶ οἴκυς. Ὅσοι δὲ ἐῤῥωμένοι τὴν ὀρθόδοξον πίστιν ὑπῆρχον, προθύμως μάλα πρὸς τὸν τῶν κολάσεων θάνατον ἐξέδωκαν ἑαυτούς. Τριακόσιοι δ' οὖν αὐτῷ ἐν Καρχηδόνι μηνυθέντες, μὴ συμφρονεῖν ἐλόμενοι Ἀρειανοῖς, κεφαλικὴν ὑπέσχον τιμωρίαν. Τοῖς δὲ ἱερεῦσι, μείζονας ἐπενόουν. Δύω γὰρ αὐτῶν κατέπρισαν. ἐξήκοντα δὲ τοὺς λογιωτάτους ἐγλωσσοτόμησαν ἐξ αὐτῶν τῶν κοινίδων. Οἳ καὶ διασπαρέντες ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίους γῇ, τὴν τοῦ Θεοῦ μεγίστην ἐν αὐτοῖς θαυματουργίαν ἀναγλώττως ἐκήρυττον, ἀπταίστως τε καὶ σαφῶς τὰ λεγόμενα διαρθροῦντες, ὡς καταπλήττεσθαι τοὺς ὁρῶντας καὶ ἀκούοντας τούτων. Ἐξ ὧν εἷς τις μετὰ τὴν χάριν τῆς ἐν Χριστῷ ὁμολογίας ὀλισθήσας εἰς σαρκικὴν ἁμαρτίαν, τὴν θείαν χάριν ἀποστῆναι πεποίηκεν ἀπ' αὐτοῦ. Περὶ τούτων οὐκ ὀλίγοι Συγγραφεῖς καὶ ἱστορικοὶ διηγήσαντο. Ἀλλὰ ταῦτα μὲν ὑπὸ Βανδήλων ἐν Ἀφρικῇ τοῖς ὁμοούσιον τῷ Πατρὶ τὸν Θεὸν Λόγον ὁμολογοῦσι Χριστιανοῖς ἐτολμήθησαν. Ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ κατὰ τὸν αὐτὸν καιρὸν, Συρίλδη ἡ γαμετὴ τοῦ τὴν Ῥώμην κατέχοντος ῥηγὸς Ὀδοάκρου, τὰ ὅμοια νοσοῦσα περὶ τὴν Πίστιν, μίαν τινὰ τῶν πολιτίδων γυναικῶν ἠνάγκαζε τὸ τῶν Ἀρειανῶν ἀναβαπτισθῆναι βάπτισμα. Ὡς δὲ πείθειν οὐκ εἶχε, καὶ ἄκουσαν εἰς τὸ ὕδωρ τοῦ Ἐπισκόπου Μεδιολάνων βαπτισθῆναι εἰσήγαγεν. Ἡ δὲ ὡς ἀνῆλθεν ἐκ τῆς κολυμβήθρας, δύω τῷ Ἐπισκόπῳ ὀβολοὺς παραχοῦσα, ἰδοὺ φησὶν ἀπέχεις τὸν μισθὸν τοῦ Βαλαὰμ εἶναι. Ὀργισθεῖσα οὖν ἡ Συρίλδη, παραυτίκα ὁλόκαυτον αὐτὴν ἐποίησεν. Ἧς ὁ ἀνὴρ φοβηθεὶς αὐτόμολος ἧκε, καὶ ἀνεβαπτίσατο εἰς τὴν θρησκείαν Ἀρείου. Ὀχούμενος δὲ ἵππῳ, καὶ γενόμενος ἐν ἀκτηρείῳ πρὸ τῆς Πόλεως, ὑπὸ σκηπτοῦ πεσόντος ἐνεπρήσθη, καὶ ἐπειράθη, ὡς ἡ τοῦ Θεοῦ κρίσις, δραστικωτέρα τοῦ προσκαίρου πυρὸς αὐτῷ γέγονεν. Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ ὅσιος Ἰγνάτιος, ὁ πλησίον τῶν Βλαχερνῶν κείμενος, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Πλήρης ἀπῆλθες πράξεων χρηστῶν Πάτερ.
Ἐκ τοῦ ματαίου καὶ κακῶν πλήρους βίου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου Μοναχοῦ, τοῦ ὑποτακτικοῦ. Οὗτος ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν οὗτος, ἐν τοῖς κατὰ Κόσμον, οὔτε περιφανὴς γέγονεν, οὔτε πάλιν πένης, ἀλλὰ τῶν γονέων αὐτοῦ ἐν αὐταρκείᾳ βιούντων, τὰ ἱερὰ ἐδιδάσκετο γράμματα. Εἰς ἡλικίαν δὲ αὐτῷ ἐλάσαντι, ἔδοξε συμφέρον τὸν Κόσμον καταλιπεῖν, καὶ εἰς ἓν τῶν ἁγίων Σεμνείων τῆς Πόλεως τῆς ἰδίας εἰσελθεῖν. καὶ ἀμφιασάμενος τὸ ἅγιον καὶ Ἀγγελικὸν σχῆμα, ἠγωνίζετο πάσας τὰς ἀρετὰς μετελθεῖν. Καὶ τοσοῦτον ὑπερηκόντισε πάντας τοὺς ἐν ἐκείνῳ τῷ Σεμνείῳ, δοχεῖον τῶν ἀρετῶν γενόμενος, ὡς καὶ ἑτέρας ἐργασίας μεγάλας καὶ φοβερὰς προσλαβέσθαι. Ποτὲ γὰρ αὐτοῦ μεθ' ἑτέρων ἀδελφῶν, πίσσαν ἐν χαλκείῳ διαλύσαντος, καὶ ταύτης εἰς ὕψος ἀρθείσης ἐν τῷ καχλάζειν καὶ ἐκχεομένης, ὁρῶν ὁ Παῦλος τὴν τῆς πίσσης ἀπώλειαν, ὡς οὐδὲν παρέκειτο ξυλάριον, ἢ ἕτερόν τι ἐπιτήδειον πρὸς τὸ ταραχθῆναι τὸν βρασμὸν, τὴν χεῖρα γυμνώσας, εἰς τὸ χαλκεῖον ἐχάλασε. Καὶ τὴν πίσσαν διαταράξας, καὶ ἀφυῶς καχλάζουσαν καταπαύσας, ἐξήγαγε σῶαν καὶ ἀβλαβῆ, μήτε τὴν ὄψιν μολύνας, μήτε τῆς χειρὸς ἢ τοῦ βραχίονος προσλαβομένων τι τὸ σύνολον. Τοῦτο οἱ σὺν αὐτῷ ἀδελφοὶ θεασάμενοι, ἐξέστησαν. Καὶ οἱ μὲν τῶν ἀδελφῶν, ὡς ἕνα τῶν θεοφόρων ἐλογίζοντο καὶ ἐτίμων, οἱ δὲ παντελῶς ἠπίστουν. ἐκεῖνος δὲ, γῆν καὶ σποδὸν, καὶ ὀδῶδα τὰ κυνὰ ἑαυτὸν ἐκάλει. Καὶ ὡς ταῦτα ἔλεγεν, ἀπεστάλη εἰς διακονίαν ἐπὶ χρόνον τινά. Τότε ὁ προεστὼς, τοὺς ἀλαβεστέρους τῶν ἀδελφῶν συλλεξάμενος, εὐχὴν ἐπιτελουμένην σὺν σκληραγωγίᾳ πολλῇ, ἐπὶ ῥηταῖς ἡμέραις ἐποιοῦντο περὶ τοῦ Μοναχοῦ Παύλου, λέγοντες οὑτωσί. Δεῖξον ἡμῖν Κύριε, καθὼς ἐστὶ χωρητὸν ἰδεῖν, τὸν ἀδελφὸν ἡμῶν Παῦλον, ἄρα εἰς ποῖα μέτρα ἔφθασε, καὶ ποῦ κατετάγη. Ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος,

ειος, ᾠκονόμησε μιᾷ τῶν νυκτῶν τοὺς ἀδελφοὺς ἀφυπνώσαντας, γνώσει Θεοῦ ἁρπαγῆναι εἰς Παράδεισον ποικίλον καὶ πάντερπνον. καὶ τοσαύτης ἐμφορηθῆναι εὐωδίας καὶ τέρψεως, ὅσον οὐδὲ εἰπεῖν δυνατόν. Ἐκπληττομένων δὲ αὐτῶν ἐπὶ τῷ παραδόξῳ θεάματι τούτῳ, ἔδοξε καὶ τὸν μοναχὸν αὐτοῖς φανῆναι Παῦλον, προσπεσόντα καὶ πάντας ἀσπαζόμενον. Ὡς δὲ καὶ ἐπυνθάνοντο, μαθεῖν θέλοντες τί τὸ ὁρώμενον; ἤκουσαν τοῦ Παύλου λέγοντος μετὰ πολλῆς τῆς ταπεινώσεως. ὁ μὲν Παράδεισος, τοῦ Θεοῦ ἐστὶν ἀδελφοὶ, καὶ δι' ἡμᾶς οὗτος γέγονεν. Ὅτι δὲ δι' ἐμὲ, διὰ τῆς πρὸς Θεὸν ἐντεύξεως ἠθελήσατε ἕως τῶν ὧδε ἀφικέσθαι, πάρειμι καὶ αὐτὸς, πλὴν ἀδεῶς λάβετε ἐξ αὐτοῦ ἕκαστος, ὅπερ ὡς ὑπερέχον τῶν ἄλλων δοκεῖ, καὶ ὡς ἐφετὸν, καὶ πορεύεσθε ἐν εἰρήνῃ. ἕτερον δὲ ἐν τῇ ἀνατεθείσῃ μοι διακονίᾳ ἐξαποστείλατε. ἐμὲ γὰρ οὐκέτι θεάσεσθε. Οἱ δὲ τὸν Παῦλον κατασπασάμενοι, καὶ λαβόντες ὁ μὲν ἄνθος, ὁ δὲ κλάδον, ἄλλος φύλλα τερπνότατα, ἕτεροι βοτάνας, ἐξίεσαν. καὶ τὸν ὕπνον ἅπαντες ὁμοῦ ἀποτιναξάμενοι, καὶ εἰς ἓν συνελθόντες, διηγοῦντο εὐφραινόμενοι καὶ δοξάζοντες τὸν Θεόν. Ὁ μὲν γὰρ τοῖς ἄλλοις ὑπεδείκνυεν, ὅπερ ἐκεῖθεν ἔλαβεν. Ὁ δὲ ἔλεγεν, εἰληφέναι τόδε, ἐδείκνυε δὲ οὐδέν. Ἕτερος δὲ διεβεβαιοῦτο ἐφ' ἱκανὸν τὴν εὐωδίαν φέρειν ἐν τοῖς ῥισὶν, ὅπερ αὐτοχείρως ἐκεῖθεν ἐδράξατο, εἰ καὶ μηδὲν ἐπεφέρετο. Ὁ δὲ μακάριος Παῦλος ἐκεῖθεν ἀπάρας, ἐν ᾗ δηλονότι διακονίᾳ ἀποσταλεὶς προσήδρευε, πρὸς τὰ Ἱεροσόλυμα ᾤχετο. Καὶ τοὺς ἐκεῖσε τόπους καταλαβὼν, καὶ προσευξάμενος εἰς Κύπρον ἀφίκετο. Ἐν ὄρει δὲ ὑψηλῷ τῆς Νήσου χρόνους πολλοὺς διατελέσαντος, οὐκ ὀλίγοι πρὸς αὐτὸν συνέρρεον. Καὶ τῆς φήμης πανταχόθεν διαδοθείσης καὶ διαδραμούσης, ἐκεῖθεν ἀνεχώρησε. Καὶ πρὸς τὰ τῷ Βυζαντίῳ παρακείμενα μέρη παραγενόμενος, κἀν τούτοις εὐαρεστήσας, φωνῆς ἐκεῖθεν ἀξιοῦται, ὡς ὁ θεσπέσιος πάλαι Μωϋσῆς. Ἀνάβηθι Παῦλε εἰς τὸ ὄρος, καὶ τελεύτα. Εἰς ἓν τοίνυν τῶν ὑψηλῶν ὀρέων ἀνελθὼν, ἐγχωρίως Παρηγορία ὀνομαζόμενον, τῷ Θεῷ προσεκύνησε. καὶ μικρὸν ἐν τούτῳ ἐπιβιοὺς, ἐκοιμήθη ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Πείσκου, Μαρτίνου, καὶ Νικολάου. Ὧν, ὁ μὲν λιμῷ, ὁ δὲ πελέκει κατακοπεὶς, ὁ δὲ τρίτος διὰ πυρὸς, ἐτελειώθησαν. Ἡ δὲ σύναξις αὐτῶν τελεῖται πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.

Στ. Λιμῷ θανόντα Πείσκον ἄρτου γνησίου.
Χριστὸς ἄρτῳ γὰρ, ψωμιεῖ τῶν Ἀγγέλων.
Πελέκει συγκόπτουσι Μαρτίνου κρέα.
Κρεῶν μακέλλαις δυσσεβεῖς ἀνθρωπ[illegible]μων.
Ἐξῆλθε δόγμα δαίμοσι πλάνης θύειν.
Οἷς Νικόλαε μὴ θύων εἰς πῦρ θύῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὰ Ἐγκαίνια τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Κυράτορος. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ὁ θεῖος φθόγγος, τῶν σῶν δογμάτων Πάτερ πάνσοφε, ὥσπερ, ἀστραπὴ διῆλθε πᾶσαν τὴν γῆν, καὶ θαυμάτων ἐπιδείξεσιν, ὡς φῶς ἐξήστραψε, τὰς ἐν ζόφῳ καρδίας λαμπρύνουσα.

Νομοθεσίαις, ταῖς τοῦ Σωτῆρος σὺ ἑπόμενος Πάτερ, τὸ δοθέν σοι τάλαντον ἐμμελῶς, ὡς οἰκέτης ἀγαθώτατος, ἐπολυπλασίασας, δεσποτικῆς χαρᾶς ἀξιούμενος.

Ἀναστομώσας, τὴν θεολόγον σου διάνοιαν, ῥεῖθρα, ἱερῶν δογμάτων ποταμηδὸν, ἐπαφῆκας καταρδεύοντα, ἱερομύστα Πάτερ Ἀμβρόσιε. Θεοτοκίον.

Ἰδοὺ Παρθένε, ἐν τῇ γαστρί σου συνέλαβες, Λόγον, τοῦ Πατρὸς συνάναρχον καὶ σαρκὶ, ἀπεκύησας δωρούμενον, πᾶσιν ἀνάκλησιν, τοῖς ἐξ Ἀδὰμ πεσοῦσι Παναμώμε. Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀκηλίδωτον ὤφθης, ἀρετῶν Θεομάκαρ, ἀξίως ἔσοπτρον, καθαρὰς τὰς ἐμφάσεις, τῆς πίστεως δεικνύον, καὶ φωτίζον τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σεβά-

Digitized by Google

Σεβάσμιος τὸν τρόπον, ὑψηλὸς καὶ τὸν λόγον, Πάτερ Ἀμβρόσιε, αἰδέσιμος τὸν βίον, καὶ πίστει ἀνεδείχθης, ἀκλινὴς ἐν τῷ ψάλλειν σε· ὁ τῶν Πατέρων ἡμῶν.

Σὸς ὁ βίος θεόφρων, ὑποτύπωσις ὤφθη, Ἀρχιερέων σαφῶς, ὅρος ὀρθοδόξων, τῶν πίστει μελῳδούντων, καὶ Θεῷ ἀναμελπόντων. ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ, μου ἐκδυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

Νεκρώσας τὰ μέλη καὶ νεκρὸν, σαρκὸς τὸ φρόνημα, ἀπεργασάμενος, ψυχὴν ἐζώωσας Ὅσιε, καὶ πηγὴν θαυμάτων ἔβλυσας, τοῖς νεκρωθεῖσιν ἐκ παθῶν, ζωὴν παρέχουσαν, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἔγνως τὴν μετάθεσιν σοφὲ, τὴν ἐκ τοῦ σώματος, θείῳ ἐν Πνεύματι, προφητικώτατα. ταύτην γὰρ τοῖς συνοῦσι διεσάφησας, καὶ ἐν χαρᾷ πρὸς Οὐρανὸν, βοῶν ἀνέδραμες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σῶμα καὶ καρδίαν καὶ τὸν νοῦν, προκαθηράμενος, παθῶν συγχύσεως, πυρφόρον ἔλλαμψιν ἄνωθεν, εἰσεδέξω τὴν τοῦ Πνεύματος, ὥσπερ οἱ θεῖοι μαθηταὶ, βοῶν Ἀμβρόσιε· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ὤφθης ὑπερτέρα Οὐρανῶν, Θεὸν οὐράνιον, ἀποκυήσασα, τὸν τὰ ἐπίγεια Πάναγνε, Οὐρανοῖς ἐπισυνάψαντα, καὶ τὴν ἐπίγνωσιν αὐτοῦ, πᾶσι παρέχοντα, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Μουσικῶν ὀργάνων.

Ἀπαθείας ὄργανον ἐδείχθης, τῶν παθῶν κοιμίζον τὰς ὀρέξεις, καὶ τὰς καρδίας τῶν πιστῶν, πρὸς ὕμνον διεγεῖρον. τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σωτηρίας πρόξενον ἐκτήσω, τὴν τοῦ λόγου δύναμιν παμμάκαρ. δι' ἧς ἐτράνωσας ἡμῖν, τὸν ἕνα τῆς Τριάδος, ἀῤῥήτως ἐκ Παρθένου, σάρκα προσλαβόντα, βροτοῖς ὁμοουσίως.

Ἰαμάτων βρύουσι σταγόνας, τῶν σῶν διδαγμάτων αἱ νεφέλαι, ἐξ ὧν ἀρδόμεναι πιστῶν, οἱ νόες τῶν βοώντων· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας. Θτ.

Μακαρίζει σε σεμνὴ τάξις Ἀγγέλων, μεγαλύνει σε γηγενῶν φύσις. ἐν σοὶ γὰρ εὕρωμεν χαρὰν, οἱ πίστει σε ὑμνοῦντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Ἴδες γεγονὼς ἐν ἐκστάσει, τὰ διαιώνιος τοῖς Ἁγίοις, Πάτερ ἀποκείμενα γέρα. πρὸς ἃ μετέβης, ἀπολυόμενος, τῶν σῶν καμάτων ἔνδοξε, τὰς ἀντιδόσεις εὐφραινόμενος.

Ὡραῖος ὡς βότρυς θεόφρον, ληνοῖς τοῖς ἄνω ἐπαξίως, ἐπεθησαυρίσθης πηγάζων, ἀθανασίας οἶνον Ἀμβρόσιε, καὶ ἰαμάτων χάριτος, τοῖς εὐσεβῶς σοι προσπελάζουσιν.

Σοφίᾳ καὶ χάριτι λάμπων, ἱερομύστα καὶ ποιμένων, μέσον διαστράπτεις δογμάτων, ὀρθοδοξίᾳ Πάτερ Ἀμβρόσιε. διὸ πίστει καὶ πόθῳ σε, ὕμνοις ἀξίως μακαρίζομεν.

Ἡμεροφανῆ σε ἀστέρα, ἡ Ἐκκλησία κεκτημένη, σκότος διαφεύγει παντοίας, παμμάκαρ πλάνης καὶ ταῖς λαμπρότησι, τῶν ἱερῶν δογμάτων σου, αὐγαζομένη μακαρίζει σε.

Θεοτοκίον.

Φωνήν σοι βοῶμεν Παρθένε, περιχαρῶς τοῦ Ἀρχαγγέλου· χαῖρε τῆς κατάρας ἡ λύσις, δεινῶν παντοίων χαῖρε ἡ λύτρωσις. ἡ τοὺς βροτοὺς θεώσασα, τῇ ὑπὲρ νοῦν κυοφορίᾳ σου.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἐδείχθης ὡς ἐλαία Πάτερ σοφὲ, ἐν τῷ οἴκῳ Κυρίου κατάκαρπος. ἐξ ἧς σοφῶς, ἔπλησας λαμπάδα τῶν ἀρετῶν. μεθ' ἧς καὶ εἰσελήλυθας, ἐν τῇ εὐωχίᾳ τῶν Οὐρανῶν. ἐν οἷς συναπολαύεις, μετὰ τῶν ἀσωμάτων, τῆς ἀκηράτου καὶ ἀΰλου ζωῆς.

Ἐπάρας τὴν ψυχήν σου ταῖς ἀρεταῖς, ἐγκρατείας ἐδείχθης Διδάσκαλος, καὶ



Digitized by Google

ειος, ᾠκοδόμησε μιᾷ τῶν νυκτῶν τοὺς ἀδελφοὺς ἀφυπνώσαντας, νεύσει Θεοῦ ἁρπαγῆναι εἰς Παράδεισον ποικίλον καὶ πάντερπνον. καὶ τοσαύτης ἐμφορηθῆναι εὐωδίας καὶ τέρψεως, ὅσον οὐδὲ εἰπεῖν δυνατόν. Ἐκπληττομένων δὲ αὐτῶν ἐπὶ τῷ παραδόξῳ θεάματι τούτῳ, ἔδοξε καὶ τὸν μοναχὸν αὐτοῖς φανῆναι Παῦλον, προσπεσόντα καὶ πάντας ἀσπαζόμενον. Ὡς δὲ καὶ ἐπυνθάνοντο, μαθεῖν θέλοντες τί τὸ ὁρώμενον; ἤκουσαν τοῦ Παύλου λέγοντος μετὰ πολλῆς τῆς ταπεινώσεως. ὁ μὲν Παράδεισος, τοῦ Θεοῦ ἐστὶν ἀδελφοί, καὶ δι' ἡμᾶς οὗτος γέγονεν. Ὅτι δὲ δι' ἐμέ, διὰ τῆς πρὸς Θεὸν ἐντεύξεως ἠθελήσατε ἕως τῶν ὧδε ἀφικέσθαι, πάρειμι καὶ αὐτός, πλὴν ἀδεῶς λάβετε ἐξ αὐτοῦ ἕκαστος, ὅπερ ὡς ὑπερέχον τῶν ἄλλων δοκεῖ, καὶ ὡς ἐφετόν, καὶ πορεύεσθε ἐν εἰρήνῃ. ἕτερον δὲ ἐν τῇ ἀνατεθείσῃ μοι διακονίᾳ ἐξαποστείλατε. ἐμὲ γὰρ οὐκέτι θεάσεσθε. Οἱ δὲ τὸν Παῦλον κατασπασάμενοι, καὶ λαβόντες ὁ μὲν ἄνθος, ὁ δὲ κλάδον, ἄλλος φύλλα τερπνότατα, ἕτεροι βοτάνας, ἐξίεσαν. καὶ τὸν ὕπνον ἅπαντες ὁμοῦ ἀποτιναξάμενοι, καὶ εἰς ἓν συνελθόντες, διηγοῦντο εὐφραινόμενοι καὶ δοξάζοντες τὸν Θεόν. Ὁ μὲν γὰρ τοῖς ἄλλοις ὑπεδείκνυεν, ὅπερ ἐκεῖθεν ἔλαβεν. Ὁ δὲ ἔλεγεν, εἰληφέναι τόδε, ἐδείκνυε δὲ οὐδέν. Ἕτερος δὲ διεβεβαιοῦτο ἐφ' ἱκανὸν τὴν εὐωδίαν φέρειν ἐν τοῖς ῥισίν, ὅπερ αὐτοχείρως ἐκεῖθεν ἐδράξατο, εἰ καὶ μηδὲν ἐπεφέρετο. Ὁ δὲ μακάριος Παῦλος ἐκεῖθεν ἀπαναστάς, ἐν ᾗ δηλονότι διακονίᾳ ἀποσταλεὶς προσήδρευε, πρὸς τὰ Ἱεροσόλυμα ᾤχετο. Καὶ τοὺς ἐκεῖσε τόπους καταλαβών, καὶ προσευξάμενος εἰς Κύπρον ἀφίκετο. Ἐν ὄρει δὲ ὑψηλῷ τῆς Νήσου χρόνους πολλοὺς διατελέσαντος, οὐκ ὀλίγοι πρὸς αὐτὸν συνέρρεον. Καὶ τῆς φήμης πανταχόθεν διαδοθείσης καὶ διαδραμούσης, ἐκεῖθεν ἀνεχώρησε. Καὶ πρὸς τὰ τῷ Βυζαντίῳ παρακείμενα μέρη παραγενόμενος, κἀν τούτοις εὐαρεστήσας, φωνῆς ἐκεῖθεν ἀξιοῦται, ὡς ὁ θεσπέσιος πάλαι Μωϋσῆς. Ἀνάβηθι Παῦλε εἰς τὸ ὄρος, καὶ τελεύτα. Εἰς ἓν τοίνυν τῶν ὑψηλῶν ὀρέων ἀνελθών, ἐγχωρίως Παρηγορία ὀνομαζόμενον, τῷ Θεῷ προσεκύνησε. καὶ μικρὸν ἐν τούτῳ ἐπιβιούς, ἐκοιμήθη ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Πρίσκου, Μαρτίνου, καὶ Νικολάου. Ὧν, ὁ μὲν λιμῷ, ὁ δὲ πελέκει κατακοπείς, ὁ δὲ τρίτος διὰ πυρός, ἐτελειώθησαν. Ἡ δὲ σύναξις αὐτῶν τελεῖται πλησίον τοῦ τείχους τῶν Βλαχερνῶν.

Στ. Λιμῷ θανόντα Πρίσκον ἄρτου γνησίου.
Χριστὸς ἄρτῳ γάρ, ψωμιεῖ τῶν Ἀγγέλων.
Πέλυξι συγκόπτουσι Μαρτίνου κρέα.
Κρεῶν μακέλλαις δυσσεβεῖς ἀνθρωποτέμνων.
Ἐξῆλθε δόγμα δαίμοσι πλάνης θύειν.
Οἷς Νικόλαε μὴ θύων εἰς πῦρ θύῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὰ Ἐγκαίνια τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Κυράτορος.

Ἧς ταῖς ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ὁ θεῖος φθόγγος, τῶν σῶν δογμάτων Πάτερ πάνσοφε, ὥσπερ, ἀστραπὴ διῆλθε πᾶσαν τὴν γῆν, καὶ θαυμάτων ἐπιδείξεσιν, ὡς φῶς ἐξήστραψε, τὰς ἐν ζόφῳ καρδίας λαμπρύνουσα.

Νομοθεσίαις, ταῖς τοῦ Σωτῆρος συνεπόμενος Πάτερ, τὸ δοθέν σοι τάλαντον ἐμμελῶς, ὡς οἰκέτης ἀγαθώτατος, ἐπολυπλασίασας, δεσποτικῆς χαρᾶς ἀξιούμενος.

Ἀναστομώσας, τὴν θεολόγον σου διάνοιαν, ῥεῖθρα, ἱερῶν δογμάτων ποταμηδόν, ἐπαφῆκας καταρδεύοντα, ἱερομύστα Πάτερ Ἀμβρόσιε. Θεοτοκίον.

Ἰδοὺ Παρθένε, ἐν τῇ γαστρί σου συνέλαβες, Λόγον, τοῦ Πατρὸς συνάναρχον καὶ σαρκί, ἀπεκύησας δωρούμενον, πᾶσιν ἀνάκλησιν, τοῖς ἐξ Ἀδὰμ πεσοῦσι Πανάμωμε. Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἀκηλίδωτον ὤφθης, ἀρετῶν Θεομάκαρ, ἀξίως ἔσοπτρον, καθαρὰς τὰς ἐμφάσεις, τῆς πίστεως δεικνύων, καὶ φωτίζον τοὺς ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σεβά-

Digitized by Google

Σεβάσμιος τὸν τρόπον, ὑψηλὸς καὶ τὸν λόγον, Πάτερ Ἀμβρόσιε, αἰδέσιμος τὸν βίον, καὶ πίστει ἀνεδείχθης, ἀκλινὴς ἐν τῷ ψάλλειν σε· ὁ τῶν Πατέρων ἡμῶν.

Σοῦ ὁ βίος θεόφρον, ὑποτύπωσις ὤφθη, Ἀρχιερέων σαφῶς, ὅρος ὀρθοδόξων, τῶν πίστει μελῳδούντων, καὶ Θεῷ ἀναμελπόντων. ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ, μου ἐκδυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Νεκρώσας τὰ μέλη καὶ νεκρὸν, σαρκὸς τὸ φρόνημα, ἀπεργασάμενος, ψυχὴν ἐζώωσας Ὅσιε, καὶ πηγὴν θαυμάτων ἔβλυσας, τοῖς νεκρωθεῖσιν ἐκ παθῶν, ζωὴν παρέχουσαν, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἔγνως τὴν μετάθεσιν σοφὲ, τὴν ἐκ τοῦ σώματος, θείῳ ἐν Πνεύματι, προφητικώτατα. ταύτην γὰρ τοῖς συνοῦσι διεσάφησας, καὶ ἐν χαρᾷ πρὸς Οὐρανὸν, βοῶν ἀνέδραμες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σῶμα καὶ καρδίαν καὶ τὸν νοῦν, προκαθηράμενος, παθῶν συγχύσεως, πυρφόρον ἔλλαμψιν ἄνωθεν, εἰσεδέξω τὴν τοῦ Πνεύματος, ὥσπερ οἱ θεῖοι μαθηταὶ, βοῶν Ἀμβρόσιε· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ὤφθης ὑπερτέρα Οὐρανῶν, Θεὸν οὐράνιον, ἀποκυήσασα, τὸν τὰ ἐπίγεια Πάναγνε, Οὐρανοῖς ἐπισυνάψαντα, καὶ τὴν ἐπίγνωσιν αὐτοῦ, πᾶσι παρέχοντα, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Μουσικῶν ὀργάνων.

Ἀπαθείας ὄργανον ἐδείχθης, τῶν παθῶν κοιμίζον τὰς ὀρέξεις, καὶ τὰς καρδίας τῶν πιστῶν, πρὸς ὕμνον διεγεῖρον. τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σωτηρίας πρόξενον ἐκτήσω, τὴν τοῦ λόγου δύναμιν παμμάκαρ. δι' ἧς ἐτράνωσας ἡμῖν, τὸν ἕνα τῆς Τριάδος, ἀῤῥήτως ἐκ Παρθένου, σάρκα προσλαβόντα, βροτοῖς ὁμοουσίως.

Ἰαμάτων βρύουσι σταγόνας, τῶν σῶν διδαγμάτων αἱ νεφέλαι, ἐξ ὧν ἀρδεύονται πιστῶν, οἱ νόες τῶν βοώντων· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας. Θε.

Μακαρίζει σε σεμνὴ τάξις Ἀγγέλων, μεγαλύνει σε γηγενῶν φύσις. ἐν σοὶ γὰρ εὕρομεν χαρὰν, οἱ πίστει σε ὑμνοῦντες, καὶ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἴδες γεγονὼς ἐν ἐκστάσει, τὰ δι' αἰῶνος τοῖς Ἁγίοις, Πάτερ ἀποκείμενα γέρα. πρὸς ἃ μετέβης, ἀπολαυόμενος, τῶν σῶν καμάτων ἔνδοξε, τὰς ἀντιδόσεις εὐφραινόμενος.

Ὥριμος ὡς βότρυς θεόφρον, ληνοῖς τοῖς ἄνω ἐπαξίως, ἐπεθησαυρίσθης πηγάζων, ἀθανασίας οἶνον Ἀμβρόσιε, καὶ ἰαμάτων χάριτος, τοῖς εὐσεβῶς σοι προσπελάζουσιν.

Σοφίᾳ καὶ χάριτι λάμπων, ἱερομύστα καὶ ποιμένων, μέσον διαστράπτεις δογμάτων, ὀρθοδοξίᾳ Πάτερ Ἀμβρόσιε. διὸ πίστει καὶ πόθῳ σε, ὕμνοις ἀξίως μακαρίζομεν.

Ἡμεροφανῆ σε ἀστέρα, ἡ Ἐκκλησία κεκτημένη, σκότος διαφεύγει παντοίας, παμμάκαρ πλάνης καὶ ταῖς λαμπρότησι, τῶν ἱερῶν δογμάτων σου, αὐγαζομένη μακαρίζει σε.

Θεοτοκίον.

Φωνήν σοι βοῶμεν Παρθένε, περιχαρῶς τοῦ Ἀρχαγγέλου· χαῖρε τῆς κατάρας ἡ λύσις, δεινῶν παντοίων χαῖρε ἡ λύτρωσις. ἡ τοὺς βροτοὺς θεώσασα, τῇ ὑπὲρ νοῦν κυοφορίᾳ σου.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἐδείχθης ὡς ἐλαία Πάτερ σοφὲ, ἐν τῷ οἴκῳ Κυρίου κατάκαρπος. ἐξ ἧς σοφὲ, ἔπλησας λαμπάδα τῶν ἀρετῶν. μεθ' ἧς καὶ εἰσελήλυθας, ἐν τῇ εὐωχίᾳ τῶν Οὐρανῶν. ἐν οἷς συναπολαύεις, μετὰ τῶν ἀσωμάτων, τῆς ἀκηράτου καὶ ἀΰλου ζωῆς.

Ἀστράψας τὴν ψυχήν σου ταῖς ἀρεταῖς, ἐγκρατείας ἐδείχθης Διδάσκαλος, καὶ



Digitized by Google

τῆς σεπτῆς, Ἀρχιερωσύνης Μυσταγωγὸς, τοῦ βίου Ὑποτύπωσις, καὶ τῆς Ἐκκλησίας φωταγωγὸς, καὶ Στήλη τῶν δογμάτων, αἱρέσεων τὴν πλάνην ἀδιαλείπτως στηλιτεύουσα.

Πεπλήρωκας τὸν δρόμον Πάτερ σοφὲ, καὶ τὴν πίστιν τετήρηκας ἄμεμπτον, καὶ εἰς Μονὰς, ἔφθασας καὶ λήξεις τῶν Οὐρανῶν. ἐν οἷς σοι καὶ ἀπόκειται, στέφανος καὶ δόξα τῶν ἀμοιβῶν. ἀλλὰ ταῖς σαῖς πρεσβείαις, οἰκτείρησον καὶ σῶσον, τῆς ἐπηρείας τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον.

Ὡραθης ὢ Παρθένε μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθὸς, ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαπ. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὀρθοδοξίας πρόμαχος, βάσις τῆς Ἐκκλησίας, Ἀρχιερέων ἔρεισμα, καὶ σοφὸς Ποιμενάρχης, Ἀμβρόσιε ἀνεδείχθης, πρὸς νομὰς εὐσεβείας, καθοδηγῶν τὸ ποίμνιον, ἀντιθάσους ὡς θῆρας, ἀποσοβῶν, κακοδόξων φάλαγγα θεοφάντωρ, τρανῶν τὸ ὁμοούσιον, τῆς ἁγίας Τριάδος. Θεοτ. Ὅμοιον.

Θαῦμα φρικτὸν Παράνυμφε, ὅτι τὸν πρὸ αἰώνων, ἐκ τοῦ Πατρὸς ἐκλάμψαντα, ὁμοούσιον Λόγον, γεγέννηκας ἀποῤῥήτως. ὅθεν σε Θεοτόκον, ὁμολογοῦμεν Δέσποινα, ἀληθῶς καὶ κυρίως, ὡς ἀληθῆ, τοῦ Θεοῦ μητέρα, ἐν ἐκδυσώπει, αὐτὸν Θεομακάριστε, ὑπὲρ γένους ἀνθρώπων.

Εἰς τὸν σ. τῶν αἴνων, ϛ. τῆς Ὀκτωήχου. Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ Η΄.

### Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παταπίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν σ. ϛ. καὶ ψάλλομεν Γ. προσόμοια. Ἦχος α.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

Πάτερ Παταπίε σαρκὸς, τὰς ὁρμὰς ἀσκήσεως, καταμαράνας πυρσεύμασιν, ἔρημον ᾤκησας, ὡς Ἠλίας πάλαι, τὸν νοῦν καθηράμενος, ἀπαύστοις πρὸς τὸ θεῖον ταῖς νεύσεσι, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Παταπίε χοροῖς, Ἀσκητῶν ἠρίθμησαι, τῇ ἀπαθείᾳ κοσμούμενος, καὶ κατεσκήνωσας, ἐν μοναῖς ὁσίαις, ἔνθα φῶς τὸ ἄδυτον, τὸ ξύλον τῆς ζωῆς ἔνθα πέφυκε. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Παταπίε φωστὴρ, ὡς ἐξ Αἰγύπτου ἔλαμψας, φωταγωγῶν τὴν ὑφήλιον, θαυμάτων λάμψεσι, ψυχοφθόρων νόσον, ἀπελαύνων ζόφωσιν, δαιμόνων ἐκμειῶν ἀμαυρότητα. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Πανύμνητε Δέσποινα ἐλπὶς, τῶν πιστῶν καὶ στήριγμα, καταφυγὴ καὶ βοήθεια, σὲ ἱκετεύομεν, ἐκ παντὸς κινδύνου τοὺς δούλους σου φύλαττε, τοὺς πίστει προσκυνοῦντας τὸν τόκον σου, αὐτῷ πρεσβεύουσα, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Σταυροθ. Ὅμοιον.

Τὸν ἴδιον ἄρνα ἡ Ἀμνὰς, καὶ ἄμωμος Δέσποινα, ἐν τῷ Σταυρῷ ὡς ἑώρακεν, εἶδος οὐκ ἔχοντα, οὐδὲ κάλλος, οἴμοι, θρηνῳδοῦσα ἔλεγε. ποῦ σου τὸ κάλλος ἔδυ γλυκύτατε; ποῦ ἡ εὐπρέπεια; ποῦ ἡ χάρις ἡ ἀστράπτουσα, τῆς μορφῆς σου, Υἱέ μου παμφίλτατε;

Εἰς τὸν σ. ϛ. τῆς Ὀκτωήχου.

Ἀπολυτίκιον τοῦ Ὁσίου. Ἦχος Πλ. δ΄.

Ἐν σοὶ Πάτερ ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα.

Καὶ Θεοτ. ἢ Σταυροθ. καὶ Ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. Κανὼν ὁ προεόρτιος, καὶ τοῦ Ἁγίου. Ὁ προεόρτιος.

Ὠδὴ α. Ἦχος β. Ὁ Εἱρμός.

„ Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ „ Θεῷ, τῷ διελόντι Θάλασσαν, καὶ ὁ„ δηγήσαντι, τὸν λαὸν ὃν ἀνήγαγε, δουλείας „ Αἰγυπτίων, ὅτι δεδόξασται.

Χαρᾶς ἡμῖν, σήμερον προκαταγγέλλονται, ταμεῖα διανοίγεσθαι, καὶ ἀποκλείεσθαι,

Digitized by Google

θαι, τῆς κατάρας αἱ λύπαι, ἐν τῇ θείᾳ συλλήψει, τῆς Θεομήτορος.

Ἄνθη τερπνὰ, σήμερον πιστοὶ δρεψάμενοι, ἐνθέων λόγων πλέξωμεν, τὸν προεόρτιον, στέφανον ἐγκωμίων, τὴν Παρθένον αἰνοῦντες, ἐν τῇ συλλήψει αὐτῆς.

Τοῦ Ὁσίου. Ἦχος καὶ Εἱρμὸς ὁ αὐτός.

Ῥώμην σοφὲ, καὶ θείαν δύναμιν ἄνωθεν, ἐκ βρέφους ἐνδυσάμενος, πρὸς τῆς ἀσκήσεως, τοὺς ἀγῶνας προθύμως, καὶ πόνους ἀπεδύσω, Πάτερ Πατάπιε.

Ἀποβαλὼν, ἅπασαν τὴν τῶν προσκαίρων ζωὴν, καὶ κόσμον ἀρνησάμενος, τὴν ὑπερκόσμιον, νῦν ἀπείληφας δόξαν, ἧς ἔτυχες ἀσκήσει, σοφὲ Πατάπιε.

Γάμος βροτῶν, σήμερον τῆς ἀναπλάσεως, μηνύματα εἰσδέχεται, καὶ ἀγγελία, τὰ τῆς υἱοθεσίας, ἐν τῇ σῇ παρ' ἐλπίδα, συλλήψει Ἄχραντε.

Ἕτερος Κανὼν τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Τοῦ φαιδροῦ σου βίου τὰ φαιδρὰ, μέλλων κατορθώματα, ἀνευφημεῖν, ἐκδυσωπῶ σε Ὅσιε, αἴγλην φωτοδότιδα, οὐρανόθεν μοι δωρηθῆναι ἱκέτευε, νέφος ἐκμειοῦσαν, τὸ τῆς ἀγνωσίας μου Πατάπιε.

Αἰγυπτίους πρὶν ὁ τῷ βυθῷ, κρύψας θείῳ νεύματι, ὡς ἐκ βυθοῦ, τῆς κοσμικῆς συγχύσεως, σὲ ἀναλαβόμενος, κατεφώτισε, θείαις ἐπιγνώσεσι, καὶ ὁλοκληρῆ σε ἔδειξεν, ἀστέρα Πάτερ Ὅσιε.

Τῆς σαρκὸς τὰ πάθη χαλινῷ, μάκαρ τῆς ἀσκήσεως, δουλαγωγῶν, τῆς ἀπαθείας ἔρωτι, ὤφθης καθαρώτατον, οἰκητήριον, τοῦ Θεοῦ διὰ πίστεως, καὶ χειμαζομένων εὔδιος, λιμὴν πάτερ Πατάπιε.

Θεοτοκίον.

Τῆς ἀρχαίας λυτρώσων ἀρᾶς, Κόσμον παρεχόμενος, ὁ Λυτρωτὴς, ἐκ σοῦ Παρθένε τίκτεται, ἄνθρωπος γενόμενος, ὁ τὸν ὅσιον, ἀναδείξας Πατάπιον, κρήνην ἰαμάτων, πᾶσι τοῖς πιστῶς αὐτῷ προστρέχουσιν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ „νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φό„βον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡ„μῶν τῶν ὑμνούντων σε.

Σαλπίσωμεν φαιδρῶς εὐσήμως σήμερον, ἐνθέως καλοῦντες τὴν κτίσιν πᾶσαν προεόρτιον εἰς αἴνεσιν, τῆς πανάγνου Μητρὸς θείας συλλήψεως.

Αἱ θεῖαι δωρεαὶ καὶ τὰ χαρίσματα, προτείνονται σήμερον τοῖς ἀνθρώποις, δηλουμένης τῆς συλλήψεως, τῆς αἰτίας τῶν ξένων χαρισμάτων Χριστοῦ.

Ὁ αὐτὸς, τοῦ Ὁσίου.

Νεάζον τῆς ψυχῆς τῷ τόνῳ ὅσιε, ἀρχαῖον πολέμιον διὰ πόνων, τῆς ἀσκήσεως κατέβαλες, καὶ τὰ τούτου διήλεγξας βουλεύματα.

Οἱ πόνοι σου σοφὲ τῶν ἀντιδόσεων, τὸν θεῖον ἀσφαλείας ἀρραβῶνα, τῶν θαυμάτων τὴν ἐπίλαμψιν, ἐν τῷ βίῳ παρέσχον σοι Πατάπιε. Θεοτοκίον.

Ἐλύθη τῶν βροτῶν ἡ πρώην στείρωσις, τῶν ἔργων τῶν ἐνθέων Θεοτόκε, ἐκ τῆς στείρας καὶ ἀγόνου μου, ἐπιλαμψάντων παρ' ἐλπίδα προελθούσης σου.

Ἄλλος τοῦ Ὁσίου. Ἐξήνθησεν ἡ ἔρημος.

Δακρύων ἀναβλύσεσι, καταρδεύσας ἄριστα, τὴν ψυχικήν σου αὔλακα, σῖτον θείων ἤνεγκας πράξεων, ἀποθήκαις ταῖς ἄνω συντηρούμενον.

Ἀγάπην ὁπλισάμενος, ὥσπερ ξίφος Ὅσιε, καὶ θυρεῷ σκεπόμενος, τῆς ἐνθέου νῦν ταπεινώσεως, τῶν δαιμόνων τὰ ξίφη ἐξηφάνισας.

Ἀσκήσεως λειμῶσι, καθάπερ κρῖνον ἤνθησας, εὐωδιάζον Ὅσιε, τὰς καρδίας τῶν ἀνυμνούντων σε, καὶ τελούντων σου πίστει τὸ μνημόσυνον. Θεοτοκίον.

Ἀγκάλαις ἐποχούμενος, τῆς Τεκούσης Κύριε, τὰ τῆς Αἰγύπτου εἴδωλα, δυναστείᾳ τῇ σῇ συνέτριψας. Ἐξ ἧς πλῆθος ὁσίων ἀνεβλάστησεν.

Κάθισμα τοῦ Ὁσίου. Ἦχος γ'.

Τὴν ὡραιότητα.

Πάθη τοῦ σώματος, θεομακάριστε, Πάτερ ἐξήρανας, δακρύων ῥεύμασι, καὶ ἰαμάτων ποταμοὺς, Πατάπιε ἀνέβλυσας. Ὅθεν



Digitized by Google

θεν προσερχόμενοι, τῷ τιμίῳ λειψάνῳ σου, χάριν τε καὶ ἔλεος, προφανῶς ἀρυόμεθα, τιμῶντές σου τὴν μνήμην ἀξίως, πίστει θερμῇ θεομακάριστε.

Δόξα. Ἕτερον τοῦ Ὁσίου. Ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Τὴν πτωχείαν τοῦ Λόγου τοῦ δι' ἡμᾶς, ἐκ Παρθένου τεχθέντος ἀναλαβών, ἡγήσω τὰ πρόσκαιρα, ὡσεὶ χόρτον μακάριε. τοῦ γνωστικοῦ γὰρ ξύλου, γευσάμενος Ὅσιε, τῶν Μοναστῶν ἐδείχθης, διδάσκαλος ἔνθεος. ὅθεν καὶ πρὸς δῆλον, ἀγγελικῆς πολιτείας, διήγειρας ἅπαντας, τοῖς ἐνθέοις λόγοις σου, θεοφόρε Πατάπιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. προεόρτιον. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ἡ πύλη ἡ ἄβατος, νῦν ἀποτίθεται. ἡ Πόλις ἡ πάμφωτος, λάμψαι προέρχεται. ἡ μόνη παράδεισος, σήμερον δι' Ἀγγέλου, τοῖς δικαίοις δηλοῦται. ὅθεν ἐν εὐφροσύνῃ, ἀνεβόων τῷ Κτίσῃ. καρπὸν ἡμῖν δώρησαι, τὴν ἀφθαρσίας πηγήν.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„Εἰσακήκοα Κύριε, τὴν ἀκοήν, τῆς σῆς „οἰκονομίας, καὶ ἐδόξασά σε, μόνε φι„λάνθρωπε.

Ἱλαρώτατα σήμερον, περιχαρῶς, ἡ κτίσις Θεοτόκε. προεόρτιόν σοι, ᾄδει τὴν αἴνεσιν.

Ἀγαλλιᾷ αἰθριάζεται, ὁ Οὐρανός, Παρθένε εὐφροσύνην, τὴν σὴν προκηρύττων, ἀνθρώποις σύλληψιν.

Ὁ αὐτὸς τοῦ Ὁσίου.

Ἐν τοῖς ὅπλοις Πατάπιε, τοῖς τοῦ φωτός, ἐχθροὺς τοὺς ἀοράτους, ἐκπλήξας καθεῖλες, καὶ ἀπενέκρωσας.

Ἱδρωθεὶς ἐπὶ ἄσειστον, πέτραν σοφέ, ἀσκήσεως καὶ πόνων, ἐχθρῶν τρικυμίαις οὐ καταβέβλησαι. Θεοτοκίον.

Ὡς ἀρχὴν εὐφροσύνης νῦν, τῆς πρὸς Θεόν, τὴν σύλληψίν σου Κόρη, ἡ ἀνθρώπων φύσις σήμερον δέχεται.

Ἄλλος τοῦ Ὁσίου. Ἐλήλυθας, ἐκ Παρθένου.

Ἡ ἄβυσσος, τῶν θερμῶν σου δακρύων κατέκλυσε, δαιμόνων στρατεύματα, καὶ ἁμαρτίας οἰδήματα, πέλαγος θαυμάτων δέ, τοῖς ἐν βυθῷ παθημάτων ἀναδέδεικται.

Νεκρώσας τὴν ἀπείρωσιν, ἀγρυπνίαν καὶ σύντομον δέησιν, ἀγάπην ἀθόλωτον, πίστιν ἐλπίδα κτησάμενος, γέγονας συνόμιλος, ἐπουρανίων Ἀγγέλων Πάτερ Ὅσιε.

Ἐκοίμισας, ἡδονῶν πολυμόρφων τὰ κύματα, θείαις ἀναβάσεσι, καὶ ἀνενδότοις καθάρσεσιν. ὅθεν πρὸς ἀνέσπερον, μετὰ τὴν κοίμησιν φέγγος ἐξεδήμησας.

Ἐξέλαμψας, ἐκ Παρθένου νεφέλης ὁ Ἥλιος, ἀστέρας αὐγάζοντας, ἀποδεικνὺς τοὺς ὁσίους σου, Κόσμῳ καὶ τοῖς πάθεσιν, ἐσταυρωμένους οἰκτίρμων τῇ δυνάμει σου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων „ποιητὴς Κύριε, ἐν τῷ φωτί, τῶν „σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς. ἐκ„τός σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Χαρᾶς πληροῦται ἡ γῆ, καὶ εὐφροσύνην νῦν τὴν δέχονται, οἱ γηγενεῖς, ἐν τῇ σῇ συλλήψει, Θεόνυμφε ἁγνή, ἣν προεορτάζοντες, πόθῳ ὑμνοῦμέν σε.

Ῥωμαλέως ἡ φύσις ἡμῶν, ἡ ἀθυμήσασα τὸ πρὶν δέχεται, καὶ ἀρετῶν, θείας ἐμφορίας, λαμβάνει ἀπαρχήν, ἐν τῇ παρ' ἐλπίδα, συλλήψει σου ἄχραντε.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἰδεῖν τὴν δόξαν Θεοῦ, τῆς διανοίας ὀφθαλμοῖς Ὅσιε, ἐπιποθῶν, τὰ τερπνὰ τοῦ Κόσμου, παρεῖδες ὡς φθαρτά, καὶ τῶν ποθουμένων, ἐπέτυχες Ὅσιε.

Σταυρὸν ἐπ' ὤμων λαβών, καὶ τῷ Χριστῷ ἀκολουθῶν Ὅσιε, εἰς τὰ τῆς γῆς, πέρατα διῆλθες, ἐλαύνων ἐξ αὐτῆς, τὰ τῶν πολεμίων, δαιμόνων συστήματα. Θεοτ.

Ῥεῖθρα πηγάζεις ἡμῖν, τὰ προεόρτια ἁγνὴ σήμερον, τῶν μητρῶν, χαρίτων σου ἅπερ, ἀντλοῦντες δαψιλῶς, σὲ ὑμνολογοῦμεν, καὶ πόθῳ δοξάζομεν.

Ἄλλος τοῦ Ὁσίου. Ὁ αὐτός.

Ὁ φωτισμός, τῶν ἐν σκότει κειμένων λάμ-

ψον

Digitized by Google

ψόν μοι αἴγλην, θείαις τοῦ Ὁσίου ἱκεσίαις. λῦσον τὰ νέφη τῆς ἀθλίας ψυχῆς μου. ὄμβρισόν μοι ῥεῖθρα ἀφέσεως. ἄλλον γὰρ ἐκτός σου, Θεὸν οὐκ ἐπίσταμαι.

Λύμης παθῶν, ἐκκαθάρας τὸ ὄμμα τῆς διανοίας, Πάτερ θεοφόρε, δι' ἐγκρατείας, θεία ἐντεύξει σὺ διήνοιξας κόρας, πυρωθείσας καὶ διεσκέδασας, φέγγει ἰαμάτων δεινὴν ἀμαυρότητα.

Ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος πᾶσαν, ἄφθονον χάριν, δεῦτε ἐξαντλήσωμεν ὡς ἐκ κρήνης, τῆς θείας θήκης τοῦ σοφοῦ Παταπίου. θαύματα γὰρ βρύει ὡς νάματα, πίστει τοῖς αὐτῷ, ἀδιστάκτως προστρέχουσιν. Θεοτοκίον.

Τὸν χορηγὸν, τῆς ζωῆς τῶν ἁπάντων τὸν συνοχέα, τέτοκας ἀῤῥήτῳ κυοφορίᾳ, τὸν ἐν Ἁγίοις δοξαζόμενον Κόρη, καὶ Ὁσίοις ἐναπαυόμενον, ὃν ὑπὲρ ἡμῶν, ἐκδυσώπει Θεόνυμφε. Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

„Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, „τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχ„νίας σου, ἐπικαλοῦμαι ἄβυσσον· ἐκ φθο„ρᾶς ὁ Θεός με ἀνάγαγε.

Τῆς βροτῶν σωτηρίας προοίμια, σήμερον μηνύονται, καὶ καταβάλλονται, ἐν τοῖς προεορτάζουσι, τῆς ἁγνῆς καὶ Παρθένου τὴν σύλληψιν.

Ὁ τῇ Ἄννῃ κηρύξας τὴν σύλληψιν, τῆς ὑπεραμώμου Παρθένου μηνύματι, κοινῆς χαρᾶς παρέσχετο, καὶ καλῶν εὐφορίαν τῷ γένει ἡμῶν. Ὁ αὐτὸς, τοῦ Ὁσίου.

Συνετρίβη τὰ βέλη Παταπιε, τὰ κατὰ τῆς σῆς πεμπόμενα στεῤῥότητος, καὶ νικητὴς ἀνεδείχθης, τὸν ἀεὶ πολεμήτορα σεμνὲ μείνας.

Θαυμασίοις Θεός σε ἐδόξασεν, ὡς ὑπερδοξάσαντα, τοῦτον τοῖς ἔργοις σου, τοῖς θαυμαστοῖς Παταπιε. διὰ τοῦτό σε πάντες γεραίρομεν. Θεοτοκίον.

Τηγενεῖς προεόρτιον αἴνεσιν, σήμερον σοὶ πλέκουσι, Θεοχαρίτωτε, καὶ τὴν σεπτήν σου σύλληψιν, ὡς χαρᾶς εὐαγγέλια δέχονται. Ὁ αὐτὸς, τοῦ Ὁσίου.

Φανωτάταις τὸν νοῦν ἐλλαμπόμενος, Πάτερ ἀναβάσεσι, καθάπερ ἄσαρκος, μετὰ σαρκὸς ἐβίωσας, μὴ βραχεῖς ἁμαρτίαις Παταπιε.

Ἡλιοῦ τὸν Θεσβίτην μιμούμενος, καὶ ἴχνηλατῶν Ἰωάννην τὸν Πρόδρομον, ἔρημον πεῖν κατῴκησας, ἡσυχίᾳ τὸν νοῦν καθαιρόμενος.

Ἐξ Αἰγύπτου φωστὴρ διαυγέστατος, τὴν Κωνσταντινούπολιν, φέγγει ἰάσεων καταφωτίζων ἤστραψας, φαεινότατε Πάτερ Παταπιε. Θεοτοκίον.

Ἐπὶ κούφης νεφέλης καθήμενος, πάλαι αἰγυπτίοις, Χριστὸς ἐπεδήμησε. καὶ καθελὼν τὰ εἴδωλα, τῶν Ὁσίων χοροὺς ἐπεσπάσατο.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Τὸν ναόν σου ἅγιε, πνευματικὸν ἰατρεῖον οἱ λαοὶ εὑράμενοι, μετὰ σπουδῆς προσιόντες, ἴασιν τῶν νοσημάτων λαβεῖν αἰτοῦνται, λύσιν τε τῶν ἐν τῷ βίῳ πλημμελημάτων. σὺ γὰρ πάντων τῶν ἐν ἀνάγκαις, προστάτης ὤφθης Παταπιε Ὅσιε. Ὁ Οἶκος.

Ἡ σορός σου Σοφὲ πᾶσι βρύει ἰάματα. ἐξ ὧν πάντες πιστοὶ ἀρυόμενοι, σώζονται ἐκ νόσων πολλῶν, ψυχῶν καὶ σωμάτων, ὧν περ ὁ τάλας ἐγὼ πεπείρασμαι ῥυσθεὶς τῶν θλιβόντων με. καὶ διὰ τοῦτο τὴν σὴν ἀντίληψιν μου ἀναφημῶ, καὶ διηγοῦμαι τρανῶς, πῶς ἐπιφθάνεις τοὺς ἐν ἀνάγκαις, καὶ ἐκλυτροῦσαι πειρασμῶν τοὺς προσιόντας σοι θερμῶς. Διὸ δίδου ἰσχύν μοι ἀνυμνεῖν σε. Σὺ γὰρ πάντων τῶν ἐν ἀνάγκαις, προστάτης ὤφθης Παταπιε Ὅσιε.

Τῷ αὐτῷ Μηνὶ Η'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παταπίου.

Στίχ. Φθαρτὸν λελοιπὼς Παταπιε γῆς πάτον, Πατεῖς ὅπου πατοῦσι πραέων πόδες.

Ὀγδοάτῃ Παταπιε χλόης πέδον ἀμφεπάτησας.

Οὗτος ἐκ Θηβῶν τῶν κατ' Αἴγυπτον ὁρμώμενος, τὸν μονήρη βίον ἐπαγγελόμενος, τῷ Χριστῷ ἠκολούθησε. καὶ πολλοὺς χρόνους ἐν ἐρήμῳ ἀσκήσας, εἶτα ἐν Κωνσταντινουπόλει ἐλθὼν, πλεῖστα κατειργάσατο θαύματα, τυφλοὺς ὀμματώσας, καὶ ὑδεριῶντας, διὰ χρίσεως ἁγίου Ἐλαίου ἰασάμενος,



Digitized by Google

μενος, καὶ δαίμονας ἐλάσας, καὶ καρκίνον θεραπεύσας, ἐν εἰρήνῃ τῷ Κυρίῳ τὸ ἑαυτοῦ παρέθετο πνεῦμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Ἀποστόλων ἐκ τῶν ἑβδομήκοντα, Σωσθένους, Ἀπολλῶ, Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου, Καίσαρος, καὶ Ὀνησιφόρου.

Στ. Ἀποστόλους σήμερον ἑπτὰ γεραίρω, Ὡς γενναίους κήρυκας τοῦ Θεοῦ Λόγου.

Τούτων ὁ μὲν Σωσθένης, οὗ καὶ ὁ ἅγιος Παῦλος μέμνηται, Ἐπίσκοπος Κολοφῶνος ἐγένετο. Ὁ δὲ Ἀπολλῶς, οὗ τινος καὶ αὐτοῦ ὁ Ἀπόστολος μέμνηται, δεύτερος Ἐπίσκοπος Κολοφῶνος μετὰ Σωσθένην ἐγένετο. Ὁ δὲ Ἐπαφρόδιτος, οὗ τινος καὶ αὐτοῦ ὁ Ἀπόστολος μέμνηται, Ἐπίσκοπος Κολώνης ἐγένετο. Ὁ δὲ Ὀνησίφορος, Ἐπίσκοπος Καισαρείας ἐγένετο. Οὗτοι πάντες καλῶς πολιτευσάμενοι, καὶ ὁσίως ποιμάναντες καὶ κυβερνήσαντες τὰς λαχούσας αὐτοῖς Ἐκκλησίας, καὶ τὸν λαόν, καὶ πολλοὺς πειρασμοὺς ὑπομείναντες ὑπὲρ Χριστοῦ, ὑπὸ τῶν εἰδωλολατρῶν ἐτελειώθησαν, παραδόντες τὰς ψυχὰς ἑαυτῶν τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σωφρονίου Ἐπισκόπου Κύπρου.

Στ. Πᾶν Σωφρόνιος σαρκικὸν σβέσας πάθος, Καὶ σαρκὸς αὐτῆς ἐναπέπτη πηλίνης.

Οὗτος ἦν γέννημα καὶ θρέμμα τῆς αὐτῆς Νήσου, Χριστιανῶν καὶ εὐσεβῶν γονέων υἱός. Ἦν δὲ διὰ ὀξύτητα νοὸς καὶ εὐφυΐαν, πολυμαθής, ἀναγνοὺς ἐπιμελῶς πᾶσαν τὴν θείαν γραφήν. Τοσοῦτον δὲ γέγονεν ἐνάρετος, ὡς καὶ μεγάλων θαυμάτων ἀξιωθῆναι, καὶ πολλὰ θαύματα ποιῆσαι. Διὸ καὶ μετὰ θάνατον Δαμιανοῦ τοῦ ἁγιωτάτου Ἐπισκόπου Κύπρου ὑπὸ τοῦ λαοῦ παντὸς καὶ τῶν Ἐπισκόπων προχειρίζεται Ἐπίσκοπος. Ὃς μετὰ τοῦτο, πενήτων ἐγένετο τροφεύς, ὀρφανῶν ἀντιλήπτωρ, χηρῶν προστάτης, ἀδικουμένων βοηθός, καὶ γυμνῶν σκέπη, καὶ μετὰ τούτους καὶ τοιούτους ἀγῶνας, πρὸς Θεὸν ἐν εἰρήνῃ ἐξεδήμησεν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεειρὰ λατρευομένης, οἱ τρεῖς σου παῖδες κατεπάτησαν, ἀθεωτάτου προστάγματος. μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ χάρις Θεοῦ, τὰ προοίμια αὐτῆς ἐν τῇ συλλήψει, τῆς Παναχράντου καταβάλλεται, τῇ ἀνθρωπότητι σήμερον. ἣν προεορτάζοντες πόθῳ, ἀναβοῶμεν καὶ λέγομεν. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Πνεῖ πρόσφορον νῦν, εὐωδίαν νοητὴν ἡ τῆς Παναγνου, προδιαπνέει θεία σύλληψις, καὶ εὐοδεῖ ἐν τῇ χάριτι, τοὺς προεορτάζοντας ταύτην, καὶ βοῶντας καὶ λέγοντας. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἰλύος παθῶν, τῆς ψυχῆς τὸ διαυγὲς ἀποκαθάρας, ἔσοπτρον θείων ἐπιλάμψεων ταύτην ἐποίησας Ὅσιε. ὅθεν μυστικῆς θεωρίας, ἐναπολαύων ἐκραύγαζες. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τυφλοὺς ὀμμάτων, συνεργείᾳ θεϊκῇ θεομακάριστε, πάθη ποικίλα ἐθεράπευσας, καὶ θεϊκαῖς ἐπικλήσεσι, στίφη πονηρὰ τῶν δαιμόνων, ἀναμέλπων ἀπήλασας. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἱδρύεται νῦν, ἐπὶ πέτραν νοητὴν βροτῶν ἡ φύσις, τῆς τοῦ Δεσπότου ἐπιγνώσεως, καὶ θείας φύσεως Ἄχραντε, ἐν τῇ παρ' ἐλπίδα συλλήψει, καὶ προκηρύττουσα μέλπει νῦν. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Πυρὶ νοητῷ, ἀναφλέξας τῆς ψυχῆς τὰ αἰσθητήρια, πῦρ ἁμαρτίας ἀπετέφρωσας, τῇ συνεργείᾳ τοῦ Πνεύματος, καὶ φωτοειδὴς καθωράθης, ἀναμέλπων Πατάπιε. Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θαυμάτων βυθός, ἰαμάτων Ποταμὸς Κρήνη ἀένναος, ῥεῖθρον μηδ' ὅλως δαπανώμενον, σοῦ ἡ προσευχὴ ἀναδέδεικται, Πάτερ τοῖς πιστῶς προσιοῦσι, καὶ θερμῶς ἀνακράζουσιν·

Digitized by Google

ζουσιν. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοῖ με ἐκ σοῦ, ὁ ὑπέρθεος Ἁγνὴ δούλου μορφὴν ὑποδύς. καινοτομεῖ δὲ τρίβους γνώσεως, ὥσπερ τοὺς νόμους τῆς φύσεως, πλήθη μοναστῶν καὶ ὁσίων, ἐπαγόμενος ψάλλοντα. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραί-
„ων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν
„φλόγα εἰς δρόσον, μεταβαλόντα Θεὸν,
„ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦ-
„τε, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς ἀκαρπίας ὁ βλαστὸς, εὐθηνίαν ἀγαθῶν προκαταγγέλλει, τῶν ἀνθρώπων τῷ γένει, ἐν τῇ βλαστήσει αὐτοῦ, καὶ πάντας εἰς τὴν προεόρτιον, αὐτοῦ συγκαλεῖται, ἀνθρώπους εὐφροσύνην.

Αἱ ἐκφυεῖσαι τοῖς βροτοῖς, τῆς κατάρας ἐν Ἐδὲμ τῇ παραβάσει, ἀνελκύεσθαι ῥίζαι, σαφῶς μηνύονται νῦν, τῆς ῥάβδου δηλουμένης ἅπασι, τῆς εὐλογίας, φύεσθαι ἐν τῷ κόσμῳ. Ὁ αὐτὸς, τοῦ Ὁσίου.

Σὺ τῶν παθῶν τὰς προσβολὰς, ὡς νικήσας τῆς σαρκὸς καὶ τοὺς πολέμους, ἐκ Θεοῦ θείαν χάριν, εἰσδέδεξαι ὡς εἰκὸς, ἰᾶσθαι πάθη τὰ ἀνίατα. ὅθεν σε τιμῶμεν, Πατάπιε τρισμάκαρ.

Πάντα ποιῶν σεμνοπρεπῶς, ὦ Πατάπιε σοφὲ εἰς Θεοῦ δόξαν, πάντα πόνον κουφίζεις, πάντων πασχόντων σαφῶς, διό σε πάντες πιστοὶ ὅσιε, ὕμνοις εὐφημοῦμεν, ὡς τοῦ Δεσπότου φίλον. Θεοτ.

Οἱ πεποιθότες ἐπὶ σοὶ, καὶ καυχώμενοι ἀεὶ Θεοκυῆτορ, τὴν σὴν πόθῳ τιμῶμεν, σύλληψιν θείαν πιστῶς, ὑμνοῦντες, ἀπαύστως τὸν Κύριον, καὶ ὑπερυψοῦντες, αὐτὸν εἰς τοὺς αἰῶνας. Ὁ αὐτὸς, τοῦ Ὁσίου.

Ἀποκαθάρας σεαυτὸν, τῆς ἰλύος τῶν παθῶν δι' ἐμμελείας, τηλαυγέστατον ὤφθης, πάτερ δοχεῖον Θεοῦ. κραυγάζων, ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ταῖς πρὸς τὸν Κύριον εὐχαῖς, ἀποκάθαρον ἡμᾶς πάσης κηλῖδος. τῇ θερμῇ σου πρεσβείᾳ, ἐκ τρικυμίας παθῶν, καὶ νόσων καὶ θλίψεων λύτρωσαι, τοὺς σὲ κατ' ἀξίαν, Πατάπιε τιμῶντας.

Οἰκονομήσας σεαυτοῦ, τὴν ζωὴν θεοπρεπῶς ὅσιε πάτερ, οἰκονόμος ἐδείχθης, διακονήσας καλῶς, ταῖς χρείαις τῶν ἁγίων Ὅσιε. μεθ' ὧν ἠξιώθης, τῆς ἄνω κληρουχίας. Θεοτοκίον.

Ἡ οὐρανώσασα ἡμῶν, τὴν γεώδη καὶ φθαρτὴν Ἁγνὴ οὐσίαν, τῶν Ἀγγέλων ἡ δόξα, καὶ τῶν Ὁσίων χαρὰ, ἡ μόνη, τῶν κτισμάτων Δέσποινα, ὡς Θεὸν τεκοῦσα, ὑμνείσθω εἰς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Τὸν ἐκ Θεοῦ Θεὸν λόγον, τὸν ἀρρήτῳ
„σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀ-
„δὰμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς,
„ἐξ ἁγίας Παρθένου, ἀφράστως σωματού-
„μενον Θεὸν, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕ-
„μνοις μεγαλύνομεν.

Ὑπερφυεῖς ὡς ἀκτῖνας, προανίσχει τῷ κόσμῳ, ἡ σύλληψίς σου πάνσεμνε ἁγνὴ, τὰς νοουμένας τῆς χάριτος, καὶ λαμπρύνει τοὺς πόθῳ, ἐν ταύτῃ προεόρτιον ᾠδὴν, τῷ Δεσπότῃ τῶν ὅλων, ἐν πίστει ἀναμέλποντας.

Αἴσιν στειρώσεως Ἄννα, δεχομένη μηνύει, βροτοῖς τὴν εὐφορίαν τῶν καλῶν, καὶ ἀκαρπίαν τῆς φύσεως, καὶ κηλῶν πᾶσαν κτίσιν ἐν τῇ συλλήψει ἄξαντε ἁγνὴ προεόρτια δῶρα, προσάξαι σοι τὴν αἴνεσιν. Τοῦ Ὁσίου, ὁ αὐτός.

Ἀπαῤῥυσάμενος πάτερ, ἐκ πηγῆς ἀενάου τοῦ Πνεύματος τὴν χάριν δαψιλῶς τῶν ἰαμάτων Πατάπιε, ταύτην πᾶσιν ἀφθόνως, παρέχεις τοῖς τὴν μνήμην σου, πιστῶς ἐκτελοῦσι καὶ πόθῳ, τὸν κτίστην μεγαλύνουσι.

Σὺν Ἀποστόλοις χορεύων, σὺν Μαρτύρων τοῖς δήμοις, Ὁσίων τε τοῖς πλήθεσι σοφὲ, ἐν οὐρανίαις Πατάπιε, νῦν σκηναῖς ὑπὲρ πάντων, ἱκέτευε τὸν κτίστην καὶ Θεὸν, τῶν πιστῶς ἐκτελούντων, τὴν σεβασμίαν μνήμην σου. Θεοτοκίον.

Ὑπερχυθεῖσα ἡ χάρις, τῆς Χριστοῦ εὐσπλαγχνίας, εἰς πάντας τοὺς ἀνθρώ-

τους

Digitized by Google

πους βαψιλῶς, σὲ μεσιτείαν παρέσχετο, τῶν αὐτοῦ δωρημάτων, τὴν πρόξενον ἁπάντων τῶν καλῶν. διὰ τοῦτό σε πίστει, καὶ πόθῳ μακαρίζομεν.

Ἄλλος τοῦ Ὁσίου. Ἀμάρχου γεννήτορος.

Ἡμέρα σωτήριος, ἡ μνήμη σου ἐπέλαμψε, τὰς ἐν σκότει καρδίας, καταφωτίζουσα, λύουσα παθῶν τὴν ὁμίχλην, υἱοὺς φωτὸς, δεικνύουσα Πάτερ, τοὺς σὲ νῦν γεραίροντας, τοῦ Κυρίου τὸν θεράποντα.

Θηβαίων τὸ καύχημα, τὸ τῆς ἐρήμου βλάστημα, μοναζόντων τὸ κλέος, καὶ τὴν εὐπρέπειαν, τὸν τῆς Βαπτίδος φωστῆρα, τὸν ἐπὶ γῆς, Ἄγγελον φανέντα, Πατάπιον ἅπαντες, ἐπαξίως μακαρίσωμεν.

Ἀγγέλων ἐφάμιλλος, Ὁσίων ἰσοστάσιος, Προφητῶν Ἀποστόλων, Μαρτύρων Ἱεραρχῶν, Ὁσίων συμμέτοχος πέλων, καὶ τῇ σεπτῇ, Τριάδι λατρεύων, ναὸς καθαρότητι, ὑπὲρ πάντων ἡμῶν πρέσβευε. Θτ.

Τὸ μέγα Μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει Ἀγγέλους, Θεοχαρίτωτε, θέλγει τῶν Ὁσίων τὸν τὸν δῆμον, τοὺς Ἱεροὺς, εὐφραίνει Πατέρας, ἐνθέως ὑμνοῦντάς σε, Θεοτόκε ἀπειρόγαμε.

Ἐξαποστειλάριον, πρὸς,

Τοῖς μαθηταῖς συνέλθωμεν.

Πατάξας τὸν αἰγύπτιον, καὶ ἀσύριον ἄρδην, νῦν τῶν παθῶν Πατάπιε, τῷ Χριστῷ θεοφόρε, κατηκολούθησας χαίρων, τὸν σταυρόν σου βαστάζων, τοῦ Ἠλιοῦ δὲ Κάρμηλον, εἰκονίζων σὺ Πάτερ, ἀσκητικῶς, τὰς ἐρήμους ᾤκησας καὶ πρὸς ὕψος, τῆς ἀπαθείας ἔφθασας, συγκραθεὶς τῇ Τριάδι. Θεοτοκίον.

Λόγου Θεοῦ μητέρα σε, ἀνυμνοῦμεν σὺν πόθῳ, ἐν θεοπνεύστοις ᾄσμασι, Παναγίας Παρθένε, οἱ διὰ σοῦ σεσωσμένοι. μέμνησο οὖν Θεοτόκε, τοῖς ἀναξίοις δούλοις σου, ἱλασμὸν καὶ εἰρήνην, καὶ φωτισμόν. ὅσα γὰρ θέλεις δύνασαι καὶ ἰσχύεις, ὡς πάντων οὖσα Δέσποινα, ὑπερένδοξε Κόρη.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ Θ΄.

Ἡ σύλληψις τῆς Ἁγίας Ἄννης, τῆς Μητρὸς τῆς Θεοτόκου, καὶ ἡ ἀνάμνησις τῶν Ἐγκαινίων.

Εἰς τὸ λυχνικὸν, ἡ συνήθης στιχολογία. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ϛ΄. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Καρπογονοῦσα ἡ στεῖρα παρ᾽ ἐλπίδα, Παρθένον τὴν μέλλουσαν, τίκτειν Θεὸν ἐν σαρκὶ, ἀγαλλιάσει φαιδρύνεται, χορεύει χαίρει, μεγαλοφώνως Ἄννα κραυγάζουσα, φυλαί μοι συγχαίρητε, ἅπασαι τοῦ Ἰσραὴλ, κυοφορῶ καὶ τὸ ὄνειδος, τῆς ἀπαιδίας, ἐναποτίθεμαι ὡς ηὐδόκησεν, ὁ εὐεργέτης, ἐπακούσας μου, τῆς προσευχῆς καὶ κατώδυνον, θεραπεύσας καρδίαν, δι᾽ ὠδίνων ὡς ὑπέσχετο.

Ὁ ἐξ ἀνίκμου πηγάσας ὕδωρ πέτρας, καρπὸν τῇ κοιλίᾳ σου, Ἄννα χαρίζεται, τὴν Ἀειπάρθενον Δέσποιναν. ἐξ ἧς τὸ ὕδωρ, τῆς σωτηρίας μέλλει προέρχεσθαι. οὐκέτι ὡς ἄκαρπος, γῆ παροικεῖς ἐπὶ γῆς. ὀνειδισμοῦ ἠλλοτρίωσαι. γῆν γὰρ βλαστήσεις, καρποφοροῦσαν ζωῆς τὸν ἄσταχυν, τὸν τὰ ὀνείδη, ἀφαιρούμενον, πάντων βροτῶν ὡς ηὐδόκησε, διὰ σπλάγχνα ἐλέους, μορφωθῆναι τὸ ἀλλότριον. Ὅμοιον.

Τῶν Προφητῶν αἱ προῤῥήσεις ἐκπληροῦνται. Ὄρος γὰρ τὸ ἅγιον, λαγόσιν ἵδρυται. Κλίμαξ ἡ θεία φυτεύεται. Θρόνος ὁ μέγας, τοῦ Βασιλέως προετοιμάζεται. τόποις εὐτρεπίζεται ὁ θεοβάδιστος. Βάτος ἡ ἄφλεκτος ἄρχεται, ἀναβλαστάνειν, ἡ μυροθήκη τοῦ ἁγιάσματος, ἤδη πηγάζει τῆς στειρώσεως, τοὺς Ποταμοὺς ἀναστέλλουσα, τῆς Θεόφρονος Ἄννης. Ἣν ἐν πίστει μακαρίσωμεν.

Καὶ τῶν Ἐγκαινίων, γ΄. Ἦχος Πλ. β΄.

Αἱ Ἀγγελικαί.

Δέσποτα Χριστὲ, ἡ ἀθάνατος σοφία, βλέμματι τῷ σῷ, ἐπιφοίτησον ἐξ ὕψους, ἐν τούτῳ τῷ Τεμένει, καὶ ἀσάλευτον φύ-

Digitized by Google

φύλαξον, ἕως συντελείας τοῦ αἰῶνος. τοὺς δὲ πιστῶς Χριστὲ ἐν τούτῳ, ἀεὶ προστρέχοντας, τοῦ ἀπροσίτου φωτὸς, ἀξίωσον εὔσπλαγχνε. Ὅμοιον.

Πάλαι Σολομὼν, τὸν ναὸν οἰκοδομήσας, αἵματα ζώων, εἰς θυσίαν σοι προσῆγεν, εἰς τύπον τοῦ ναοῦ σου, ὃ ἐκτήσω φιλάνθρωπε, τῷ ἰδίῳ αἵματι βουλήσει. μεθ' οὗ καὶ νῦν σε δυσωποῦμεν, τὸν μόνον εὔσπλαγχνον, ὅπως τὸ Πνεῦμα τὸ εὐθὲς, πέμψῃς ἐν τούτῳ ἀεί. Ὅμοιον.

Δεῦτε ἀδελφοὶ, εὐφρανθῶμεν φιλεόρτως, καὶ πνευματικὴν, συστησώμεθα χορείαν, ψυχῆς δὲ τὴν λαμπάδα, τῷ ἐλέῳ φαιδρύνωμεν. οὕτω γὰρ ἐγκαίνια τιμᾶνται. οὕτω δοξάζεται ὁ κτίστης. ᾧ πάντες ἄνθρωποι, ἀνακαινίζονται ψυχὴν, πρὸς ὕψος οὐράνιον.

Δόξα. τῶν Ἐγκαινίων. Ἦχος Πλ. β'.

Τὴν μνήμην τῶν Ἐγκαινίων ἐπιτελοῦντες Κύριε, σὲ τὸν τοῦ ἁγιασμοῦ δοτῆρα, δοξάζοντες δεόμεθα, ἁγιασθῆναι ἡμῶν, τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.

Καὶ νῦν. Ἦχος α'. Γερμανοῦ.

Τὸ ἀπόρρητον τοῖς Ἀγγέλοις, καὶ ἀνθρώποις μεγαλεῖον, καὶ ἀπ' αἰῶνος, χρησμοδοτούμενον μυστήριον παράδοξον, σήμερον ἐν ταῖς λαγόσι τῆς σώφρονος Ἄννης βρεφουργεῖται, Μαρία ἡ θεόπαις, ἑτοιμαζομένη εἰς κατοικίαν, τοῦ παμβασιλέως τῶν αἰώνων, καὶ εἰς ἀνάπλασιν τοῦ γένους ἡμῶν. ἣν ἐν καθαρῷ συνειδότι καθικετεύσωμεν, ἀναβοῶντες πρὸς αὐτήν. πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, ὡς προστασία ὑπάρχουσα ἡμῶν τῶν χριστιανῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν σ. σ. προσόμοια. Ἦχος Πλ. α'.

Χαίροις ἀσκητικῶν.

Ἄννα ἡ θεία χάρις ποτὲ, προσευχομένη ὑπὲρ τέκνου ἐβόησε, τῷ πάντων Θεῷ καὶ κτίστῃ, Ἀδωναῒ Σαβαὼθ, τὸ τῆς ἀπαιδίας οἶδας ὄνειδος. αὐτὸς τὴν ὀδύνην μου, τῆς καρδίας διάλυσον, καὶ τοὺς τὰς μήτρας, καταρράκτας διάνοιξον, καὶ τὴν ἄκαρπον, καρποφόρον ἀνάδειξον. ὅπως τὸ γεννησόμενον, δῶρόν σοι προσάξωμεν, ἐπευλογοῦντες ὑμνοῦντες, καὶ ὁμοφρόνως δοξάζοντες, τὴν σὴν εὐσπλαγχνίαν, δι' ἧς δίδοται τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Στ. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν.

Πάλαι προσευχομένη πιστῶς, Ἄννα ἡ σώφρων καὶ Θεῷ ἱκετεύουσα, Ἀγγέλου φωνῆς ἀκούει, προσβεβαιοῦντος αὐτῇ, τὴν τῶν αἰτουμένων θείαν ἔκβασιν. πρὸς ἣν ὁ ἀσώματος, ἐμφανῶς διελέγετο. ἡ δέησίς σου, πρὸς τὸν Κύριον ἤγγισε. μὴ σκυθρώπαζε, τῶν δακρύων ἀπόστηθι. εὔκαρπος χρηματίσας γὰρ, Ἐλαία βλαστάνουσα, κλάδον ὡραῖον Παρθένον. ἥτις τὸ ἄνθος ἀνθήσει, Χριστὸν κατὰ σάρκα, παρεχόμενον τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Στίχ. Ἐκ καρποῦ τῆς κοιλίας σου.

Ζεῦγος καρπογονεῖ τὸ σεπτὸν, τὴν θείαν Δάμαλιν ἐξ ἧς προελεύσεται, ὁ Μόσχος ἀρρήτῳ λόγῳ, ὁ σιτευτὸς ἀληθῶς, ὑπὲρ ὅλου Κόσμου προθυόμενος. διὸ γεγηθότες, ἐξομολόγησιν ἄπαυστον, ἐν καταμύξει, τῷ Κυρίῳ προσάγουσι, καὶ τὴν σύμπασαν, ἐποφείλουσαν ἕξουσι. τούτους οὖν μακαρίσωμεν, καὶ πίστει χορεύσωμεν, ἐν τῇ συλλήψει ἐνθέως, τῆς ἐξ αὐτῶν τοῦ Θεοῦ ἡμῶν, μητρὸς τικτομένης, δι' ἧς δίδοται πλουσίως, τὸ μέγα ἔλεος.

Δόξα. τῶν Ἐγκαινίων. Ἦχος β'.

Τὸν ἐγκαινισμὸν τελοῦντες, τοῦ πανιέρου Ναοῦ τῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον. καὶ τελειώσαντα, τῇ αὐτοτελεῖ σου χάριτι, καὶ τερπόμενον, ταῖς ἐν αὐτῷ ἱερουργουμέναις ὑπὸ πιστῶν, μυστικαῖς καὶ ἱεραῖς τελεταῖς, καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους καὶ ἀχράντους θυσίας, ἀντιδιδόντα δὲ, τοῖς ὀρθῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον ἐκ ῥίζης τοῦ Δαβὶδ, βασιλικὴ πορφυρὶς ἐκβλαστήσασα, τοῦ Ἰεσσαὶ βλαστάνειν ἀπάρχεται, τὸ ἄνθος τὸ μυστικόν.

Digitized by Google

στικόν. ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἠξιώθησαν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Τροπάριον. Ἦχος δ'.

Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται. τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεὸς, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς, ὑπισχνεῖται Θεόπαιδα. ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γενόμενος, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ. Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Δόξα, καὶ νῦν. τῶν Ἐγκαινίων. Ἦχος ὁ αὐτός.

Ὡς τοῦ ἄνω Στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου Κύριε· κραταίωσον αὐτὸ εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις, διὰ τῆς Θεοτόκου, ἡ πάντων ζωὴ καὶ ἀνάστασις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν. κάθισμα. Ἦχος α'.

Χορὸς Ἀγγελικός.

Ὁ νέος Οὐρανὸς, ἐν κοιλίᾳ τῆς Ἄννης, τεκταίνεται Θεοῦ, παντουργοῦ ἐπινεύσει. ἐξ οὗ καὶ ἐπέλαμψεν, ὁ ἀνέσπερος Ἥλιος, Κόσμον ἅπαντα, φωταγωγῶν ταῖς ἀκτῖσι, τῆς Θεότητος, ὑπερβολῇ εὐσπλαγχνίας, ὁ μόνος φιλάνθρωπος.

Δόξα, καὶ νῦν. πάλιν τὸ αὐτό.

Μετὰ τὴν δευτέραν στιχολογίαν. κάθισμα. Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα σκίρτησον. ξηρὰ γὰρ καὶ ἄκαρπος, γῆ ἀνεβλάστησε, καρπὸν εὐθαλέστατον, τὴν ἀνθήσασαν κόσμῳ, στάχυν ἀθανασίας, καὶ τὸ ὄνειδος ἅπαν, ἤρθη τῆς ἀτεκνίας. μεθ' ὧν συνευφράνθητε, χαίροντες σήμερον.

Δόξα. καὶ νῦν. πάλιν τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἀραβόνησον Δαβὶδ, τί ὤμοσέ σοι ὁ Θεός; ἅ μοι ὤμοσε φησὶ, καὶ ἐκπεπλήρωκεν ἰδοὺ, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον. ἐξ ἧς ὁ πλαστουργὸς, Χριστὸς ὁ νέος Ἀδὰμ, ἐτέχθη Βασιλεὺς, ἐπὶ τοῦ θρόνου μου, καὶ βασιλεύει σήμερον, ὁ ἔχων, τὴν βασιλείαν ἀσάλευτον. ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Οἱ Κανόνες τῶν Ἐγκαινίων, καὶ τῆς Ἁγίας Ἄννης δύω. ὁ Κανὼν τῶν Ἐγκαινίων.

Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Ὁ στύλῳ καθοδηγῶν τὸ πρότερον, τὸν σὸν λαὸν Ἰσραὴλ, διὰ λουτροῦ βαπτίσματος Χριστὲ, ἐν Σιὼν κατεφύτευσας, τὴν Ἐκκλησίαν κράζουσαν, ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Σήμερον τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι Ναὸν, Οὐρανὸν κατεσκεύασεν, ἐν ᾧ συμφώνως ἅπαντες, ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Οὐ μόνῳ ἡ Ἐκκλησία Κύριε, ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν, τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι, ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱὸν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ἕτερος Κανὼν τῆς Ἁγίας Ἄννης.

Ὠδὴ α'. Ἦχος α'. Ὠδὴν ἐπινίκιον ᾄσωμεν.

Τὴν σύλληψιν σήμερον, θεόφρον Ἄννα, τὴν σὴν ἑορτάζομεν, ὅτι τὴν χωρήσασαν, τὸν μηδαμοῦ χωρητὸν, συνέλαβες στειρωτικῶν, ἀπολυθεῖσα δεσμῶν.

Δικαίων ἐπήκουσας, τὰς ἱκεσίας, ἁγίων ἐπλήρωσας, τὰς ἐντάξεις Κύριε, τῶν προπατόρων σου, καὶ τούτοις δέδωκας καρπὸν, τὴν σὲ τεκοῦσαν ἁγνήν.

Ἡ Ἄννα ἡ ἔνδοξος, νῦν συλλαμβάνει, ἁγνὴν τὴν τὸν ἄσαρκον, συλλαβοῦσαν Κύριον, τὸν ὑπεράγαθον, καὶ τίκτειν μέλλει τὴν σαρκὶ, μέλλουσαν τίκτειν Χριστόν.

Θεοτοκίον.

Τὸ Ὄρος τὸ ἅγιον, ὅπερ προεῖδε, Προφήτης ἐν Πνεύματι, ἐξ οὗ λίθος τέτμηται, τοὺς τῶν εἰδώλων βωμοὺς, συντρίψαν ἀθρόει θεϊκῷ, σὺ εἶ Παρθένε ἁγνή.

Ἕτερος Κανὼν εἰς τὴν αὐτὴν ἑορτὴν, Οὗ ἡ ἀκροστιχίς. Κατὰ ἀλφάβητον.

Ὠδὴ

Digitized by Google

Ὠδὴ α'. Ἦχος α'. Χριστὸς γεννᾶται δοξάσατε.

Ἁγνὴν Παρθένον Θεόπαιδα, Μητέρα ἐσομένην τοῦ κτίσαντος, γαστρὶ δεξαμένη ἔχαιρεν, Ἄννα ἀναβοῶσα, τοῦ Ἰσραὴλ, πᾶσαι αἱ φυλαί μοι, συνευφράνθητε ἰδοὺ, κἀγὼ συνέλαβον.

Βιβλίον ὅπερ προεφήσε, Προφήτης ἐσφραγισθὲν θείῳ Πνεύματι, λαγόσιν αὐτῆς κατέχουσα, Ἄννα πᾶσιν ἐβόα ἣν αἱ γραφαὶ, πᾶσαι προδηλοῦσι, μεγαλύνομαι ἐγὼ, φύουσα σήμερον.

Γαστρὶ χωρεῖται καὶ πλάττεται, Ναὸς ὁ θεϊκὸς καὶ σωτήριος. λαγόσι μητρὸς φυτεύεται. Κλίμαξ ἡ πρὸς τὰ ἄνω, πάντας βροτοὺς, ἐπαναγαγοῦσα· ἧς τὴν σύλληψιν πιστῶς πανηγυρίσωμεν.

Ἕτερος Κανὼν εἰς τὴν αὐτὴν ἑορτὴν τῆς Συλλήψεως τῆς Ὑπεραγίας Θεοτόκου. ψάλλομεν δὲ τοῦτον, ἐὰν μὴ ψάλληται ὁ κανὼν τῶν Ἐγκαινίων.

Οὗ ἡ ἀκροστιχὶς ἄνευ τῶν Θεοτοκίων.

Ἡ τὴν χαρὰν τέξουσα, τίκτεται κόρη.

Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἡ τοῦ Κόσμου σήμερον χαρὰ, λόγῳ προκηρύττεται, καὶ μητρικὰς ὠδῖνας εἰς εὐφρόσυνον, χαρμονὴν μετάγεται, καὶ πολύτεκνον, τὴν στείρωσιν τῆς φύσεως, ἔσεσθαι μηνύει, ἔργοις τοῖς τῆς χάριτος πληθύνουσα.

Τὸ τερπνὸν παλάτιον Χριστοῦ, ὁ εὐρυχωρότατος, τῶν οὐρανῶν οὐρανὸς ὁ ὑπέρτερος, σήμερον εἰσδέχεται, δι' ἐντεύξεως, τὴν βάσιν τῆς ὑπάρξεως, ἡ ἐπαγγελίαν ἔχουσα, ἀσάλευτον τὴν ἔκβασιν.

Ἡ πορφύρα σήμερον Χριστοῦ, λαμπρῶς καταγγέλλεται, ἐκ στειρευούσης ὑφανθῆναι χάριτι, νηδύος ὁ ἄσπιλος, ἐξ ἧς φορέσας ὁ Βασιλεὺς τῆς κτίσεως, φύσιν τὴν βροτείαν, Κόσμῳ ὡραιότατος ὀφθήσεται.

Νῦν βροτῶν ἡ φύσις ἐπὶ σοὶ, μόνη Πανυπέρτατε, Θεοπρεπῶς, ἐγκαυχωμένη Δέσποινα, χαίρει καὶ κηρύττει σου, τῆς ἁγνείας τὰ παράδοξα τεράστια, καὶ ἐν εὐφροσύνῃ ᾄδουσα, δοξάζει σε Θεόνυμφε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ Πνεύματι, χρίσας αὐτὴν σήμερον, τῆς ἀγαλλιάσεως ἔλαιον.

Ἀνέδειξας ἀγαθὲ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον.

Θεμέλιόν σε Χριστὲ, ἡ Ἐκκλησία ἀρραγὲς ἔχουσα, τῷ σῷ Σταυρῷ στέφεται, ὡς βασιλικῷ διαδήματι. Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Ἄλλος. Στερεωθήτω ἡ καρδία μου.

Καρπὸν κοιλίας εἰ παράσχοις μοι, ἀνεβόα Ἄννα πρὸς Κύριον, μεγαλυνθήσομαι καὶ σοὶ, τοῦτον προσαναθήσομαι. διὰ τοῦτο συλλαμβάνει, τὴν ἁγνὴν Θεομήτορα.

Ἐν Παραδείσῳ εὐχομένης σου, τῆς φωνῆς ἀκούει ὁ Ὕψιστος, Ἄννα θεόφρον καὶ καρπὸν, τῇ κοιλίᾳ σου δίδωσι, Παραδείσου τὴν ἀνοίξασαν, τὴν θύραν τῆς χάριτος.

Τὰ κατὰ νόμον ἐκτελέσασα, καὶ Θεῷ ἀμέμπτως δουλεύσασα, κυοφορεῖς τὴν ἀληθῆ, γραμοδότιν κυήσασαν, Ἄννα πάνσεμνε διό σε, οἱ πιστοὶ μακαρίζομεν.

Θεοτοκίον.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Δέχεται ἐξ ὕψους, προσδοκῶν Κυρίῳ ὁ Ἰωακεὶμ, πεποθημένην ἀγγελίαν, ἐπιστάντος Ἀγγέλου, αὐτῷ καὶ λέγοντος ἄπιθι, τὰς σὰς ἐντεύξεις ὁ πάντων Θεὸς, δίκαιε ἐπλήρωσεν.

Ἐπικαλουμένη, τὸν Θεὸν τῶν ἁπάντων ἡ Ἄννα ποτὲ, ἐν Παραδείσῳ ἱσταμένη, ἐπιστάντα ἑώρα, αὐτῇ Ἄγγελον καὶ λέγοντα. μὴ ἀθύμει Μητρὸς γὰρ Θεοῦ, μήτηρ μέλλεις ἔσεσθαι.

Ζηλοῦσα τὴν Ἄνναν, τὴν πρὸ σοῦ ἱκεσίας προσῆξας Θεῷ, καὶ τὴν ἀσπόρως δεξαμένην, τὸν ἀχώρητον Λόγον, ἁγνὴν ἐν μή-

τρᾳ

Digitized by Google

τέρα συνέλαβες, τῇ ἀτεκνίᾳ σου πρώτως ἡμᾶς, Ἄννα χαριτώσασα.

Ἄλλος. Ἐξήνθησεν ἡ ἔρημος.

Ῥανάτωσαν εὐφροσύνην, αἱ Νεφέλαι σήμερον, τὸν γλυκασμὸν τοῖς πέρασιν. ἡ Νεφέλη ἰδοὺ γὰρ τίκτεται, ἐξ ἧς τὸ τῆς ζωῆς μου ὕδωρ βλύσει Χριστός.

Ἀνοίγονται τῆς χάριτος, τὰ ταμεῖα σήμερον, ἃ προκηρύττων Ἄγγελος, ἀνεβόα Ἄννῃ τὴν σύλληψιν. ἰδοὺ γὰρ σὺ τὴν Πύλην ἀποτίκτεις Θεοῦ.

Νενέκρωται ἡ φύσις μου, ἡ ἀνθρωπίνη πρότερον. νῦν δὲ ζωῆς τὰ σύμβολα. τῇ συλλήψει τῆς Ἄννης δέχεται, ἐξ ἀκάρπου γὰρ ῥίζης ἄρτι φύεται.

Θεοτοκίον.

Ὡς ἄνθρακα φλογίζοντα, ἁμαρτίας ὕλαν τε, τὸν σαρκωθέντα Κύριον, ὑπὲρ φύσιν ἐκ σοῦ δεχόμενοι, τὸ πλῆθος τῶν πταισμάτων καθαιρόμεθα.

Κοντάκιον τῶν Ἐγκαινίων. Ἦχος β΄.

Τοὺς ἀσφαλεῖς.

Ἐγκαινισμὸν ἐν ταῖς καρδίαις Πνεύματος, καὶ φωτισμὸν ἐν τοῖς ἐγκάτοις καίνισον, τοῖς ἐν πίστει ἐκτελοῦσι τὰ ἐγκαίνια, τοῦ οἴκου καὶ Ναοῦ σου οὗ ηὐδόκησας, κτισθῆναι ἐν τῷ σῷ θείῳ ὀνόματι, ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος.

Ὁ Οἶκος.

Μνήμην τελῶν τῶν ἐγκαινίων, ὁ σοφώτατος πάλαι Σολομῶν, τῷ Θεῷ ἀλόγων ζώων προσέφερεν ὁλοκαυτώματα καὶ θυσίας. ὅτε δὲ νῦν ἡ ἀλήθεια καὶ ἡ χάρις ἦλθεν ἐν γῇ, τὰς θυσίας αὐθὺς μετεποίησε. θύσας γὰρ θυσίαν εἰς σωτηρίαν τὴν ἡμῶν ἑαυτὸν ὡς φιλάνθρωπος, τὴν Ἐκκλησίαν ἡγίασε, καὶ ἀσάλευτον ταύτην ἀνέδειξεν, ὁ μόνος ἐν ἁγίοις δοξαζόμενος.

Καταβ. Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Χορὸς προφητικός, προεκήρυξε πάλαι, τὴν ἄμωμον ἁγνήν, καὶ θεόπαιδα Κόρην, ἣν Ἄννα συνέλαβε, στεῖρα οὖσα καὶ ἄγονος. ταύτην σήμερον, ἀγαλλιάσει καρδίας, μακαρίσωμεν, οἱ δι' αὐτῆς σεσωσμένοι, ὡς μόνην πανάμωμον.

Ἕτερον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Εὐλογίας ἀπαρχήν, τῆς ἀκαρπίας τῷ βλαστῷ, ἐδωρήσω ἀγαθέ, Ἄννῃ βοώσῃ δι' εὐχῆς. σὺ μεταπλάττεις τὰς φύσεις τῶν ἐν γενέσει. διό μου ὦ Σωτήρ, νενεκρωμένην αὐτήν, τὴν φύσιν ὡς Θεός, πάλιν καινούργησον. ἵνα καρπὸν προσάγω σοι, βοῶσα τῷ παντεπόπτῃ κτίστῃ μου. σοὶ δόξα πρέπει, Θεὲ τῶν ὅλων, καὶ μόνε φιλάνθρωπε.

Δόξα. Τῶν Ἐγκαινίων. Ἦχος ὁ αὐτός.

Ταχὺ προκατάλαβε.

Ἐν πίστει τὰ ἐγκαίνια, ἐπιτελοῦσι πιστοῖς, τοῦ οἴκου σου Κύριε, πέμψον ἡμῖν φωτισμόν, καὶ χάριν καὶ ἔλεος. φύλαττε δὲ καὶ τοῦτον, εἰς αἰῶνα αἰῶνος, νίκας ἐπιβραβεύων, τοῖς πιστοῖς Βασιλεῦσι, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Τῆς Ἁγίας. Ἦχος ὁ αὐτός.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἰωακεὶμ ὁ ἱερὸς καὶ ἡ Ἄννα, δῶρα προσήγαγον, τοῖς πρὶν ἱερεῦσι. καὶ μὴ δεχθέντες ἄγονοι τυγχάνοντες, δέησιν προσηύξαντο, τῷ δοτῆρι τῶν ὅλων, καὶ τῆς προσευχῆς αὐτῶν, ἐπακούσας δωρεῖται, τούτοις τὴν ὄντως πύλην τῆς ζωῆς, ἧς τὴν Ἁγίαν τιμήσωμεν Σύλληψιν.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία, ἀλλὰ τῷ σῷ τιμίῳ, ἐκ πλευρᾶς ζωηφόρου, αἵματι ῥαντίζεται, εἰκότως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ σκηνώματα Κυρίου ἠγαπημένα, τοῖς κατιδεῖν ποθοῦσιν ἀνακεκαλυμμένως, τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, συμφώνως καὶ κράζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Εἰκονίζουσα τὴν χάριν ἡ Ἐκκλησία, τοῦ ἐκλεκτοῦ λαοῦ σου τὸ πολύτιμον μύρον, σήμερον ἀλείφεται, τὴν θείαν τοῦ Πνεύματος, χάριν ἀοράτως λαμβάνουσα.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτως κραυγάζομεν.

Ἀλ-

Digitized by Google

Ἄλλος. Ἐν Πνεύματι προβλέπων.

Ὢ θείας Ἀγγελίας, ὢ ξένης λαλιᾶς, εἰ κἀγὼ συλλήψωμαι, Ἀγγέλου πρὸς αὐτὴν, ἀπροφαλέντος, ἡ Ἄννα ἐκπλαττομένη. μεγαλοφώνως ἀνεβόα τῷ Θεῷ μου, δόξα τῷ ποιοῦντι παράδοξα.

Συγχάρητέ μοι πᾶσαι, φυλαὶ τοῦ Ἰσραὴλ, ἐν γαστρὶ συνέλαβον, τὸν νέον Οὐρανόν· ἐξ οὗ τὸ ἄστρον ἀνατελεῖ μετ' ὀλίγον, τῆς σωτηρίας Ἰησοῦς ὁ φωτοδότης. Ἄννα γηθομένη ἐκραύγαζεν.

Ὑπήκουσε τῆς Ἄννης, Θεὸς τοὺς στεναγμοὺς, καὶ προσέσχε Κύριος, δεήσεως αὐτῆς, καὶ ἀτεκνίας τὸ νέφος διασκεδάσας, φωτὶ αὐγάζει ἀτεκνίας παραδόξως. ὅθεν συλλαμβάνει τὴν μόνην ἁγνήν.

Θεοτοκίον.

Παρθένε Θεοτόκε, ἀμόλυντε Σκηνὴ, μολυνθέντα πταίσμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου καθαρωτάταις ῥανίσι, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω· δόξα σοι, ἁγνὴ Θεοδόξαστε.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ηὐλόγηται ἡ μήτρα σου τὸ πρὶν, ἡ ἄγονος καὶ δέδεκται, Ἄννα Νεφέλην τὴν οὐράνιον. ἐξ ἧς ἡμῖν ὁ φαιδρὸς, ἀνατείλας Ἥλιος, πάντας φωτισμῷ τῆς ἀληθείας, κατηύγασε καὶ βαθὺ, σκότος ἀθείας ἐξήλασεν.

Θρόνος ὁ πυρίμορφος Θεοῦ, λαγόσι σου ἐνίδρυται, ἐν ᾧ καθίσας ἀναπέπαυται, καὶ πάντων τῶν εὐσεβῶν, τὸν κόπον ἀφείλετο, καὶ τὴν καθαρὰν θεογνωσίαν, ἐνίδρυσεν ἐπὶ γῆς, Ἄννα μακαρία θεόληπτε.

Ἰδὲ ἣν προέφη Σολομῶν, ἐν μήτρᾳ Κλίνην εἴληφας, τετηρημένην ἀληθέστατα, τῷ ἀληθεῖ Βασιλεῖ, θείαν πρὸς ἀνάκλισιν. γένους τῶν βροτῶν ἐπ' ἀνακλήσει. διό σε χαρμονικῶς, Ἄννα οἱ πιστοὶ μακαρίζομεν.

Ἄλλος. Ἐλήλυθας, ἐκ Παρθένου.

Τὸ κάλυμμα, τοῦ σκιώδους διαίρεται σήμερον, νόμου καὶ τῆς χάριτος, ἡ εὐλογία προκύπτουσα, λάμπει τηλαυγέστατα, τῇ προκηρύξει τοῦ τόκου τῆς Θεόπαιδος.

Ἐλήλυθεν, ὑπερφυῶς μηνύων ὁ Ἄγγελος, Ἄννα τὰ προοίμια, τῆς παγκοσμίου χαρᾶς ἐμφανῶς, λέγων τῆς δεήσεως, ὑπὲρ ἐλπίδα εἰσδέχου τὴν ἐκπλήρωσιν.

Ζηραίνεσθαι, τῆς κακίας τὰ ῥεύματα ἄρχεται, καὶ βρύειν τῆς χάριτος, οἱ Ποταμοὶ διαθειώσονται, σήμερον τῷ τόκῳ σου, κηρυττομένῳ Παρθένε πανυπέρτατε.

Ῥητόρων σε, κατ' ἀξίαν γεραίρειν Πανύμνητε, γλῶσσαι αἱ πολύφθογγοι, ἀμηχανοῦσαι συστέλλονται. φόβῳ δὲ τὰ θαύματα, καὶ σιωπῇ εὐφημοῦσαι μεγαλύνουσι.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Σὺ πάλαι ἐν Σινᾷ, σκηνὴν ἀχειροποίητον, ὑπέδειξας τῷ θεόπτῃ, Μωσεῖ διαγράφων, Χριστὲ τὴν Ἐκκλησίαν σου.

Σὲ Κύριε σκηνὴν, ἐπὶ γῆς κατεσκήνωσας. ἡ τάξεσιν Οὐρανίαις, τῶν βροτῶν τὰς χορείας, συνάπτει τῇ δυνάμει σου.

Σὲ Κύριε πηγὴν, τῆς ζωῆς ἐπιστάμεθα. σὺ Ἅγιε τὴν εἰρήνην, ἐλθὼν εὐηγγελίσω, Χριστὲ τῇ Ἐκκλησίᾳ σου.

Θεοτοκίον.

Σὲ ὅπλον ἄρραγες, κατ' ἐχθρῶν προβαλλόμεθα. σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν Σωτηρίας, θεόνυμφε κεκτήμεθα.

Ἄλλος. Τὴν εἰρήνην δὸς ἡμῖν.

Ἐκ ῥίζης ἡ βλαστήσασα Δαβὶδ καὶ ὁ ἐσταὶ, Ἄννα νῦν, βλαστάνειν ἀπάρχεται, τὴν θείαν ῥάβδον, τὴν βλαστήσασαν, τὸ μυστικὸν ἄνθος, Χριστὸν τὸν πάντων κτίστην.

Μητέρα γενομένην με, ἡ Ἄννα ἐκβοᾷ, ὄψονται λαοὶ καὶ θαυμάσουσιν. ἰδοὺ γὰρ κύω ὡς ηὐδόκησεν, ὁ τὰ δεσμὰ λύσας, τὰ τῆς στειρώσεώς μου.

Νεανὴν ἣν συνέλαβον, ἐγὼ Προφῆται καὶ πόρρωθεν φωναὶ προκατήγγειλαν, ὄρος καὶ πύλην ἀδιόδευτον, περιχαρῶς Ἄννα, ἐβόα τοῖς παροῦσιν.

Ἄλλος. Θεὸς ὢν εἰρήνης Πατὴρ οἰκτιρμῶν.

Κατῆλθεν ἐξ ὄρους ὁ Ἰωακεὶμ, οὐχὶ πλάκας τοῦ νόμου δεξάμενος, ἣν νόμος δὲ προέγραψε, καὶ πᾶσαι προφητῶν, ἐδήλωσαν αἱ ῥήσεις, Θεοῦ ἁγνὴν μητέρα, καὶ σκιρτῶν ἀνεβόα· ἐμεγαλύνθη ἡ καρδία μου.

Λα-

Digitized by Google

Ἠγάσω ὡς ἤθετο Ἄννα ποτέ, φυτάθεισαν τὴν εὔκαρπον ἄμπελον. ἐξ ἧς ὁ βότρυς ἀνθήσειν, ὁ πέπειρος ἡμῖν, οἶνον ἀθανασίας, πλουσίως ἀποστάζων, τί σοι ἀνταποδώσω, εὔσπλαγχνε Κύριε ἐφθέγγετο;

Μὴ φέρων τὴν κτίσιν ὁ Ἰωακεὶμ, καθοράν ἀσέβεια στειρώσασαν, τὴν στείρωσιν ἱκέτευε, τῆς Ἄννης παρελθεῖν, καὶ ταύτην ἕξειν παῖδα. ἐξ ἧς υἱὸς ἐδόθη, πάντας υἱοθετήσας, τῷ ἑαυτοῦ Πατρὶ ὁ ὕψιστος. Ἄλλος. Μεσίτης Θεοῦ.

Ὁ τόμος Θεοῦ, δι' ἀγγέλου σήμερον κηρύττεται, ἐν ᾧ περ ὁ συνάναρχος, Λόγος τοῦ Πατρὸς μὲν ἐγγραφήσεται, καὶ πιστοὺς ἐν τῇ βίβλῳ, ἐγγράψει τῆς χρηστότητος.

Ὑμνοῦσι νυνὶ, τοῦ ξένου μηνύματος τὴν δόξαν στεῤῥῶς, οἱ δίκαιοι πλέκοντες, τὴν εὐχαριστήριον αἴνεσιν, τῷ τὴν χάριν τοῦ τόκου, δι' εὐχῆς ἐκπληρώσαντι.

Σοφίας Θεοῦ, κεκρυμμένης σήμερον δηλοῦται ἡμῖν, ἀληθῶς μυστήρια, καταγγελλομένης τῆς συλλήψεως, τῆς ἀχράντου Παρθένου, καὶ μόνης Θεομήτορος. Θεοτ.

Ταλαίπωροι πιστοὶ, ἐλιμένα ἔχοντες Παρθένε ἁγνὴ, τὴν σκέπην σου πάντοτε, τὰς ἐπαναστάσεις τὰς τῶν θλίψεων, ἀποφεύγομεν πάσας, ἐπὶ σοὶ ὁρμιζόμενοι.

Ὠδὴ ϛ'. Θύσω σοι μετὰ φωνῆς.

Τοῦ κάλλους, ὁ Βασιλεὺς Χριστὸς ἐπεθύμησε, τῆς ἐκλεκτῆς Ἐκκλησίας, καὶ Ἐθνῶν μητέρα ἀπέδειξεν, ἐκ δουλείας, υἱοθετουμένων διὰ τοῦ Πνεύματος.

Φρίττουσι, τῶν δυσμενῶν δαιμόνων αἱ φάλαγγες, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῦ Σταυροῦ τῷ τύπῳ σημειουμένην, καὶ σκιάζει, ἡ ἁγιαστικὴ τοῦ Πνεύματος ἔλλαμψις.

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, στεφανοῦται κάλλει τῷ ἀπροσίτῳ, καὶ τῇ αἴγλῃ, τῆς βασιλείας ἐγκαλλωπίζεται. Θεοτ.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον. ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέχοντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

Ἄλλος. Τὸν Προφήτην Ἰωνᾶν.

Πῶς χωρεῖται ἐν γαστρὶ, ἡ χωρήσασα Θεόν; πῶς γεννᾶται τὸν Χριστὸν, ἡ γεννήσασα σαρκί; θηλάζει δὲ, πῶς ἡ τὸν κτίστην γάλα θηλάσασα.

Τῆς δεήσεως ὑμῶν, ἐπακούσας ὁ Θεὸς, γονιμώτατον καρπὸν, νῦν δεδώρηται ὑμῖν, πανεύφημοι, Ἰωακεὶμ τε καὶ Ἄννα σήμερον.

Τὴν ἀγρίαν Περιστερὰν, συλλαβοῦσα ἐν γαστρὶ, χαρμονῆς πνευματικῆς, ἐπληρώθη ἀληθῶς, προσάγουσα, χαριστηρίους ᾠδὰς ἡ Ἄννα Θεῷ.

Θεοτοκίον.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαὶ, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν, χειμάζουσι. βοήθησόν μοι ἁγία Δέσποινα.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νόμου αἱ σκιαὶ, σαφῶς παρατρέχουσιν. αὐγὴ γὰρ ἤδη τῆς θείας χάριτος, ἐμφανίζεται, ἡ Παρθένος νεφέλη ἐξ ἧς ὁ φαιδρὸς, τῆς Θεότητος ἀνίσχει ὄντως Ἥλιος, Ἄννα, γηθομένη ἔκραζε, τὸν Θεὸν Ἰσραὴλ μεγαλύνουσα.

Ζένον εἰ κἀγὼ, συλλήψομαι θέαμα, ἡ ἄγονος πρὶν. καὶ ἡ οὐ τίκτουσα, Ἄννα ἔλεγε, φθεγγομένη Ἀγγέλου ὡς ἤκουσεν, ὅτι τέξεται παιδίον, καὶ ἐκραύγαζεν. εὖγε, τοῦ καλοῦ ἀκούσματος, εἰ τῶν λόγων ἡ ἔκβασις γένηται.

Ὄρη καὶ βουνοὶ, πεδία καὶ Θάλασσα, Ἀγγέλων πληθὺς, καὶ πᾶσα φύσις βροτῶν, εὐφραινέσθωσαν. τοῦ Δεσπότου τὸ θεῖον γὰρ τέμενος, ἀπαρχὴν ἀναδομήσεως ἐδέξατο, Ἄννα, ὁπηνίκα ἤθετο, ἑαυτὴν συλλαβοῦσαν ἐφθέγγετο.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀγαλλέσθω φαιδρῶς ἡ προμήτωρ ἡμῶν. σήμερον γὰρ δέχεται, χαρᾶς μηνύματα, τὴν λύπην ἀπωθούμενα, τῇ συλλήψει τῆς μόνης Θεόπαιδος.

Τὸ τῆς δόξης διάδημα πλέκεται, καὶ ἡ ἁλουργὶς ἡ βασίλειος σήμερον, ὑπὲρ ἐλπίδα ἅπασαν, ἐκ νηδύος ἀκάρπου ἐκβλύζουσα.

ἰδοῦ

Digitized by Google

Ἰδοὺ πᾶσα ἡ κτίσις γεραίρει σου, τὰ ὑπερφυῆ καὶ μεγάλα μυστήρια. σὺ γὰρ ὑπάρχεις Δέσποινα, καὶ βροτῶν καὶ Ἀγγέλων τεράστιον.

Ἰδοὺ θείων χαρίτων πηγὴ νοητή. δι' ἐπαγγελίας τοῦ κτίστου καὶ χάριτος, ἀναστομοῦται χάριτι, ἐν ἀγόνῳ νηδύϊ ἐκβλύζουσα.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τὴν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐν Θεῷ. καὶ γὰρ αὕτη ἀπεκύησε, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν. Ὁ Οἶκος.

Σὺ ὁ τῇ Σάῤῥᾳ δοὺς ποτέ, ἐν γήρᾳ βαθυτάτῳ, τῇ σῇ ἐπιστασίᾳ, καὶ ἐν ἐπαγγελίᾳ υἱὸν τὸν μέγαν Ἰσαάκ. σὺ ὁ διανοίξας τὴν στειρεύουσαν νηδὺν τῆς Ἄννης, παντοδύναμε, μητρὸς Σαμουὴλ τοῦ Προφήτου σου. καὶ νῦν ἐπιδὼν ἐπ' ἐμέ, δέξαι μου τὰς δεήσεις, καὶ πλήρωσόν μου τὰς αἰτήσεις, ἐβόα ἐν κλαυθμῷ, ἡ σώφρων Ἄννα καὶ στεῖρα, καὶ ἐπήκουσεν αὐτῆς ὁ εὐεργέτης. ὅθεν ἐν χαρᾷ συνέλαβε τὴν Παρθένον, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.

Τῷ αὐτῷ Μηνὶ Θ'. Ἡ Σύλληψις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς ὑπεραγίας Θεοτόκου.

[illegible]χ ὥσπερ Εὔα σὺ καὶ σὺν λύπαις τέκεις.
Χα[illegible] γὰρ Ἄννα ἔνδον κοιλίας φέρεις.
Τῇ δ' ἐννάτῃ Μαρίαν θεομήτορα συνέλαβεν Ἄννα.

Ὁ Κύριος ἡμῶν καὶ Θεός, θέλων ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον, καὶ Οἶκον ἅγιον ὡς κατοικίαν ἑαυτῷ, τὸν Ἄγγελον αὐτοῦ ἀποστείλας πρὸς τοὺς δικαίους, Ἰωακεὶμ καὶ Ἄνναν, (ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα μητέρα αὐτοῦ,) προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς Παρθένου τὴν γέννησιν. Ὅθεν συνελήφθη ἡ ἁγία Παρθένος Μαρία, καὶ ἐγεννήθη οὐχ ὥς τινες λέγουσι μηνῶν ἑπτά, ἢ χωρὶς ἀνδρός, ἀλλὰ ἐννέα τελείων μηνῶν ἐγεννήθη. καὶ ἐξ ἐπαγγελίας μέν, ἐξ ἀνδρὸς δὲ συναφείας καὶ σπορᾶς. Ἐγεννήθη δὲ ἐκ τῆς Ἁγίας Παρθένου Μαρίας ἀπορρήτως καὶ ἀνερμηνεύτως, ὡς οἶδε μόνος ἐκεῖνος, χωρὶς τῶν τῆς σαρκὸς θελημάτων· καὶ τέλειος ὑπάρχων Θεός, πάντα αὐτοῦ τῆς κατὰ σάρκα οἰκονομίας, τέλεια προσελάβετο, καθὼς καὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐδημιούργησε καὶ ἔπλασε τὸ κατ' ἀρχάς. Ταύτην γοῦν τὴν ἡμέραν πανηγυρίζομεν, ὡς ἀνάμνησιν ἔχουσαν τῶν ὑπ' Ἀγγέλου δοθέντων χρησμῶν, τοῦ τὴν ἁγίαν σύλληψιν εὐαγγελισαμένου τῆς ἁγνῆς Θεομήτορος. Οὗς ἔργα ποιῶν ὁ ἐκ τοῦ μηδενὸς ὑποστήσας τὰ σύμπαντα Θεός, διήγειρε τὴν στειρεύουσαν νηδὺν, εἰς καρπογονίαν, καὶ τὴν ἐν ἀπαιδίᾳ τὸν βίον καταγηράσασαν, παιδοτόκον μητέρα παραδόξως ἐργάζεται. ἄξιον πέρας τῆς δικαίας αἰτήσεως τῶν δικαίων τοῦτο παρασχών, καὶ ἧς αὐτὸς ἔμελλε σαρκοφόρος Θεὸς προελθεῖν, εἰς ἀναγέννησιν τοῦ παντός, θυγατέρα τεκεῖν τοὺς σώφρονας εὐδοκήσας γεννήτορας Θεοῦ, καὶ ἀνθρώπων μεσίτορας, τὴν πρὸ αἰώνων ἐκ πασῶν γενεῶν γεννήσεσθαι προωρισμένην τε καὶ ἐκλελεγμένην. τελεῖται δὲ αὕτη ἡ σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς Θεοτόκου, τῷ ὄντι ἐν τοῖς Εὐοράνοις, πλησίον τῆς ἁγιωτάτης Ἐκκλησίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Προφήτιδος Ἄννης, τῆς μητρὸς Σαμουὴλ τοῦ Σροφήτου.

Στίχος. Ἄννα στεῖρα πέλουσα δι' εὐχῆς τέκνον.
Ἔτεκε σαφῶς, Σαμουὴλ τὸν Προφήτην.

Ἡ Ἁγία καὶ μακαρία Ἄννα ἡ προφῆτις, ἦν ἐκ Πόλεως Ἀρμαθέμ, ἐξ ὄρους Ἐφραΐμ. αὕτη συζευχθεῖσα ἀνδρὶ ἐκ φυλῆς Λευί, ὄνομα Ἐλκανά, στεῖρα οὖσα οὐκ ἔτικτε. καὶ λαβὼν ὁ ἀνὴρ αὐτῆς Φαινάνναν τὴν ἀντίζηλον αὐτῆς, ἐτεκνογόνησε μετ' αὐτῆς, καὶ ἠγάλετο. ἡ δὲ Ἄννα ὠνειδίζετο, (ὥσπερ οὐκ ἐξαρκούσης αὐτῇ τῆς ἐπὶ ἀτεκνίᾳ θλίψεως,) παρά τε τοῦ ἀνδρός, καὶ τῆς ἀντιζήλου, καὶ πάντων τῶν συγγενῶν καὶ φίλων. Καὶ πολλὰ περὶ τούτου τὸν Θεὸν ἐξαιτησαμένη, ἤνυε πλέον οὐδέν, καίπερ τὰς παρὰ τοῦ νόμου ἐντολὰς ἀεὶ ἀπόνως ἐπιτε-



Digitized by Google

πιτελοῦσα. Οὕτως οἱ Ἅγιοι τὰς ἑαυτῶν αἰτήσεις ὀψέποτε, καὶ βραδέως παρὰ Κυρίου ἐλάμβανον. Ἀνελθοῦσα δὲ ἡ Ἄννα μετὰ τοῦ ἀνδρὸς αὐτῆς ἐν Σηλὼμ, ἐν ναῷ Θεοῦ παντοκράτορος θυσίας τελέσαι διὰ χειρὸς Ἡλεὶ τοῦ ἱερέως, τῶν θυσιῶν τελεσθεισῶν, μίαν μόνην μερίδα ἔλαβε, τῶν λοιπῶν διπλᾶς ἐπιφερομένων τὰς μερίδας, διὰ τὸ μὴ ἔχειν ταύτην υἱὸν ἢ θυγατέρα. καὶ ὑπὲρ τούτου λυπήθη μὲν εἰς ὑπερβολὴν, οὐκ ἀπέγνω δὲ, οὐδὲ συνέπεσε τὸ πρόσωπον αὐτῆς. Ἀλλὰ τί ποιεῖ; τὸν ἄνδρα ἀπολύσασα οἴκαδε, μόνη κατελείφθη ἐν τῷ ναῷ. καὶ τῷ ἐδάφει ἑαυτὴν καταβαλοῦσα, οὕτω προσηύξατο: Κύριε ὁ Θεὸς τῶν πατέρων μου, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν δούλην σου, καὶ τὴν ταπείνωσίν μου, καὶ δῴης μοι καρπὸν κοιλίας, σοὶ αὐτὸν δίδωμι τοῦ δουλεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Τί οὖν ὁ Θεός; παρήκουσε τῆς δεήσεως αὐτῆς; οὐμενοῦν. ἀλλὰ τί; ἐπειδὴ ὁ Θεὸς μὴ ἀφισταμένην ἐκ τοῦ ναοῦ τὴν Ἄνναν εἶδεν, ἀλλὰ προσευχομένην καὶ ὀχλοῦσαν, οὐ καρπὸν μόνον κοιλίας ὑπέσχετο, ἀλλὰ καὶ τοῦ τεχθησομένου υἱοῦ τὴν προσηγορίαν προσεῖπε. Καὶ λαβοῦσα πληροφορίαν, ἐκεῖθεν κατήρχετο, σκιρτῶσα καὶ εὐφραινομένη. Καὶ συλλαβοῦσα, τέτοκε Σαμουὴλ τὸν Προφήτην. Καὶ μετὰ τὸ ἀπογαλακτισθῆναι αὐτὸν, ἀνέβη σὺν αὐτῷ ἐν Σηλὼμ, καὶ προσέπεσε Κυρίῳ τῷ Θεῷ, τὴν εὐχαριστίαν ἀπονέμουσα. καὶ εὐλόγησεν αὐτὴν Ἡλεὶ ὁ ἱερεὺς, λέγων· δῴη σοι ὁ Θεὸς καρπὸν κοιλίας ἕτερον, ἀντὶ Σαμουὴλ τοῦ Υἱοῦ σου. Καὶ τέως λαβοῦσα τὸν υἱὸν κατῆλθε, διὰ τὸ εἶναι αὐτὸν ἔτι σφόδρα νήπιον. Ὅτε δὲ μειράκιον γέγονε, λαβοῦσα τοῦτον ἐκ χειρὸς, ἀνήγαγεν ἐν τῷ ναῷ Κυρίου Παντοκράτορος, καὶ τὴν ὀφειλομένην εὐχὴν τῷ Κυρίῳ ἀποδοῦσα, παρέδωκεν αὐτὸν εἰς χεῖρας Ἡλεὶ τοῦ ἱερέως. Καὶ ποιήσασα Ἐφοὺδ καὶ διπλοΐδα μικρὰν, ἐλειτούργει Κυρίῳ τῷ Θεῷ, ἔμπροσθεν Ἡλεὶ τοῦ ἱερέως. καὶ βλέπουσα ἡ Ἄννα, ἠγάλλετο. καὶ προσθεῖσα, ἔτεκεν υἱοὺς τρεῖς, καὶ θυγατέρας τρεῖς. Καὶ ἀνελθοῦσα ἐν τῷ ἱερῷ, προσέπεσε τῷ Κυρίῳ ἐξομολογουμένη. καὶ ἀναστᾶσα, προσηύξατο ᾠδὴν τοιαύτην λέγουσα. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ᾽ ἐχθρούς μου, εὐφράνθην ἐν Σωτηρίᾳ σου. Καὶ πᾶσαν τὴν ᾠδὴν ἐκελάδησεν ὡς προφῆτις, καὶ μήτηρ Προφήτου. διὰ τοῦτο ἔλεγε γάρ. ὅτι στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησεν. αὕτη γὰρ ἐσκίρτα καὶ ἠγαλλιᾶτο ἐπὶ τοῖς ἑπτά. Φαινάννα δὲ ἡ ταύτης ἀντίζηλος ὡσανεὶ πέντε τέκνα ἔχουσα, ἢ καὶ ἐλάττω, ἀποστειρωθεῖσα, οὐκ ἔτι ἔτικτε. Ἡ δὲ Ἄννα ἐπὶ χρόνους ἱκανοὺς τῷδε τῷ βίῳ ἀρκέσασα, καὶ τῷ Κυρίῳ ἐξομολογουμένη ἀεὶ καὶ προφητεύουσα, μετέβη πρὸς τὰς αἰωνίους μονάς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ νεολαμποῦς, τοῦ ἐν τῷ Ἁγίῳ Ἀντύπα κειμένου.

Στίχ. Ἐξήγαγες γῆς τὸν Στέφανον ἐκ βίου.
Στέφει δὲ δόξης ἐστεφάνωσας Λόγε.

Οὗτος ὁ ἀρτιφανὴς ἀστὴρ, ὑπῆρχε Κωνσταντινουπόλεως γέννημά τε καὶ θρέμμα. πατέρες δὲ αὐτῷ Ζαχαρίας καὶ Θεοφανώ, πάσῃ ἀρετῇ καὶ συνέσει κοσμούμενοι, τὰς οἰκήσεις ποιούμενοι ἐν τῇ τοποθεσίᾳ τοῦ Ζεύγματος, οὐ μακρὰν τοῦ ναοῦ, τοῦ Θείου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου. Τοῦτον ἡ μήτηρ ἐγκυμονοῦσα, παντοίας τροφῆς παχυτέρας ἀπείχετο, ἄρτῳ καὶ λαχάνοις καὶ ὕδατι ἀρκουμένη, μέχρι τοῦ τοκετοῦ. τοῦ δὲ παιδὸς τεχθέντος, Σταυρὸς φωτοειδὴς καὶ ὑπέρκαλλος ἐν τοῖς στέρνοις αὐτοῦ ὡράθη. ὅπερ σημεῖον τῆς ἐσύστερον γενομένης τοῦ βίου σταυρώσεως γέγονε καὶ δέδεικται. Ἐπεὶ δὲ καὶ σπαργάνοις ἐνειλήθη ὁ παῖς, ἀνάγκη ἦν καὶ μαζὸν ἕλκειν. καὶ εἴγε τῇ μητρὶ δαψιλεστέρας τροφῆς ἐμφορηθῆναι ἔδοξεν, οὐδ᾽ ὅλως ἥπτετο τῶν μαστῶν. Πολλάκις δὲ καὶ διὰ δύο ἢ καὶ τριῶν ἡμερῶν τοῦτο συνέβη. Καὶ λοιπὸν ἡ τοῦ παιδὸς τροφὴ τῆς μητρὸς ἦν ἐγκράτεια. Ἐντεῦθεν ἔκπληξις ὁμοῦ καὶ θλῖψις εἶχε τοὺς φίλους ἅμα καὶ συγγενεῖς. Εἶτα βαπτίζεται, ἀπο-



Digitized by Google

λύεται τῶν σπαργάνων, ἀπογαλακτίζεται, κατὰ λόγον αὐξάνει, εἰς τὴν διατριβὴν τῶν γραμμάτων ἐκπέμπεται, ἃ καὶ προθύμως μετήρχετο, καὶ ἦν τοῖς γονεῦσιν ὑποτασσόμενος. Ἐπεὶ δὲ ἐκποδὼν ὁ θεομισὴς ἐγένετο Θεόφιλος, παραυτίκα ἐπὶ τὸν Ἀρχιερατικὸν θρόνον ὁ ἱερὸς καὶ θεῖος Μεθόδιος ψήφῳ θείᾳ ἀνάγεται, καὶ ὁ τίμιος Ζαχαρίας ὁ τοῦδε Πατὴρ, ὑπ' αὐτοῦ χειροτονεῖται πρεσβύτερος, καὶ τῷ τῆς μεγάλης Ἐκκλησίας κλήρῳ καταλέγεται. Τότε δὲ καὶ ὁ θεῖος Στέφανος, κείρεται τὴν κόμην τῆς κεφαλῆς, καὶ κληρικὸς τῆς αὐτῆς Ἐκκλησίας καθίσταται, καὶ τῷ Πατρὶ ἀκολουθεῖ εἰς τὴν μεγάλην Ἐκκλησίαν, ἐνδελεχῶς ἀπιόντι. Τῷ οὖν ὀκτωκαιδεκάτῳ ἔτει τοῦ παιδὸς, ὁ Πατὴρ τὸν βίον ἀπολιμπάνει, αὐτὸς δὲ ἐν τῷ εὐκτηρίῳ τοῦ Ἁγίου καὶ κορυφαίου Πέτρου ἐγκλείσας ἑαυτὸν, ἀπροΐτος ἦν προσευχόμενος, καὶ λαχάνοις ὠμοῖς ἀρκούμενος. Ἐν τούτοις αὐτοῦ πολιτευομένου, μιᾷ τῶν νυκτῶν ἐπιφαίνεται αὐτῷ ὁ τοῦ Κυρίου ἀπόστολος, καὶ φησίν. Εἰρήνη σοι τέκνον. καλὴ σου τῆς προθυμίας ἡ ἀρχὴ, ὁ Κύριος ἐνδυναμώσαι σε. Εἶτα ἐπὶ τρισὶν ἔτεσιν ἐγκαρτερήσας, καθορᾷ τὸν θεῖον καὶ Ἱερομάρτυρα Ἀρτύμαν αὐτῷ λέγοντα. Εἰρήνη σοι τέκνον, ψάλλε μοι, καὶ οὐ μή σε ἐγκαταλίπω. Ἔκποτε δὲ ἐπέτεινεν ἑαυτὸν πλέον εἰς προσευχὴν καὶ νηστείαν, ἅπαξ ἢ δὶς τῆς ἑβδομάδος τοῦ λαχάνου μετέχων. κράμβη δὲ ἦν, ἄνευ ἅλατος. Οὕτως ἑαυτὸν καθαγνίσας, τῆς τοῦ πρεσβυτέρου τιμῆς ἀξιοῦται, πλεῖστα ἐργασάμενος θαύματα. Τῷ δωδεκάτῳ γὰρ ἔτει τῆς βασιλείας τοῦ τῆς εὐσεβοῦς λήξεως Βασιλείου, καὶ τεσσαρακοστῷ τῆς ἡλικίας τοῦ ὁσίου, σεισμὸς μέγας γέγονεν, ὑφ' οὗ τοῦ ναοῦ τοῦ Ἁγίου Ἀρτύμα πανταχόθεν διαῤῥαγέντος, ἐξῆλθεν ἐκεῖθεν ὁ ὅσιος, καὶ εἰσῆλθεν ἔν τινι ταφοειδεῖ λάκκῳ. Ἐν ᾧ προσκαρτερήσαντος χρόνους δώδεκα, διεφθάρησαν αἱ τρίχες τῆς κεφαλῆς αὐτοῦ καὶ τοῦ πώγωνος, καὶ οἱ ὀδόντες ἐχαυνώθησαν, καὶ σχεδὸν ὅλον τὸ σῶμα τοῦ Ἁγίου παρελύθη. Πάνυ γὰρ ἦν ὁ τόπος ὑπὸ τῆς πολλῆς νοτίδος πολιορκούμενος. Καὶ ἀναγκασθεὶς, ἐξῆλθε τοῦ λάκκου ὅλως νενεκρωμένος. καὶ ὑπεράνω σανίδος καταστρώσας, καὶ τείχινον ὑποθεὶς σάκκον, ἀνέκλινεν ἑαυτὸν ἄνωθεν τοῦ σάκκου. Εἶτα τὸ Ἀγγελικὸν ὑποδὺς σχῆμα, ὁπόταν ἐν ταῖς δεσποτικαῖς ἑορταῖς τὴν θείαν Λειτουργίαν ἐπετέλει, ἐν τῇ ἀπολύσει μίαν ἰσχάδα ἐλάμβανε, καὶ ὕδατι βραχυτάτῳ τῷ στόματι αὐτοῦ περικλύζων, διέμενε τούτοις ἀρκούμενος. Οὕτως ὁ μακάριος ἐπὶ πέντε καὶ πεντήκοντα ἔτεσι τὸν ἐπίπονον καὶ τραχὺν τῆς ἀσκήσεως δρόμον διανυκὼς, τῷ ἑβδομηκοστῷ ἔτει τῆς ὅλης αὐτοῦ ζωῆς, ἢ μᾶλλον νεκρώσεως, τὸ Πνεῦμα αὐτοῦ τῷ Κυρίῳ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ἁγίων Μαρτύρων, Σωσθένους, Ναρσοῦ, καὶ Ἰσαὰκ, διὰ ξίφους τελειωθέντων.

Στ. Σωσθένην σωθεῖσαν ἐγγράφει λόγος.
Ὑπὲρ Θεοῦ σώζοντος ἐκτετμημένον.
Πέρσης κάρανσοι Ναρσῆς Χριστὲ προσφέρει,
Κρεῖττον δὲ δῶρον σμυρνοχρυσολιβάνου.
Πάθους τὸ λεῖπον Ἰσαὰκ Σάῤῥας τέκνον,
Σφαγεὶς ἀνεπλήρωσεν Ἰσαὰκ νέος.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ. Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι.

Δροσοβόλον μὲν, ἡ καμιναία φλὸξ ἐδείχθη ποτέ. νῦν δὲ, ἐξ ἐλαίου χρῖσμα πνευματικὸν, ἁγιάζον τοὺς κραυγάζοντας, εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὡς ἐν καμίνῳ, τῇ θεοδόχῳ ταύτῃ μέσα σκηνῇ, πάντες, οἱ ἐξ Ἰσραὴλ τοῦ πνευματικοῦ, δροσιζόμενοι βοήσωμεν, εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Οἱ τετρωμένοι, τῷ γλυκυτάτῳ Θείῳ ἔρωτι, δεῦτε, ἐν παστάδι ταύτῃ τῇ μυστικῇ, συναφθῶμεν τῷ νυμφίῳ Χριστῷ, εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου κράζοντες. Θεοτοκίον.

Ὦ ὁ τοῦ ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ,



Digitized by Google

ρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις Παναμώμε Δέσποινα.

Ἄλλος. Τοὺς ἐν καμίνῳ παῖδάς σου Σωτήρ.

Τῆς ἀπαιδίας ὄνειδος φυγεῖν, ἱκετεύει, Ἄννα τὸν Δεσπότην τοῦ παντός. καὶ τῆς αὐτῆς ὁ συμπαθὴς φωνῆς ἀκούσας, τὴν αὐτὸν κυήσασαν, καρπὸν παρέσχεν αὐτῇ, καθὼς ηὐδόκησεν.

Βασιλικὴ πορφύρα ἐν τῇ σῇ, ἀπάρχεται, Ἄννα ἐξυφαίνεσθαι γαστρί. ἣν ὁ Θεὸς καὶ Βασιλεὺς, πάντων φορέσας, τοῖς βροτοῖς ὀφθήσεται, καὶ ταπεινώσει ἐχθροὺς, τοὺς πολεμοῦντας ἡμᾶς.

Τὸ μῦρον τὸ εὐῶδες ἐν γαστρὶ, συνέλαβες, Ἄννα τὴν τὸ μύρον τῆς ζωῆς, ὑπερφυῶς εἰσδεξαμένην τὸν Δεσπότην, τὸν πνοαῖς τῆς χάριτος, τὰς διανοίας ἡμῶν εὐωδιάσαντα.

Θεοτοκίον.

Ὡς ἐκ τῆς Τριάδος ἕνα σε Χριστὲ, δοξάζομεν, ὅτι ἐκ Παρθένου σαρκωθεὶς, δίχα τροπῆς ἀνθρωπικῶς, πάντα ὑπέσχου, μὴ ἐκστὰς τῆς φύσεως, πατρικῆς Ἰησοῦ, εἰ καὶ ἡνώθης ἡμῖν.

Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ.

Πυρφόρον πάλαι βάτον, Μωϋσῆς ἐν Σινᾷ ἣν ἑώρακεν, Ἄννα συνέλαβε γαστρὶ, ἀπαιδίας πῦρ σβεννύουσα, ὡς ἐσύστερον δυσσέβειαν τοῖς μέλπουσιν, ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Ῥανὶς τὴν σὴν νηδὺν, παραδόξως νῦν Ἄννα ἐξέβλυσεν. ἥτις τὸ ὕδωρ τῆς ζωῆς, ὅλον ἔνδον εἰσεδέξατο, τὸ δροσίζον τοὺς πιστῶς αὐτῷ κραυγάζοντας, ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Στρουθίον ὡς ἑώρας, καλιὰν ἀνεπτερώθης Πνεύματι, καὶ προσευχῇ περιστερὰν, ἐκόμισω τὴν ἀμίαντον, κάρφος φέρουσαν Χριστὸν, ἐλαίας Ἄννα ἡμᾶς, κατακλυσμοῦ νοητοῦ ἐλευθεροῦντα.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Κρηπὶς ὑπεστήρικται τῆς σωτηρίας, καὶ βάσις τῆς χάριτος, ἡ τῆς Παρθένου σύλληψις. ἐν ᾗ ὑπὲρ ἁρμονίαν γεννήσεται, τῶν ἡγεμόνων ἡ ἐλπὶς, μελπόντων Χριστῷ διηνεκῶς· εὐλογητὸς εἶ καὶ ὑπερένδοξος.

Τὸ ὄρος τὸ Ἅγιον ἐπαγγελίᾳ, τοῦ κτίστου τὴν ὕπαρξιν, σήμερον προμηνύεται, λαμβάνον καὶ ἅπασαν, κατακαλύπτον τὴν γῆν, τρόπῳ τῆς γεννήσεως. διὸ τὸν εὐεργέτην Χριστὸν δοξάζομεν.

Ἐλύθησαν χάριτι τῆς ἀτεκνίας, οἱ δίκαιοι σήμερον, τῆς Εὔας τῶν τῆς λύπης δεσμῶν, μηνύματα ἔλαβον, ἀπολυτρώσεως. ὅθεν καὶ τὴν ἔκβασιν Χριστὸν, ἐπεκαλοῦντο τὸν τῆς γῆς χορηγόν. Θτ.

Ὁ ὢν ἀπερίγραπτος, ἐν τοῖς ἀχράντοις, κόλποις τοῦ γεννήτορος, ἐν σοὶ Παρθένε ἄχραντε, σαρκὶ περιφέρεται, δι' οἶκτον ἄφατον. ὅθεν καὶ προσίεται γραφὴν, ἐν τῇ εἰκόνι ὁ ὑπεράγαθος.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Σήμερον χιτῶνα νοητὸν ὑφαντὸν ἄνωθεν, ἐκ θείας χάριτος, ἡ Ἐκκλησία σου Κύριε, νύμφη ὥσπερ ἐστολίσατο, καὶ τοὺς οἰκείους συγκαλεῖ, πρὸς εὐφροσύνην λαοὺς, εὐλογεῖτε, πάντα τὰ ἔργα βοῶσα τὸν Κύριον.

Σήμερον ὁ δεύτερος Ἀδὰμ, Χριστὸς ἀνέδειξε, Παράδεισον νοητὸν, Σκηνὴν Ἁγίαν τὴν φέρουσαν, κατὰ ξύλου τοῦ τῆς γνώσεως, τὸ ζωηφόρον τοῦ Σταυροῦ, ὅπλον τοῖς ψάλλουσιν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Δόξα.

Πατρὸς ἐξ ἀνάρχου τὸν Υἱὸν, καὶ Πνεῦμα Ἅγιον, μίαν Θεότητα, τελείαν ἄναρχον ἄκτιστον, ὁμοούσιον ἀσύγχυτον, ἐν ὑποστάσεσι τρισὶ, σέβοντες ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα Παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

Ἄλλος. Ὃν φρίττουσιν Ἄγγελοι.

Δαβὶδ ἣν προέφησε, Βασίλισσαν ἰδοὺ, γαστρὶ ὑποδέχομαι, ἡ Ἄννα ἐκβοᾷ,

καὶ

Digitized by Google

καὶ τέξω τὴν πάντων προστασίαν πιστῶν, τὴν τὸν Βασιλέα, Χριστὸν μέλλουσαν τίκτειν.

Ἡ γῆ ἣν κατῴκησεν, ὁ γῆς δημιουργός, τὸ σκῆπτρον τὸ Ἅγιον, ἡ νέα Κιβωτός, ἡ Στάμνος τοῦ Μάννα, ἐν νηδύϊ μητρός, τῆς αὐτὴν τεκούσης, ἀπάρχεται βλαστάνειν.

Ἡ Βάτος ἡ ἄφλεκτος, Λυχνία ἡ χρυσῆ, ὁ ἔμψυχος Θάλαμος, Κυρίου τοῦ Θεοῦ, ἡ ἔντιμος Ῥάβδος, ἐν γαστρὶ τῆς μητρός, τῆς αὐτὴν τεκούσης, ἀπάρχεται βλαστάνειν.

Θεοτοκίον.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με πολέμησον ἐχθρούς. τρωθέντα ἀτόποις, ἡδοναῖς τὴν ψυχήν, Ἁγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Τί μοι μήτραν ἀπειργάσω ἀτεκνοῦσαν, καὶ μαστοὺς ξηροὺς καθὼς προέφης, ἐν προφήταις Δέσποτα, ἀνεβόα Ἄννα ποτέ. ἀτεκνίας μου τὸ ὄνειδος διάλυσον, καὶ δός μοι καρπόν, μεθ' οὗ βοήσωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπῆλθε τὴν σὴν Ἄννα, μήτραν Λυχνία, τὸ λαμπάδιον ἥτις τὸ θεῖον, μυστικῶς ἐχώρησε, τὸ φωτίσαν πᾶσαν πνοστικήν, φρυκτωρίαις μυστικαῖς, τῆς θείας γνώσεως. διὸ γηθοσύνως ἀνεκραύγαζες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Φέρουσιν ὡς ὡραιότατον νῦν ζεῦγος, θείαν δάμαλιν, ἐξ ἧς ὁ μόσχος, ὁ ὡραῖος ἔλαμψεν ὑπὲρ πάντων σφαγιασθείς, ὁ κλεινὸς Ἰωακείμ, καὶ Ἄννα μέλποντες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Κάμινος ποτέ.

Τύπον τηλαυγῆ, τῆς φύσεως τοῦ γένους, τῆς στειρώσεως ὑπέφηνεν, Ἄννης ὁ πολύτρωσις, ἀπαιδίαν γὰρ στειροῦσα, ὑπὲρ ἐλπίδα λέλυται. ἔγνω γὰρ τὸν Δεσπότην, εὐσεβείας πληθύνει καρπούς.

Ἅρμα τὸ φρικτόν, τοῦ μόνου Βασιλέως, ἐπὶ γῆς κατασκευάζεται, ἐξ Ἄννης λαμβάνον ἀρχήν. ἐν ᾧ μέλλει ἐποχούμενος, ὁ Κτίστης παραγίνεσθαι, ὅπως με πρὸς τὸ ὕψος ἀναβιβάσῃ τῆς χάριτος.

Ἴδεν ἐπὶ σοί, παράδοξα ἡ κτίσις, Θεογεννῆτορ ὑπερένδοξε. ξένη σου ἡ σύλληψις, καὶ ἡ πρόοδος ἐξαίρετος, τοῦ σώματός τε ἅπασα, αὔξησιν γνωρισμάτων, τῆς ἀφθαρσίας ἐμφαίνουσα.

Ὕδωρ τὸ ζωῆς, ἐκ σοῦ Παρθένε βλύσαν, ὁ Ποιητὴς καὶ συνοχεὺς τοῦ Παντός, τῆς πλάνης τῷ καύσωνι, τὸν ἀνθρώπινον φλεγόμενον, ἐδρόσισεν ἡγίασεν, ἔδειξε καρποφόρον, υἱοθετήσας τῇ χάριτι.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Δεῦτε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλαίᾳ διανοίᾳ, τῆς τοῦ Βασιλέως θυγατρός, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, καταμαθόντες μεγαλύνωμεν.

Χαῖρε καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα, σὺν τῷ λαῷ σου κράζουσα. σὲ ζωοδότα μεγαλύνομεν.

Τὴν ἐξ ὕψους ἄμυναν Σωτήρ, τῇ Ἐκκλησίᾳ σου παράσχου. ἄλλον γὰρ οὐκ οἶδεν, εἰμὴ σὲ Θεὸν τὸν ῥύστην, τὸν ὑπὲρ ταύτης πάλαι, τὴν σὴν ψυχὴν προθέμενον, ἐν ἐπεγνώσει σὲ δοξάζουσα.

Θεοτοκίον.

Δέχου τὰς λιτὰς τοῦ λαοῦ σου, πρὸς τὸν υἱόν σου Θεοτόκε, ἱλεωσαμένη εὐμενῶς, ἡμᾶς κινδύνων καὶ περιστάσεων, ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε. σὺ γὰρ προστάτις καὶ ἐλπὶς ἡμῶν.

Ἄλλος. Τὴν ζωοδόχον πηγήν.

Τὴν ζωοδόχον πηγὴν συλλαμβάνουσα, Ἄννα θεόφρον χαρὰν νῦν ἀνέλαβε, τὸν Ναὸν τὸν ἅγιον, ἔνδον ἐν κοιλίᾳ σου, εἰσδεχομένη, φωτὶ δικαιοσύνης, ἀστραπτομένη τὸν Κτίστην μεγάλυνον.

Ἡ ξυνωρὶς ἡ σεπτὴ καὶ ἀοίδιμος τοῦ πρὸ αἰώνος υἱοῦ οἱ προπάτορες, οἱ τοῦ μόνου φύλακες, ἀκριβεῖς γενόμενοι, οἱ ἀπαρ-

χὴν τῆς χαρᾶς γεγεννηκότες, Ἰωακεὶμ τε καὶ Ἄννα τιμάσθωσαν.

Ἣν Δανιὴλ Ὄρος μέγα τεθέαται, καὶ Ἰωὴλ Γῆν ἁγίαν τεθέαται, Πύλην ἀδιόδευτον, ἄλλος δὲ προέφησεν, ἐσφραγισμένην Πηγὴν καὶ θεῖον Πόκον, τὴν Θεοτόκον Παρθένον ὑμνήσωμεν.

Ἡ πορφυρὶς ἡ τὸ ἔριον βάψασα, τῆς ἀποῤῥήτου τοῦ Λόγου σαρκώσεως, τὸ Θυμιατήριον, τὸ χρυσοῦν ἡ Τράπεζα, ἐν ᾗ ὁ ἄρτος Χριστὸς ἐναπετέθη, ἡ Θεοτόκος Παρθένος δοξάζεται.

Ἄλλος. Μυστήριον ξένον.

Χορεύσατε πᾶσαι, ψυχαὶ καὶ σκιρτήσατε. γῆ νῦν πεπλαστούργηται. ἥτις καρπογονεῖ ἀνηρότως, στάχυν ζωηφόρον. ἐξ οὗ οἱ φαγόντες οὐ πεινάσουσι ποτέ, μεγαλύνοντες αὐτοῦ τὴν ἀγαθότητα.

Ψαλτήριον μετὰ κιθάρας ἀνάλαβε, Δαβὶδ καὶ μελῳδήσον. ἰδοὺ Κιβωτὸς ἀνεφάνη, Θεοῦ ἣν προέφης σαφῶς, ἐσομένην εἰς ἀνάπλασιν. δι' ἧς ἐξανέστημεν ἡμεῖς τοῦ παραπτώματος.

Ὡς μέγιστοι δύω, ἀστέρες ἠνέγκατε, τὴν αὐγὴν τὴν πάμφωτον. ἥτις ἐξανατελεῖ τὸν μέγαν, Ἥλιον τῷ κόσμῳ. διὸ εὐφημοῦμεν καὶ δοξάζομεν ὑμᾶς, Ἰωακεὶμ τε καὶ Ἄννα ὡς θεόφρονας.

Ἄλλος. Ἀνάρχου γεννήτορος.

Κροτείτωσαν σήμερον, τῶν Προφητῶν οἱ πρόκριτοι. ἰδοὺ γὰρ αἱ προῤῥήσεις, αὐτῶν τῆς χάριτος, ἄρχονται πληροῦσθαι ἀξίως, ἐν τῇ σεπτῇ, συλλήψει τῆς μόνης, ἁγνῆς Θεομήτορος. ἐν ᾗ πάντες ἀγαλλόμεθα.

Ὁ θρόνος ὁ ἔνδοξος, προτίθεται τοῦ κτίσαντος. ἡ σωτήριος Πύλη, νῦν ἀρχιτεκτονίζεται. μόνη τῷ Δεσπότῃ καὶ Κτίστῃ διαβατή, μόνη τηρουμένη, δι' ἧς εἰσαγόμεθα, εἰς ζωὴν τὴν ἀτελεύτητον.

Ῥημάτων δεήσεως, Ἰωακεὶμ σὺν Ἄννῃ βοᾷ, σὺ ἐπήκουσας μόνος, ὁ ποιητὴς καὶ Θεός, καὶ τῆς ἀτεκνίας τὴν λύσιν, οὐ παραχωρῶν, ῥίζαν ἀφθαρσίας, ἐδωρήσω Κύριε, καὶ ἡμῖν τοῖς σὲ δοξάζουσιν.

Ἡ κλίμαξ στηρίζεται, δι' ἧς ὁ κτίστης Κύριος, καταβὰς ἀνελήψατο, ἀνθρώπων τὴν φύσιν ἡμῶν. χαίροις Οὐρανὲ σὲ Ἄγγελοις. χαῖρε Θεοῦ, ἡ σύμπασα κτίσις. χαίροις τὸ ἀνθρώπινον γένος χάριτι θεούμενον.

Θεοτοκίον.

Ὑμνῶ σου τὴν ἄφατον, φιλανθρωπίαν Δέσποινα. σὺ γὰρ εἶ φωτισμός μου, σὺ μου τὸ καύχημα, σύ μου χορηγὸς τῆς σοφίας, σύ μου χαρά, σύ μου προστασία. σύ μου τὸ ὀχύρωμα, τὸ κραταίωμα καὶ στήριγμα.

Ἐξαποστειλάριον τῶν Ἐγκαινίων.

Ἐν πνεύματι τῷ ἱερῷ.

Ἐν τῷ ἀχράντῳ αἵματι, ἐξηγόρασας Λόγε, πανθαύμαστον καὶ πάντιμον, καὶ σεπτὴν Ἐκκλησίαν, ἐγκαινίσον ἐν Πνεύματι, ἀγαθὲ καὶ κάλλιον, ἀκτῖσι ταῖς θειοτάταις, ὁ τῇ δόξῃ δοξάζων, τοὺς ἀξίως σοῦ Ναοῦ, ἐγκαίνια ἐκτελοῦντας.

Ἕτερον τῆς ἁγίας Ἄννης. Ὅμοιον.

Εἰσήκουσε τοῦ στεναγμοῦ, τοῦ τῆς σώφρονος Ἄννης, ὁ Κύριος ὡς εὔσπλαγχνος, καὶ παρέθετο ταύτῃ, τὴν μόνην ἀπειρόγαμον, τὴν τὸ φῶς ἐκλάμψασαν, τοῖς πέρασιν ἀποῤῥήτως. ἣν ὁ θεῖος καὶ κλεινὸς καθορῶν Ἰωακεὶμ, ἠγάσθη καὶ ἐγεγήθει.

Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ἡ τοῦ Θεοῦ σοφία, οἰκοδομεῖ τὸν ἑαυτῆς οἶκον ἐκ στείρας νηδύος, τῆς Θεοτόκου Μαρίαμ. ἣν μακαρίσωμεν πᾶσαι, αἱ γενεαὶ κατὰ χρέος.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στ. δ. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια. Ἦχος α'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἀπόθεσθε Ἀδὰμ, καὶ Εὔα πᾶσαν λύπην, καὶ μήτηρ τῆς χαρᾶς γὰρ, ἐν στείρᾳ παραδόξως, καρπογονεῖται σήμερον.

Προπάτωρ Ἀβραὰμ, καὶ πάντες Πατριάρχαι, εὐφραίνεσθε ὁρῶντες, τοῦ Θεοῦ τὴν Μητέρα, ἐκ ῥίζης ὑμῶν φύουσαν.

Χαῖρε Ἰωακεὶμ, καὶ Ἄννα χαῖρε ὅτι, χαρᾶς καὶ σωτηρίας, τὴν πρόξενον τῷ κόσμῳ, καρπογονεῖτε σήμερον.

Χο-

Digitized by Google

Χορὸς τῶν Προφητῶν, ἀγάλλεσθε ἰδοὺ γῆ, Ἄρμα καρπὸν ἐκφύει. δι᾽ ἧς αἱ προφητεῖαι, ὑμῶν περαιωθήσονται.

Συγχάρητε φυλαὶ, πᾶσαι τῆς ἱερᾶς Ἄννης. ὅτι καρπὸν κοιλίας, ἐκφύει παρ᾽ ἐλπίδα, ζωῆς ἡμῖν τὴν πρόξενον.

Τὰ πέρατα τῆς γῆς, εὐφραίνεσθε ἰδοὺ γὰρ, τοῦ κτίστου τῶν ἁπάντων, ἡ Μήτηρ ἐξ ἀκάρπου, γαστρὸς φύεται σήμερον.

Δόξα. τῶν Ἐγκαινίων. Ἦχος Πλ. α'.

Ὁ ἐπὶ τῶν κόλπων τῶν πατρικῶν, ἐπαναπαυόμενος Λόγε, τὸ Πνεῦμά σου τὸ ἅγιον, ἐγκαίνισον ἐν τῷ Ναῷ, τῷ εἰς τὸ ὄνομά σου ἀνεγηγερμένῳ.

Καὶ νῦν. Ἦχος β'.

Σήμερον ἐκ ῥίζης τοῦ Δαβὶδ, βασιλικὴ Πορφυρὶς ἐκβλαστήσασα, τῆς Ἰωακεὶμ βλαστοῦσιν ἀπάρχεται, αὐθ᾽ ὅς τὸ μυστικόν. ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξηνθηκεν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

---

Τῇ αὐτῇ Μηνὶ Ι'.

Τῶν Ἁγίων Μαρτύρων, Μηνᾶ, Ἑρμογένους, καὶ Εὐγράφου.

Ἑσπέρας. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμ. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Μάρτυς πανοίδιμε Μηνᾶ, ἐκπελματιζόμενος. καὶ ὀφθαλμοὺς ἐκκοπτόμενος, καὶ ἀφαιρούμενος, θεολόγον γλῶσσαν, ἔφερες στερρότατα, τὰς Θείας ἀντιδόσεις σκοπούμενος. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Ὅμοιον.

Χεῖρας ἐκκοπτόμενος ποδῶν, στέργων τὴν ἀφαίρεσιν, ὁ Ἑρμογένης ὁ ἔνδοξος καὶ κατοπτώμενος, τῷ πυρὶ πλειόνως, ζέσιν τὴν ἐγκάρδιον, ἐδήλου τῷ Θεῷ προσβαλλόμενος, ᾧ καὶ πρέσβευε νῦν, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Μελη συνθλαττόμενοι σοφοὶ, κόλπον πρὸς θαλάττιον, συναπετέθητε Ἅγιοι. μύσος ἐκκρατοῦντι, γαληνὸν πρὸς ὅρμον, τῆς τρυφῆς ἰθύνθητε, βυθίσαντες κακίαν τοῦ ὄφεως. διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα στιχ. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ἀστέρες πολύφωτοι, νοητῶς ἀνατείλαντες, ἐν τῷ τῆς Ἐκκλησίας στερεώματι, πᾶσαν τὴν Κτίσιν φωτίζετε, καλλίνικοι Μάρτυρες, τῶν ἀγώνων τῷ φωτὶ, καὶ θαυμάτων ταῖς λάμψεσιν. ὅθεν σήμερον, τὴν φωσφόρον τελοῦμεν γεγηθότες, καὶ Ἁγίαν ὑμῶν μνήμην, στεφανηφόροι πανόλβιοι.

Καλλικέλαδον ὄρνιν σε, πρὸς τὸ ἄλσος φωνήσαντα, τῶν ἀγώνων ἔνδοξε, καὶ πρὸς μίμησιν, τὸν Ἑρμογένην ἑλκύσαντα, Μηνᾶ καὶ τὸν Εὔγραφον, καὶ σὺν τούτοις τοῦ ἐχθροῦ, διαδράντα τὰ θήρατρα, τὰ πολύπλοκα, καὶ πετάσαντα θείας πρὸς ἐπαύλεις, καλιάς τε οὐρανίους, μεγαλοφώνως γεραίρομεν.

Καὶ χειρῶν πανοίδιμοι, καὶ ποδῶν τε στερούμενοι, κεφαλὰς τεμνόμενοι, καὶ στρεβλούμενοι, καὶ πάσαις ἄλλαις κολάσεσι, καθυποβαλλόμενοι, οὐκ ἠρνήσασθε Χριστόν. οὐ ξοάνοις ἐθύσατε. ἀλλὰ χαίροντες, τῆς ζωῆς τῆς προσκαίρου, πρὸς ἐκείνην, τὴν αἰώνιον καὶ θείαν, μετεβιβάσθητε Μάρτυρες. Ἦχος Πλ. β'.

Ὄντως ἡ γλῶσσά σου, κάλαμος γραμματέως ὀξυγράφου, τερπνοτέρα ἐδείχθη, καλλικέλαδε Μηνᾶ, ῥητορεύουσα σαφῶς πίστιν εὐσεβῆ, καὶ δόγματα σωτήρια. δι᾽ ὧν Θεὸς ἐδοξάσθη, καὶ ὡραῖον κάλλει, τὸν Ἑρμογένην ἀπέφηνας. ὃς τοῦ θείου Βαπτίσματος, διὰ σοῦ τετύχηκε, καὶ τοῦτον συναθλητὴν, καὶ τῶν ἀγώνων κοινωνὸν, σὺν Εὐγράφῳ, τῷ καλῶς ἑπομένῳ σοι, παμμάκαρ ἀπέδειξας. καὶ νῦν ἐν παρρησίᾳ τῷ τοῦ Σωτῆρος θρόνῳ παριστάμενοι, μὴ ἐλλείπητε πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ἦχος ὁ αὐτός.

Ὁμογενὴς ὁμοούσιε, τῷ Πατρί σου καὶ τῷ Πνεύματι, ὁ ἐκ Παρθένου σαρκωθεὶς,



Digitized by Google

θεὶς, ἀσυγχύτως ὡς οἶδας αὐτὸς, ἐν ἁγνείᾳ φύλαττε τὴν ποίμνην σου, ἐν εἰρήνῃ τῇ ὁμονοίᾳ περιέπων αὐτήν.

Σταυροθεοτοκίον. Ἦχος ὁ αὐτός.

Τριήμερος ἀνέστης Χριστέ.

Τὸν ἀμνὸν τὸν ἀμώμητον, ἀδίκως καθηλωθέντα σε, ἐπὶ ξύλου, ἡ Παρθένος καὶ ἁγνὴ, καὶ Μήτηρ σου ὁρῶσα, ὡς Συμεὼν προέφη, τὰ σπλάγχνα Σῶτερ διετέτρωτο.

Εἰς τὸν Στίχ. Στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος Πλ. β'.

Μαρτυρικὴ χορεία, δυσσεβῶν πρόμαχοι, σήμερον πιστοὶ ἀναδείκνυνται, Τυράννων πᾶσαν καθελόντες δυσσέβειαν, Μηνᾶς, Εὔγραφος καὶ Ἑρμογένης οἱ σοφοί. ὅθεν τῆς τρισφώτου συναρίθμοι, Τριάδος ὑπάρχοντες, τῷ γνόφῳ τῆς θείας ἐλλάμψεως καταλαμφθέντες, ταῖς ἀσωμάτοις χορείαις ἀγάλλονται, τῷ Θεῷ καὶ σωτῆρι ἱκετεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θτ. Τριήμερος ἀνέστης Χριστέ.

Ἀγκάλας τὰς ἀχράντους σου, ἐν αἷς Θεὸν ἐβάστασας, Παναγία, ὑφαπλώσασα νυνὶ, σκέπασον ἀπὸ πάσης, ὀργῆς ἡμᾶς βιαίας, ἐλπὶς τοῦ Κόσμου Θεοτόκε Ἁγνή. Ἡ Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενος ἐσάλευσας, τὴν γῆν πᾶσαν μακρόθυμε, τῶν πιστῶν δὲ, ἐπεστήριξας ψυχάς. διὸ καὶ ἀνυμνοῦμεν, καὶ πόθῳ προσκυνοῦμεν, τὴν ἀκατάληπτόν σου δύναμιν. Ἀπολυτίκιον. Ἦχος Πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Αἱ ἐγκρατείας, τῶν παθῶν τὰς πυριφλέκτους, ἀπονεκρώσαντες μορφὰς, καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες, ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν. ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνὰ, ἐκβλύζουσιν ἰάματα. δόξα τῷ μόνῳ σοφῷ, καὶ Κτίστῃ Θεῷ.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν.

Οἱ Κανόνες τῆς Ὀκτωήχ. καὶ τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Σεπτοὺς ἀνυμνῶ μάρτυρας στεφηφόρους. Ἰωσήφ. Ὠδὴ α. Ἦχ. α. Χριστὸς γεννᾶται.

Στεφάνοις δόξης κοσμούμενοι, καὶ θρόνῳ τοῦ Θεοῦ παριστάμενοι, καὶ θείου φωτὸς πληρούμενοι, πόθῳ τὴν φωτοφόρον, μνήμην ὑμῶν, τοὺς ἐπιτελοῦντας, ἀμαυρώσεως παθῶν, Μάρτυρες ῥύσασθε.

Τὴν θείαν στέργοντες εὔκλειαν, Θεοῦ τῆς καλλονῆς ἐφιέμενοι, τοῦ βίου τερπνὰ ἀπώσασθε, πᾶσαν τε δυναστείαν, περιφανῆ, καὶ διὰ θανάτου, ἀτελεύτητον ζωὴν Μάρτυρες εὕραντο.

Ἐνθέῳ ζήλῳ πυρούμενοι, τὸ πῦρ τῆς ἀθείας κατέσβεσαν. καὶ λύχνοι τοῦ φωτὸς πυρσεύοντες, πᾶσι τῆς δυσσεβείας, περιφανεῖς, ὤφθησαν ἐν πίστει, Ἑρμογένης καὶ Μηνᾶς, οἱ μεγαλόφρονες. Θτ.

Προυθεῖναι κόρη παναμώμε, παθῶν ἐπικρατείας τοὺς δούλους σου, τὸν σὸν ἐκτενῶς ἱκέτευε, Κύριον καὶ δεσπότην, ὃν ἐκ τῶν σῶν, πάναγνε αἱμάτων, ἐσωμάτωσας ἡμῖν, προσομιλήσαντα.

Ὠδὴ γ. Τῷ πρὸ τῶν αἰώνων.

Αἴγλῃ οὐρανίῳ, λαμπρυνθέντες οἱ ἅγιοι Μάρτυρες, σκότος διέλυσαν εἰδώλων, τῆς ἀπάτης καὶ φέγγος, ἡμῖν, ἰάσεων ἤστραψαν, τοῖς μελῳδοῦσι τῷ πάντων Θεῷ, Ἅγιος εἶ Κύριε.

Νέκρωσιν τοῦ ζῶντος, ἀντιχνεύων Μηνᾶ πανασίδιμε, ἐκπελματοῦσαι καὶ τὴν κάραν, τοῦ τυράννου συντρίβεις, ἐχθροῦ, ἐρείδων τοὺς πόδας σου, εἰς ἀσφαλῆ μαρτυρίου ὁδὸν, μάρτυς ἀνδρειότατα.

Ὕμνει τὸν Σωτῆρα, Ἑρμογένης τὰς χεῖρας τεμνόμενος, ἱερωσύνης φαιδροτέραν, τὴν στολὴν τῶν αἱμάτων, βαφαῖς, σαφῶς ἐργαζόμενος, καὶ μιμητὴς τοῦ παθόντος σαρκὶ, χάριτι δεικνύμενος. Θτ.

Μόνην γυναιξί σε, τὴν ὡραίαν τῷ κάλλει εὑράμενος, σωματοφόρος ἐκ γαστρός σου, προελήλυθε κόρη, Χριστὸς, θείαις ὡραιότησι, καταφαιδρύνας τὸ γένος ἡμῶν. ὅθεν σε γεραίρομεν.

Κάθισμα. Ἦχος Πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Παρωσάμενοι δόξαν τὴν κοσμικὴν, ἐπτερώθησαν δόξῃ τῇ θεϊκῇ, Μηνᾶς

Ἑρμο-

Digitized by Google

Ἑρμογένης τε, καὶ ὁ ἔνδοξος Εὔγραφος, καὶ προθύμῳ γνώμῃ, τὸν ὄγκον ὑπέμειναν, τῶν δεινῶν βασάνων, σαρκὸς μὴ φεισάμενοι. ὅθεν μετὰ τέλος, εἰς βυθοὺς θαλαττίους, ῥιφέντες ἰθύνθησαν, πρὸς λιμένα οὐράνιον. οἷς ἐν πίστει βοήσωμεν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ἡμῶν.

Ἕτερον. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Μηνᾶς ὁ θαυμαστὸς, ὁ κλεινὸς Ἑρμογένης, ἡ πάνσεπτος δυὰς, τῆς ἁγίας Τριάδος, πολύθεον φρύαγμα, ἀνδρικῶς κατεπάτησαν. καὶ τελέσαντες, τὸν δρόμον ἱερωτάτως, νίκης ἔλαβον, ἐξ Οὐρανοῦ τοὺς στεφάνους, δυνάμει τοῦ Πνεύματος.

Θεοτοκίον. Ὅμοιον.

Τὸν πάντων Ποιητὴν, καὶ Θεόν σου καὶ Κτίστην, πανάμωμε ἁγνὴ, διὰ Πνεύματος θείου, ἐν μήτρᾳ σου ἐχώρησας, καὶ φθορᾶς δίχα τέτοκας. ὃν δοξάζοντες, σὲ ἀνυμνοῦμεν Παρθένε, ὡς Παλάτιον, τοῦ Βασιλέως τῆς δόξης, καὶ Κόσμου ἀντίλυτρον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Καὶ σοῦ τῆς καθαρᾶς, καὶ πανάγνου Παρθένου, διῆλθεν ἀληθῶς, τὴν καρδίαν ῥομφαία, Σταυρῷ ὡς ἑώρακας, τὸν Υἱόν σου ὑψούμενον, Παναμώμητε, εὐλογημένη Μαρία, τὸ προσφύγιον, ἁμαρτωλῶν καὶ τὸ τεῖχος, καὶ Κόσμου κραταίωμα.

Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Νόμους διαγγέλλων φωταυγεῖς, ἀνόμως σου τὰ ὄμματα, ἐκκεντηθεὶς Μηνᾶ ὑπήνεγκας, καρδίας τοὺς ὀφθαλμοὺς, πρὸς τὸ φῶς τὸ ἄδυτον, ἔχων ἐμμελῶς ἀποσκοποῦντας, καὶ μέλπων χαρμονικῶς· δόξα τῇ δυνάμει σου Κύριε.

Ὤφθη σου ἡ γλῶσσα τῷ πυρὶ, τοῦ Πνεύματος σοφώτατε, ἐκτεθηγμένη ἐν τῷ τέμνεσθαι. ἐλάλεις γὰρ κελαδῶν, τοῦ Θεοῦ τὰ θαύματα, καὶ τὴν δικαστοῦ τὴν ἀφωνίαν, μετάγων εἰς δυσσεβῆ, δόξαν ἐμφανῶς τοῦ ποιήσαντος.

Μεγάλως τὸ πάθος καρτερῶν, τοὺς πόδας ἀποτέμνεται, ὁ Ἑρμογένης τὴν τοῦ ὄφεως, καταπατῶν κεφαλὴν, καὶ ὁδὸν στελλόμενος, γνώμῃ ἀκλινεῖ τοῦ Μαρτυρίου, εἰσάγουσαν πρὸς ζωὴν, τῆς ἐπουρανίου λαμπρότητος.

Ἀπλήγωτον τηροῦντι τὴν ψυχὴν, Χριστός σοι ἐπιφαίνεται, σοῦ τὰς πληγὰς Μηνᾶ ἰώμενος, ἀνδρείως τε καρτεροῦντι, σὲ ἐγκελευόμενος. ὅπως διὰ σοῦ τὴν σωτηρίαν, ἔλεος ὁ θελητὴς, πάντων τῶν ἁγίων ἐργάσηται.

Θεοτοκίον.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἀναβλαστήσασα, τὸν φυτουργὸν πάσης τῆς Κτίσεως, μαράναντα τὰ φυτὰ, τῆς ἀκάρπου γνώσεως. πίστιν δὲ ἡμῖν ἀληθεστάτην, φυτεύσαντα εὐσεβῶς, ἄχραντε Παρθένε πανύμνητε.

Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν.

Τί μάτην ταράττῃ, ἐβόων ὁμοῦ, δικαστὴ παράνομε οἱ Μάρτυρες; δύναμιν παρεχόμενος, παρίσταται ἡμῖν, μόνος ὁ ἐν ἰσχύϊ, ἀήττητος ὑπάρχων. ὑπὲρ οὗ τὰς αἰκίσεις, καθυπομένομεν στερρότατα.

Ὑπῆρξεν ἀθρόα, ἡ μεταβολὴ, Ἑρμογένους σαφῶς πρὸς τὸν Κύριον. λουτρῷ γὰρ ἐκκαθαίρεται, καὶ χρίσει θεϊκῇ, τῆς ἀρχιερωσύνης, τὸ φῶς ἀναλαμβάνει, διδαχαῖς καταυγάζων, τοὺς ἐν νυκτὶ δεινῶς ὑπάρχοντας.

Ῥητόρων λιπόντες, ἀδόκιμον νῦν, ἀγραμμάτων πλοκαῖς ἡλιεύθητε, σοφίσαντος τοῦ Πνεύματος, ὑμᾶς ὡς ἀληθῶς, Μάρτυρες καὶ πρὸς πᾶσαν, βασάνων καταιγίδα, δυνατοὺς ἐν ἰσχύϊ, ἐργαζομένου διὰ πίστεως.

Θεοτοκίον.

Ἁγίων Ἀγγέλων, Παρθένε ἁγνὴ, ὑπερέχουσα ὤφθης κυήσασα, βουλῆς μεγάλης Ἄγγελον, Θεὸν Ἐμμανουὴλ, βροτοὺς ἐπουρανίους, αὐτοῦ τῇ καταβάσει, ἐργασάμενον Κόρη, δι' εὐσπλαγχνίαν ἀδιήγητον.

Ὠδὴ ϛ΄. Σπλάγχνων Ἰωνᾶν.

Σώζεις Ἰωνᾶν, θηρὸς τὴν τριήμερον, τυποῦντα ταφὴν σοῦ Παντοδύναμε. τὰ δὲ σώματα, τῶν Μαρτύρων Πελάγει ῥιπτόμενα, ἰθύνεις γαληνότατον, πρὸς ὅρμον τῆς ταφῆς, ἔνθα, σοῦ τὸ θεῖον βούλημα, εἰς ἡμῶν τῶν πιστῶν περιποίησιν.

Σώ-

Digitized by Google

Σώματα ὑμῶν, ἀντίτυποι Μάρτυρες, βυθὸς ἀσινῆ τῇ χέρσῳ δέδωκε, προηγουμένων τε. οὐρανίων Ἀγγέλων μακάριοι, καὶ πᾶσι τὴν κατάθεσιν, δηλούντων τὴν ὑμῶν, οὖσαν ἰαμάτων ἔκβλυσιν, καὶ παθῶν ψυχικῶν ἀπολύτρωσιν.

Μάξιες μυριαί, ὑμῶν κατεπλάγησαν, τὴν ὑπομονήν. ὅπως τὸν ἄσαρκον, μετὰ σώματος, ἐτροπώσασθε δράκοντα Μάρτυρες, καὶ νίκης τοὺς στεφάνους ἀνεδήσασθε, θρόνῳ, Θεοῦ παριστάμενοι, καὶ ταῖς θείαις αὐγαῖς πυρσευόμενοι. Θεοτοκίον.

Ἔστη μέχρις οὗ, Παρθένε ὁ θάνατος. ζωὴν γὰρ Χριστὸν ἐκυοφόρησας, τὸν δωρούμενον, καθαρῶς εἰς αὐτὸν τοὺς πιστεύοντας τὴν ἀθανάτον, καὶ θείαν ἀπολύτρωσιν. τοῦτον, Παναγία αἴτησαι, λυτρωθῆναι πταισμάτων τοὺς δούλους σου.

Κοντάκ. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὡς ἀστέρες λάμποντες, πολυθεΐας τὴν νύκτα, παντελῶς ἐμείωσαν, καὶ τῶν πιστῶν τὰς καρδίας, ηὔγασαν θεογνωσίας φωτὶ καὶ ταύτας, ἔδειξαν Πνεύματος θείου σεπτὰ δοχεῖα. διὰ τοῦτο ἀνυμνοῦμεν, ὑμῶν τὴν μνήμην, Μάρτυρες ἔνδοξοι. Ὁ Οἶκος.

Ὁ χορὸς τῶν Μαρτύρων ὁ ἔνθεος, ὁ Μηνᾶς Ἑρμογένης καὶ Εὔγραφος, ἄλλοι ἄλλως πιστῶς μαρτυρήσαντες, τῶν Τυράννων καθεῖλον τὸ φρύαγμα, καὶ τὰς βασάνους ὑπομείναντες ἐν τοῖς σώμασιν, ἔχαιρον τῷ Πνεύματι, ὡς εὐσεβῶς ὑπὲρ Χριστοῦ πάσχοντες, καὶ τῷ Χριστῷ προσδραμόντες καλοῦντι αὐτούς, ὡς Μάρτυρες ἔνδοξοι.

Ἕτερον Κοντάκ. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ὡς μέγα Χριστοῦ, καὶ τίμιον ὄνομα, ὡς ὅπλον στεῤῥόν, ἐνθέως περιθέμενος, τὸν ἐχθρὸν κατίσχυσας, καὶ τῆς νίκης στέφος ἀπείληφας. ἀλλὰ μάρτυς Μηνᾶ ἔνδοξε, μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν. Ὁ Οἶκος.

Ὕμνοις τὴν σὴν πανήγυριν στέφων ἀθλοφόρε Κυρίου, τοὺς σοὺς ἀγῶνας κροτῶ, καὶ ἀνυμνῶ τὰ παλαίσματα. ὑπὲρ γὰρ μόνου τοῦ πάντων Κτίστου, ὡς χρυσὸς ἐν καμίνῳ ἐδοκιμάσθης. ἀλλὰ τὸν σὸν σταθηρὸν λογισμὸν οὐκ ἐσάλευσε τὸ πλῆθος τῶν παρανόμων. ὅθεν Μάρτυς δειχθεὶς ἀξιάγαστος, ἐδέξω νίκης τὰ ἔπαθλα, ὡς νικήσας τυράννων ὠμότητα, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ Ι΄. Ἄθλησις τῶν Ἁγίων τοῦ Χριστοῦ Μαρτύρων Μηνᾶ τοῦ Καλλικελάδου, Ἑρμογένους, καὶ Εὐγράφου.

Στίχ. Τμηθεὶς ὁ Μηνᾶς κἂν κελαδεῖν οὐκ ἔχει,
Φιμοῖ κελαδῶν δυσσεβείας τὸ στόμα.
Τὴν δυσσέβειαν ἐκπτύσας Ἑρμογένης,
Ὑπῆρξε μάρτυς εὐσεβείας ἐκ ξίφους.
Τὰς ἐκ μαχαίρας Εὔγραφε τρώσεις φέρων,
Ὀξὺς Θεοῦ κάλαμος ὤφθης εὖ γράφων.
Εὐκέλαδος δεκάτῃ Μηνᾶς, ξίφει αὐχένα δῶκεν.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς Βασιλείας Μαξιμιανοῦ. ζητήσεως δὲ γενομένης παρὰ τῶν Ἀλεξανδρέων περί τινων κινηθέντων, ἀπεστάλη Μηνᾶς παρὰ τοῦ Βασιλέως εἰς τὴν αὐτῶν λύσιν. καὶ γὰρ ἐπεπαίδευτο πάσης σοφίας, καὶ πρὸς τοὺς ῥητορικοὺς ἤσκητο λόγους, ἐν Ἀθήναις τὰ πολλὰ διατρίψας, καὶ τῆς ἐκεῖθεν εὐγλωττίας μετεσχηκώς, ἅτε Ἀθηναῖος ὢν καὶ τὸ γένος. Οὗτος παραγενόμενος ἐν Ἀλεξανδρείᾳ, οὐ μόνον εἰς γνῶσιν τῶν κινηθέντων τοὺς Ἀλεξανδρεῖς ἤγαγε, πᾶσαν διαλύσας παρ' αὐτῶν προτεινομένην ἀμφιβολίαν καὶ ζήτησιν, ἀλλὰ καὶ τὸν τῆς κατὰ Χριστὸν πίστεως τὸν λόγον παραδεξαμένους, βεβαιότερον ἀντέχεσθαι ἔπεισε, καὶ πολλοὺς τῶν ἀσθενούντων ἰάσατο. Ὅθεν ὁ Βασιλεὺς περὶ τούτων μαθών, ἀποστέλλει Ἑρμογένην τὸν Ἔπαρχον, ἐντειλάμενος ἀποστῆσαι τὸν Μηνᾶν τῆς τῶν Χριστιανῶν πίστεως, μὴ πειθόμενον δέ, παντοίως αἰκισάμενον ἀπολέσαι. Ὃς τὸν Ἅγιον τῷ ἑαυτοῦ παραστησάμενος βήματι, ἐπεὶ οὐκ ἔπειθεν, ἀλλ' ἀντιλέγοντα τοῦτον ἑώρα, πρῶτον μὲν ἐκπελματοῖ τοὺς πόδας, καὶ τοὺς ὀφθαλμοὺς ἐκκόπτει, καὶ τὴν γλῶτταν τέμνει. Ἐπεὶ δὲ τὰ λωβηθέντα μέρη τοῦ σώματος παραδόξως εἶδε τὴν ἴασιν δεξάμενα, καὶ δύο Ἀγγέλους τὴν τοῦ Ἁγίου Μηνᾶ περισκέποντας κεφαλήν, μεταβαλὼν

λων πιστεύει τῷ Χριστῷ, καὶ παρὰ τοῦ Ἁγίου Μηνᾶ τὸ Βάπτισμα δέχεται, καὶ παρὰ τῶν συνελθόντων Ἐπισκόπων τὸ τῆς ἀρχιερωσύνης λαμβάνει ἀξίωμα. Ταῦτα πυθόμενος ὁ Βασιλεὺς, ἀναζεύγνυσι πρὸς τὴν Ἀλεξάνδρειαν, καὶ τούτους μεταπεμψάμενος, ἐπιχειρεῖ τῆς εἰς Χριστὸν Πίστεως ἀποστῆσαι αὐτούς. Ὡς δὲ πείθειν οὐκ εἶχε, προσέταξε τὴν τοῦ Ἁγίου Ἑρμογένους κοιλίαν λόγχῃ τρωθῆναι, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐκτμηθῆναι, καὶ εἰς ἐσχάραν πυρὸς ἐμβληθῆναι, καὶ τὸ περιλειφθὲν τοῦ σώματος ἐν τῷ Ποταμῷ ῥιφῆναι. Τὸν δὲ ἅγιον Μηνᾶν, ἐν ἀφεγγεῖ τόπῳ ἀναρτηθῆναι, καὶ λίθον βαρύτατον ἐξαφθῆναι αὐτοῦ τῶν ποδῶν. Τούτων δὲ κατὰ τὴν τοῦ Βασιλέως πρόσταξιν τελεσθέντων, διὰ τῆς τῶν Ἀγγέλων θείας δυνάμεως οἱ Ἅγιοι σῶοι διεφυλάχθησαν, καὶ τῷ Βασιλεῖ παρέστησαν, καὶ αὖθις ἀσεβοῦντα τοῦτον διήλεγχον. Ἔνθα ὁ Ἅγιος Εὔγραφος ὑπογραφεὺς ὢν τοῦ Ἁγίου Μηνᾶ, τὸν Χριστὸν ὡμολόγησε παῤῥησιασάμενος, καὶ διεξῆλθε πολλὰ κατὰ τοῦ βασιλέως, αὐτὸν ἐνυβρίζων. Ὁ δὲ Βασιλεὺς, τὴν ἧτταν ἅμα καὶ τὸν ἔλεγχον μὴ φέρων, πλήρης θυμοῦ γεγονὼς, σπασάμενος μάχαιραν, τὸν Εὔγραφον αὐτοχειρὶ ἐξεκέντησε. Συνανῃρέθησαν δὲ καὶ ὁ Ἅγιος Μηνᾶς καὶ Ἑρμογένης μαχαίραις, τῶν ὑπηρετῶν τοῦ Βασιλέως ἐπιθεμένων αὐτοῖς. Ἀπηνέχθη δὲ τὰ τίμια αὐτῶν λείψανα θείῳ προστάγματι, καὶ κατετέθη ἐν τῷ Βυζαντίῳ. ἔνθα νῦν εἰσὶ θαυματουργοῦντες, καὶ σημεῖα ἐργαζόμενοι ἄπειρα.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Γέμελλος, σταυρωθεὶς τελειοῦται.

Στ. Ὑπὲρ Θεοῦ Γέμελλος ἐσταυρωμένου,
Τὴν ἐν ξύλῳ σταύρωσιν, ἀσμένως φέρει.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ Παραβάτου. οὗ τὴν ὁδὸν ποιουμένου διὰ τῆς Ἀγκυρανῶν Μητροπόλεως, στὰς ὁ Ἅγιος κατὰ πρόσωπον, καὶ παῤῥησίᾳ τὸν Χριστὸν ὁμολογήσας, ζώννυται ζώνην σιδηρᾶν πεπυρακτωμένην, καὶ τῷ βασιλεῖ κατὰ τὴν ὁδὸν ἕπεται. Ἐπεὶ δὲ κατέλαβον τὸ τῆς Ἐδέσσης πολίχνιον, τέμνεται ὁ Ἅγιος ἐκ τεσσάρων, καὶ ξύλοις ἀγρίοις αἰκίζεται, καὶ τοὺς ὤμους σιδήροις ἐμπείρεται πυρωθεῖσι, καὶ τηγάνῳ στέατος καὶ ῥητίνης καὶ ἐλαίου μεστῷ σφοδρῶς ἐκκαέντι ἐμβάλλεται, ἄνωθεν ῥάβδοις τυπτόμενος. σιδηρᾶς ἀκίδας ἐχούσαις. καὶ τὴν κεφαλὴν ἥλοις σιδηροῖς καταπείρεται. καὶ τὸ δέρμα τοῦ σώματος προβάτου δίκην ἀποσύρεται. καὶ ἀπολυθεὶς ὑπὸ τὸ πρὸς σωτηρίαν Βάπτισμα λαμβάνει, (ἀμύητος γὰρ ἦν ἔτι.) καὶ ὑγιὴς ὅλος ἀπὸ τοῦ ὕδατος ἀνέρχεται. Τότε καὶ θείας ἤκουσε φωνῆς οὐρανόθεν λεγούσης. Μακάριος εἶ Γέμελλε, ὡς πολλὰ κοπιάσας. Ἔπειτα τῷ βασιλεῖ παραστὰς σταυρῷ ἀναρτᾶται, καὶ ἥλοις τὰς χεῖρας καὶ τοὺς πόδας προσηλοῦται. καὶ οὕτως δεξάμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τὸ δὲ τίμιον αὐτοῦ σῶμα, πιστοὶ ἄνδρες λάθρα καθελόντες ἀπὸ τοῦ ξύλου, κατέθεντο ὑπὸ τὴν γῆν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θωμᾶ τοῦ Δεφουρκινοῦ.

Οὗτος Πατρίδα ἔσχε τὴν εἰς πρόποδας τοῦ Κυμιναίου ὄρους γῆν ἀποφέρουσαν. οἱ δὲ τούτου γεννήτορες, ἰδιῶται τινες, καὶ ἐν αὐταρκείᾳ ζῶντες. Πάντων τε καταφρονήσας, ἔτι σφριγῶν καὶ ἀκμάζων τὴν ἡλικίαν, τὸν τῶν μοναχῶν ἐζήλωσε βίον. εἰωθὼς γὰρ νηπιόθεν, τοῖς σεμνείοις παραβάλλειν σὺν τῷ πατρὶ, ἑνὶ τῶν ἱερῶν καταγωγίων συναρμολογηθεὶς παιδοτρίβῃ, εἰς ἄσκησιν γραμμάτων ἐκδίδοται. Καὶ ἐν ὀλίγῳ τό,τε ψαλτήριον, τοὺς Ἀποστόλων λόγους, καὶ τὴν λοιπὴν ἐκκλησιαστικὴν ἀκολουθίαν διέλαβε. Τὰ μὲν δὴ πρῶτα, τοῦτον εἶχε τὸν τρόπον, καὶ τοῦ κατ᾽ ἀρετὴν βίου τὰ λήϊα ἐντεῦθεν ἀρχὴν τοῦ προκόπτειν εἰλήφασιν. Ἐπεὶ δὲ πρὸς ἡλικίαν ὁ παῖς μετεπλάττετο, τὸ Ἀγγελικὸν ἔνδυμα ἠμφιάσατο, καὶ πρὸς τοὺς κατ᾽ ἐχθρῶν ἀγῶνας ἀμεταστρεπτὶ ἐχώρει, καὶ κάλλος τὸ τῆς ψυχῆς ἀρετῶν τοῖς χρώμασιν ἀναμορφωσάμενος, ὡς εἰκόνισμα θεῖον τοῖς ὁρῶσιν ἐδείκνυτο. Τότε περίδοξός τις τῶν τοῦ Βυ-

Digitized by Google

Βυζαντίῳ Μεγιστάνων, ἐν τῷ πρὸς Σάγγαριν Ποταμῷ, φροντιστήριον ἐδείματο. ὄνομα τῷ ἀνδρὶ, Γαλακτίκης. Καὶ τῷ ἐκεῖσε ἐπισκόπῳ περὶ τούτου κοινολογησάμενος, τῶν ὑπ' αὐτὸν μοναστηρίων ἐλλογίμους ἐπιλέξασθαι ἠξίου, εἰς λειτουργίαν τοῦ ὑπ' αὐτοῦ καινουργηθέντος σεμνείου, καὶ τὸν μακάριον εὐθὺς Θωμᾶν, ὡς περιβόητον ἄνδρα καὶ ἀκριβῆ κανόνα τῆς ἐγκρατείας, ἡγεῖσθαι τῶν συνεληλυθότων ὁ Ἐπίσκοπος συνεβούλευε. Καὶ δὴ ταύτην εὐφυῶς ἐπὶ χρόνους ἰθύνας, ὅσον αὐτὸς ἐκρύπτετο ταπεινούμενος, τοσοῦτον ὡς ποικίλης ἀρετῆς καταγώγιον πᾶσιν ἐγνωρίζετο. Ὡς δὲ λοιπὸν δι' ὄχλου ὑπὸ τῶν παραβαλλόντων ἐγίνετο, ἐδυσχέραινεν ἐπὶ τούτῳ, καὶ τί μηχανᾶται; Περισκοπήσας τῶν ἀδελφῶν τὸν ἐξαίρετον, ἡγεῖσθαι τοῦτον διακελευσάμενος τοῖς λοιποῖς τῶν ἀδελφῶν, αὐτὸς ἐφοδιασάμενος, ταῖς τούτων εὐχαῖς, ὑπώρειαν εὑρὼν ἡσυχίας ἁρμόδιον, μονώτατος ἐν αὐτῇ εἰσοικίζεται. Ἀλλ' ἐπεὶ τὸν νομέα ἐζήτουν τὰ πρόβατα, τοὺς λόφους καὶ τὰς ὑπωρείας οὐκ ἐνεδίδωσαν ἐρευνῶντες, ἕως οὗ πρὸς αὐτὴν τὴν ὑπώρειαν αἴθριον τὸν Πατέρα κατέλαβον. Καὶ τῶν χειμερινῶν νιφάδων τὸ δριμὺ λογισάμενοι, καὶ τῶν θερινῶν καύσεων τὸ φλογῶδες, τὸν Πατέρα ἐξελιπάρουν, ἵνα τί σκληροτέραις ἀγωγαῖς σεαυτὸν λέγοντες καταστρύχεις, μὴ λογισάμενος τῆς ἐκ τοῦ χοὸς ἡμῶν διαπλάσεως τὴν ἀσθένειαν, ὡς ἐν ταῖς δυσκρασίαις ἑτοίμως εἴωθε διαλύεσθαι; Καὶ μόλις ποτὲ τούτων συνθέμενος τῇ βουλῇ, μικρὸν γενέσθαι παρηγγυᾶτο τοῖς μοναχοῖς αὐτῷ καταγώγιον. Καὶ τούτου περαιωθέντος, ἐν τῷ Κυριακῷ μόνος ὑπεισελθὼν, τοῖς γόνασιν ὑποκλίνας ἑαυτὸν πρὸς τὸ ἔδαφος, τοὺς πρὸς τὴν σὴν ἀρέσκησιν Κύριε πρὸς ἡμᾶς τοὺς ἀναξίους ἄνδρας ἀφικέσθαι ἀξίωσον, ἔλεγε. Καὶ δὴ ὡς ἐξ ἀποστολῆς τότε τινὲς πρὸς αὐτὸν εὐλαβέστατοι προσέβαλον κοσμικοὶ, ἀποκείρασθαι δυσωποῦντες, καὶ συνδιάγειν αὐτῷ εἰς ὑπακοήν. Καὶ ὡς πρὸς Κυρίου τούτους ἐληλυθότας, τὴν ἱερὰν στολὴν ἀμφιέννυσι, καὶ ὡς τοὺς πρώτους τῶν μαθητῶν τοῦ Χριστοῦ, τὸν μὲν Ἰωάννην ἐκάλεσε, τὸν δὲ Πέτρον, καὶ σὺν αὐτοῖς τὰς δεήσεις ἐπιπονωτέρας ἐποιεῖτο πρὸς Κύριον. Ἀλλ' οὐκ ἔφερεν ἐπὶ πολὺ ὁ κακοῦργος τῆς κακίας, ὁρῶν τὰς πανουργίας αὐτοῦ καὶ ἐμβολὰς ἡττωμένας. Καὶ δὴ πρῶτον τούτῳ πλῆθος ἐπιρρίπτει κωνώπων, ὡς μήποτε πρὸς βραχὺ ταύτας ὑπενδοῦναι τῷ γέροντι, ἀλλὰ καὶ κοιταζομένῳ, ὡς κώνωπες ἐπετίθεντο τούτῳ, καὶ ἀνισαμένῳ εἰς προσευχὴν, διὰ τῶν χειλέων εἰς τὸν γαργαρεῶνα εἰσέδυνον. οὐδέπου καὶ τὴν βίαν τῆς φύσεως δι' ἀτελοῦς ἐπαρηγόρει τροφῆς, κωνώπων πλῆρες τὸ προσαγόμενον ἦν. Καὶ τούτοις ἐπὶ τρισὶν ὅλοις ἔτεσιν ἐγκαρτερῶν ἦν, ἐν οἷς οὐκ ἐστένα ξεν, ἀλλὰ μᾶλλον εὐχαριστῶν, λύσιν πρὸς Κύριον τῶν ἁμαρτιῶν ἐπεζήτει. Ἀλλ' ὀψέ ποτε τῆς ἀποχῆς τῶν κωνώπων ἐκ Θεοῦ οἰκονομικῶς ἀπαλλαγεὶς, μυῖαι ἀμεγέθεις ἐπανίσταν-ται τῷ Πατρὶ, τὴν ἐκ τῆς ἐγκρατείας αὐτῷ δορρὰν δαπανηθεῖσαν, ὡς ἠκονημένα βέλη κατατιτρώσκουσαι. Ταύτας δὲ πάλιν διαδεξάμενοι μύρμηκες, ἐν τοσούτοις χρόνοις τῷ ἀθλητῇ ἀντιπαρετάσσοντο, ἀδεῶς αὐτῷ κατ' ὀφθαλμῶν καὶ τῶν μυκτήρων ἐπιρριπτόμενοι. Ἀλλ' ἐπεὶ ὥσπερ τινὰ δρῦν τοῦτον ἀμετάβλητον ἔβλεπεν ὁ πειράζων, ὡς ἐπὶ μιᾶς ἡμέρας τὰς ἐπὶ χρόνοις ἐννέα λογισθῆναι τῆς τῶν ἀλγεινῶν ἐπιφορᾶς, ἐπιμανέστερον μᾶλλον αὐτῷ ἐπιτίθεται. Καὶ ἐπεὶ ὁ πανοῦργος οὐ πρὸς τὴν ἐκ πλευρᾶς ἀχθεῖσαν εἶδος ἔχειν τὴν μάχην, ἀλλ' ὡς ἐπ' αὐτὸν τὸν ἐν εἰκόνι καὶ χειρὶ τιμηθέντα Θεοῦ, οὐ μόνον πρὸς συμπλοκὴν τῆς μάχης παρασκευάζεται, ἀλλὰ καὶ πάντας τοὺς σὺν αὐτῷ συναγαγὼν ὄφεις, ἐπεμβαίνει τῷ μακαρίῳ. Εἰπεῖν δὲ πρᾶγμα ὁ λόγος ἐπείγεται, ὡς δυσέφικτον τοῖς πολλοῖς· οὐκ ἦν γὰρ εἶδος ὁράσεως τῷ Πατρὶ, ὃ μὴ μορφὴ ὄφεως αὐτῷ ἐπεφαίνετο. Ἀλλ' ὅπως δήποτε περιφερόμενος ἵστατο, εἴτε χρειωδῶς τῇ ἀφῇ κατελαμβανέτι, ἐν αὐτῷ τῷ σκεύει καὶ ὄφις ἀνεκαλύ-



Digitized by Google

λύπτετο. καὶ τοῦτο οὐχ ἅπαξ ἢ δὶς, ἀλλ' ἐν ὅλοις ἕνδεκα ἔτεσι πειραζόμενος ὑπὸ τῶν ὄφεων, οὐκ ἐνάρκησεν. Ὁσάκις γὰρ αὐτῷ ἀνακλιθῆναι τῇ κατὰ συνήθειαν κλίνῃ ἔδοξεν, ἑκατέρωθεν ὄφεις συνανεκλίνοντο. Ἀλλὰ τούτων ἀβλαβὴς τῇ προμηθείᾳ τῆς προνοίας διεφυλάττετο. τούτῳ ποτὲ τὴν ἀναίμακτον λατρείαν ἐπιτελοῦντι, καὶ ἤδη λοιπὸν πρὸς τὸ τέλος τῆς λειτουργίας λαχόντι, δράκων ἑρπύσας πόθεν φοβερὸς, τὴν κόγχην τοῦ ὀκτηρίου περιεζώσατο, τοῦ συμπονοῦντος δὲ τῷ Πατρὶ ἀδελφοῦ πρὸς τὴν τῆς ἱερουργίας διακονίαν, τότε εἰς τὴν τοῦ ἀκράτου προσκομιδὴν ἐξελθόντος, τῆς κόγχης τὸ θηρίον ἀπορραγὲν, παρὰ τῶν φλιᾷ πεσὸν τῆς εἰσόδου, ὡς βοὸς ξένον ἐδείκνυτο θέαμα. Ὡς δὲ τὸ πρὸς συνῆθες τῶν μυστηρίων συμπεράνας ὁ Ἱερεὺς, τοῦ Διακόνου τὸ εὔκρατον ἐπιχορηγίζοντος ἤσθετο, πρὸς αὐτὴν ἀπιδεῖν βουληθεὶς, ἑώρακει, τὸν μὲν θῆρα τῇ φλιᾷ ἐπικείμενον, τὸν δὲ διακονητὴν ὑπότρομον ἑστῶτα, πλήρης γενόμενος Πνεύματος, εἴσελθε καὶ μὴ διακριθῇς, φήσας τῷ ἀδελφῷ, αὐτὸς ἀπερισπάστως τὴν προσκομιδὴν ἐπετέλει. Τῇ παραθέσει δὲ τοῦ πατρὸς ἐκεῖνος ἀναθαρσήσας, ὡς ὑπόπτερος ὑπερβὰς τοῦ θηρὸς, εἴσεισι πρὸς τὸν καλέσαντα. Καὶ τῆς ἱερᾶς τελεσθείσης μυσταγωγίας, ὁ Ἱερεὺς πρὸς τὸν θῆρα μήπω τὴν στολὴν ἀπαλλάξας, ἀτρέμας ἔξεισι προσειπών. Εἰ πρὸς τὸ τέλος ἔχεις τῇ τοῦ Θεοῦ μου προνοίᾳ ὦ θηρίον, ἐπακολούθει μοι. Καὶ πρὸς τὸ ἄκρον ὁ θὴρ τοῦ φαινολίου ἐπικαταχών, συρόμενος εἵλκετο. καὶ ὡσεὶ τόξου βολὴν ἀποστὰς, καὶ πρός τινα γενόμενος φάραγγα, λόφων ἐξ ἑκατέρων ταύτῃ κειμένων, ἔστη εἰς προσευχὴν πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τελευταῖον προσειπών. ὁ ἐπάνω ὄφεων καὶ σκορπίων τοὺς εἰς σὲ πιστεύοντας πατεῖν εἰρηκὼς, εὐδόκησον κἀμὲ τὸν ἐλάχιστον Κύριε, ἐπὶ τοῦδε τοῦ φάραγγος ἐπάνω τοῦ θηρὸς γενέσθαι κατὰ τὸ ῥῆμά σου. Καὶ ὡς τοῦτο εἴρηκεν, ὑψωθὲν τὸ θηρίον, ὑπὸ τὸ χάσμα κατεσπάσθη. καὶ ἅμα τῷ ἑκάτεροι οἱ βουνοὶ ἐπέπεσον, ὡς τοῦ φάραγγος ἀναγεμισθέντος, πεδιάδα γενέσθαι τὸν τόπον. Ὁ γοῦν γέρων εὐχαριστήσας τῷ Θεῷ, τὸ κελλίον κατέλαβε, καὶ τότε γὰρ ἐξαίσιον τέρας ἐδείκνυτο. Οἱ ὑπὸ τὴν κέλλαν γὰρ ἐμφωλεύοντες ὄφεις, καὶ τὸν ἅγιον ἐπὶ τοσούτοις ἔτεσιν ἐπαλγείναντες, ὡς τοῦτο δεδοξασμένον εἶδον τὸ πρόσωπον, οἷα πυρὸς, μὴ φέροντες τὴν κατάκαυσιν, ἄρδην ἀποδιδράσκουσιν εἰς τὸν τοῦ χωσθέντος δράκοντος τόπον. Θεοῦ προνοίᾳ εἰς πλῆθος ἄπειρον ὄντες, ἀπώλοντο. Πτηνὰ γάρ ποθεν τότε κατὰ τὸν ἀριθμὸν τῶν ὄφεων, ὡς ἐξ ἀποστολῆς ἱπτάμενα, τοὺς τεθνεῶτας ὄφεις κατάβρωμα ποιησάμενα, ᾤχοντο. Ἔκτοτε γοῦν τῶν πειρασμῶν ἀφεθεὶς ὁ Πατὴρ, χάριν ἐκ Θεοῦ προρρήσεων εἴληφε, καὶ μᾶλλον ταῖς σκληροτέραις ἀγωγαῖς ἑαυτὸν προσηρέθιζεν. Ἐπεὶ δὲ τῆς ἡσυχίας ἤρα, ὡς πρὸς αὐτὸν πολλοὺς ἑώρα τοὺς εἰσβάλλοντας, ἐπὶ τὰ ἐρημικώτερα τῶν ὀρέων μεταναστεύειν ᾠήθη. Καὶ τὸν μὲν Ἰωάννην ἡγεῖσθαι τῆς μονῆς διαταξάμενος, τῷ Πέτρῳ τὴν τοῦ διορατικοῦ χάριν προδιεσάφησεν. Οὗ γενομένου, ἡ προφητεία τοῦ Πατρὸς οὐ διήμαρτεν. Ὅμως εἰς ἓν χωρήσαντες τῶν τούτου προρρήσεων, ὡς ἐκ κρασπέδου τοῖς φιλοπονεῖν βουλομένοις καὶ αἱρουμένοις, τὸ ὅλον δείξωμεν ὕφασμα. Τούτῳ ποτὲ ὁ τῶν Ῥωμαίων ἀσεβέστατος ἄναξ Λέων, ὁ τοῦ Βασιλείου υἱὸς, τὸ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀναφυὲν συγγραψάμενος, καὶ σφραγίσας, ἐξαπέστειλε τὴν τοῦ σκοποῦ λύσιν ἐπιζητῶν. Ὡς δὲ τὸν τοῦ γραμματίου Ἄγγελον πρὸς τῇ φλιᾷ τῆς κέλλης ᾔσθετο γεγονότα, ἔξω τοῦτον προσυπαντήσας, ἕτερον τῇ χειρὶ ἐσφραγισμένον ἔχων Πιττάκιον, δέξαι τοῦτο ἀδελφὲ εἶπε, καὶ πρὸς τὸν ἀποστείλαντά σε ὑπόστρεφε. ἐπὶ τούτῳ καταπλαγεὶς ὁ τὸ βασιλικὸν ἐπιφερόμενος γράμμα, ἆρά γε Πάτερ, καὶ σὺ τῷ ἀποστείλαντι ἔφη πρὸς τὴν λύσιν τοῦ ζητουμένου ἐρῶ, ἐπεὶ τὸ προσκομισθὲν οὐκ ἀπείληφας; καὶ ὁ Πατὴρ· ἀρκεῖ τέκνον, ἀρκεῖ. τῷ Θεῷ περὶ τούτου μελήσει. Τότε λαβὼν τὸ Πιττάκιον τοῦ Πνευματικοῦ, πρὸς τὸν ἀπο-

Digitized by Google

προσείλαμπε ἔρχεται. Καὶ δῆλα ποιήσας τὰ ἐπακολουθήσαντα τῷ κρατοῦντι, ἐξέπληξεν αὐτόν. Ὅτε δὲ καὶ τὴν τῆς γραφῆς γεγενημένην ἔκβασιν τῆς τοῦ γέροντος προφητείας ὁ κρατῶν ἐθεάσατο, πάσῃ μηχανῇ ἐζητήσατο θεάσασθαι αὐτόν. Ὁ δὲ ἀφιλόκοσμος καὶ ταπεινόφρων ὤν, ἀντιμηχανησάμενος ἀφανῶς, οὐ συνεχώρησε τοῦτο γενέσθαι. Ἀλλὰ ταῦτα μὲν ὀλίγα, καὶ ἐκ τῶν τούτου μαθητῶν ἐν ἐσχάτοις καιροῖς ἐμάθομεν, ἡμεῖς δὲ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ὁ ἡγιασμένος οὖν Θωμᾶς, ἐπεὶ καλῶς τὰ τῆς ποίμνης διέθετο, τῶν ἐκεῖθεν ἀπάρας, δύσβατον καὶ ἀδιόδευτον χῶρον καταλαβών, ὡς στάδιον μονώτατον ἐν αὐτῷ εἰσοικίζεται, ἀπροΐτως διελθὼν τῶν νηστειῶν τὴν περίοδον. Εἰ δέ τινι τῶν ἀδελφῶν περὶ ψυχὴν ποτὲ συνέβη κινδύνῳ περιπεσεῖν, διὰ μακροῦ τοῦ χρόνου τούτους ἐπισκεπτόμενος, τὰ πρὸς σωτηρίαν ἐδίδου, καὶ πάλιν ὡς εἰς ἀναψυχὴν, εἰς τὸν δύσβατον χῶρον ἀνέτρεχεν. Οὕτως ἐπὶ πλείστους χρόνους διαρκέσας, καὶ ἐν γήρᾳ πίονι γεγονώς, μικρὸν τὸ σῶμα ἀσθενήσας, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν παρέθετο.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζʹ. Οἱ παῖδες εὐσεβείᾳ.

Φωνῆς ἑορταζόντων, καθαρῶς ἔνθα ἦχος ἐξακούεται, ἀγαλλομένῃ τῇ ψυχῇ, ἀθληταὶ κατεσκηνώσατε, θυμηδίας ἐμπιπλάμενοι καὶ μέλποντες. ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ἡδύ μοι ἀνεβόα, Ἑρμογένης ὃν περ θνήσκω θάνατον. ἐμοὶ τὸ ζῆν ἐστὶ Χριστός, τὸ θανεῖν δὲ κέρδος ἄπειρον, ἐκκοπτέσθω μου τὰ μέλη, πόθῳ ψάλλοντος. ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Φρονήσει στερροτάτῃ, τῇ τῶν ζώντων ἑαυτὸν ἐνέγραψας, βίβλῳ ὦ Εὔγραφε σοφέ. κεφαλὴν γὰρ ἀφαιρούμενος, ὡς ἐν ἅρματι τῷ σῷ ἐπέβης αἵματι, καὶ πρὸς ἀμέσωτερον φῶς μετεβιβάσθης. Θτ.

Οὐ φλέξας σου τὴν μήτραν, οὐ σαλεύσας Παρθενίας σήμαντρα, ὁ σαρκωθεὶς Λόγος ἐκ σοῦ, προελήλυθε παρέχων ἡμῖν, ἀφθαρσίαν καὶ ζωήν, κόρη τοῖς μέλπουσιν. ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ηʹ. Θαύματος ὑπερφυοῦς.

Ῥήγνυται σοῦ πρὸ ποδῶν ὁ ματαιόφρων, συμπατούμενος Μηνᾶ θεόφρων. ὀφθαλμοὺς στερήσας γάρ σου καὶ γλώττης, τὸν λογισμὸν οὐκ ἐσάλευσε τῆς στάσεως τῆς κρείττονος. διὸ γηθοσύνως ἀνεκραύγαζες· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὅτι τῇ ὠμοτάτῃ προαιρέσει, ἑκατέρων χειρῶν καὶ ποδῶν σου, δίκας ἧς ἐστέρησεν ὁ παράφρων, τότε σοφέ, τῶν βραβείων ἐφιέμενος Ἑρμόγενες, Χριστῷ ἐμελῴδεις ἀγαλλόμενος· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὑμνῶ σου Μηνᾶ τοὺς θείους ἄθλους. τιμῶ Ἑρμογένους τοὺς ἀγῶνας. προσκυνῶ τὰ λείψανα. ἀναμέλπω τοὺς αἰκισμούς, τὰ δεσμὰ τοὺς διωγμούς τε καὶ τὰς μάστιγας. δι᾽ ὧν πρὸς ζωὴν βοῶντες ἤρθητε, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας. Θτ.

Στάμνον σε τὸ μάννα κεκτημένην, τῆς θεότητος ἔγνωμεν Κόρη, Κιβωτὸν καὶ Τράπεζαν, Λυχνίαν, Θρόνον Θεοῦ, καὶ Παλάτιον καὶ Γέφυραν μετάγουσαν, πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Τύπον τῆς ἁγνῆς.

Ἴδε, φωταυγὴς πανήγυρις, φωτοειδῶν μαρτύρων πᾶσιν ἐξέλαμψε, καταυγάζουσα τῆς οἰκουμένης τὰ πέρατα, καὶ ψυχῶν ἀβλεψίαν ἐξαίρουσα. προσέλθωμεν προθύμως, ἁγιασμὸν ἀπαρυσώμεθα.

Ὧνπερ, ἀγαθῶν ἐτύχετε, ἐπουρανίων δόξης, ἧς ἠξιώθητε, πίστει τὴν φαιδρὰν, μνήμην ὑμῶν τοὺς γεραίροντας, ὡς Θεῷ παραστάμενοι πάντοτε, τυχεῖν ἐκδυσωπεῖτε, μεγαλομάρτυρες δεόμεθα.

Σῶμα, καὶ ψυχὴν προσήξατε, τῷ Ποιητῇ τῶν ὅλων θυσίαν ἄμωμον, ὁλοκαυτωθέντες, τῷ πυρὶ τῶν κολάσεων, καὶ Μαρτί-

Digitized by Google

τύρων χοροῖς ἠριθμήθητε, φωτὶ ἀκραιφνεστάτῳ, καταλαμπόμενοι θεόφρονες.

Ηὔρεθη, πρὸς μονὰς σκηνώμενος, φωτοειδὴς, Μαρτύρων χορὸς ὁ ἔνθεος, καὶ παρίσταται Πατρὶ Υἱῷ τε καὶ Πνεύματι, ἀπολαύων τρανῶς τῆς θεώσεως, Μηνᾶς σὺν Ἑρμογένει, καὶ τῷ Εὐγράφῳ οἱ θεόφρονες. Θεοτοκίον.

Φέγγος, ἀστραπῆς τοῦ τόκου σου, ἡ ἀπωσθεῖσα φύσις ἡμῶν Παρθένε, εἶδε καὶ νυκτὸς τῆς ἀγνωσίας λελύτρωται, καὶ παθῶν τῆς σκοτώδους συγχύσεως. διό σε ὡς αἰτίαν, τῆς σωτηρίας ἡμῶν σέβομεν.

Ἐξαποστειλ. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ρητορικοῖς σου λόγοις, καὶ θείοις θαύμασι Μηνᾶ, συναθλητὴν ἐπεσπάσω, τὸν ἱερὸν Ἑρμογένην. μεθ᾽ οὗ σε σὺν τῷ Εὐγράφῳ, περιχαρῶς εὐφημοῦμεν.

Θεοτοκίον. Ὅμοιον.

Θεοκυῆτορ Μαρία, τῶν γηγενῶν εὐκλήρια, ἁμαρτωλῶν προστασία, Χριστιανῶν ἐλπὶς μόνη, Κόσμου παντὸς σωτηρία, ῥῦσαι πυρὸς ἀπειλῆς με.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἔβλεψας Θεοτόκε, τὸ πάθος τὸ τοῦ Υἱοῦ σου, περιπαθῶς ἀνεβόας, δακρυρροοῦσα ἀπαύστως. τί σοι ἀπέδωκε τέκνον, ὁ δῆμος τῶν ἀχαρίστων; ἀλλ᾽ ἀνυμνῶ σου τὸ κράτος.

Εἰς τὸν σ. π. τῆς Ὀκτωήχου.

Δόξα. Ἰδιόμελον. Ἦχος Πλ. β΄.

Πάλιν ἡμῖν ἡ ἐτήσιος μνήμη τῶν τοῦ Κόσμου φωστήρων ἐξέλαμψε, Μηνᾶ τε Ἑρμογένους καὶ Εὐγράφου, τῶν πιστῶν τὰς καρδίας φωτίζουσα, τοῖς ὑπὲρ Χριστοῦ, διὰ Σταυροῦ αὐτῶν ἀγωνίσμασι. Διὸ τῷ ἐν δόξῃ καὶ τιμῇ στεφανώσαντι αὐτοὺς, Χριστῷ τῷ Θεῷ ἡμῶν, τὸν ὕμνον προσάξωμεν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Ὁ αὐτός.

Τριήμερος ἀνέστης Χριστέ.

Ἐν ξύλῳ προσπαγέντα σε, Χριστὲ ἡ σὲ κυήσασα, κατετιτρώσκετο, τὴν καρδίαν γοερῶς, βοῶσα ὦ Υἱέ μου, ἀνάστηθι ἐν τάχει, ὅπως ὑμνήσω σου τὴν ἔγερσιν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Ἰστέον, ὅτι ἀπὸ τῆς ἑνδεκάτης τοῦ ἐνεστῶτος μηνὸς καὶ ἐφεξῆς, ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ Κυριακὴ, ψάλλεται ἡ Ἀκολουθία τῶν Ἁγίων Προπατόρων.

---

## Τῷ αὐτῷ Μηνὶ ΙΑ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δανιὴλ τοῦ Στυλίτου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ϛ. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος Πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι;

Τί σε Δανιὴλ ὀνομάσωμεν; ἀσκητὴν ὅτι τὰ πάθη, καθυπέταξας τῷ νῷ. ἀθλητὴν ὅτι πρὸς πᾶσαν, ἐκαρτέρησας ποινήν. πρὸς ὕψος, ἀπὸ γῆς στύλον αἰρόμενον, ἐν πέτρᾳ, ἀληθείας ἑδραζόμενον, ἀγωνιστὴν προθυμότατον, καὶ Ἰατρὸν ἐμπειρότατον, ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε Δανιὴλ προσφθεγξώμεθα; τῶν παθῶν ἐκριζωτὴν, καὶ φυτοκόμον ἀρετῶν, ἀληθῆ θαυματουργὸν, καὶ πρεσβευτὴν ἁμαρτωλῶν. Πατέρα, ἐλατῆρα γενναιότατον, φωστῆρα, ἀσεβείᾳ διαλάμποντα. τοῦ Πνεύματος καταγώγιον, τῆς Ἐκκλησίας ὑπέρμαχον. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε Δανιὴλ νῦν καλέσωμεν; Μοναστῶν ὑπογραμμὸν, καὶ ἐγκρατείας παιδευτὴν. ἐγκαλλώπισμα πιστῶν, καὶ ἰαμάτων αὐτουργόν. λυχνίαν, τοῖς ἐν σκότει φῶς αὐγάζουσαν. Ἀγγέλων, συμπολίτην καὶ ἰσότιμον. τοῦ Παραδείσου οἰκήτορα, καὶ ἐπουράνιον ἄνθρωπον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. α΄ Τοῦ Στουδίτου.

Τὸ ἐμπιστευθέν σοι τάλαντον παρὰ Χριστοῦ, καλῶς ἐργασάμενος Ὅσιε Πάτερ, ἀνεδείχθης καὶ μετὰ θάνατον, δαιμόνων φυγαδευτὴς, καὶ ἰατὴρ ποικίλων ἀῤῥωστημάτων, στύλος καὶ ἑδραίωμα, καὶ ὅρος Ἅγιον, τῆς

Digitized by Google

τῆς Ἐκκλησίας τοῦ Χριστοῦ. διό σε ἱκετεύομεν, Δανιὴλ θαυματουργέ, τὴν εἰρήνην αἰτῆσαι, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτ. Ἦχος ὁ αὐτός.

Ἡ Κεχαριτωμένη, μεσίτευσον ταῖς δεήσεσι, καὶ αἴτησαι ταῖς ψυχαῖς ἡμῶν, πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμόν, τῶν πολλῶν παραπτωμάτων δεόμεθα.

Σταυροθεοτοκίον. Ἦχος ὁ αὐτός.

Χαίροις ἀσκητικῶν.

Πάθος σου τὸ σεπτὸν ἡ σεμνή, καὶ πανυπέραγνός σου μήτηρ μακρόθυμε, παντάναξ ἑωρακυῖα, δακρυρροοῦσα πικρῶς, καὶ τὰ στήθη τύπτουσα ἐκραύγαζεν· Ἰησοῦ μου γλυκύτατε, πρόσφθεγμά μοι σωτήριον, φῶς παντὸς Κόσμου, θεῖε Ἥλιε ἄδυτε, πῶς ἐν ξύλῳ σε, σταυρικῷ νῦν κρεμάμενον, οἷα κακοῦργον βλέπουσα, καὶ λόγχῃ τὴν ἄχραντον, φεῦ μοι πλευρὰν τετρωμένον, καθυπομείνω καὶ ζήσομαι, Υἱὲ καὶ Θεὲ μου, εἰ μὴ λάμψει μοι τὸ φῶς σου, τῆς ἀναστάσεως;

Εἰς τὸν Στ. Στ. τῆς Ὀκτωήχου.

Ἀπολυτίκιον. Ἦχος α΄.

Ὑπομονῆς στύλος γέγονας, ζηλώσας τοὺς προπάτορας Ὅσιε. τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν ἀσωμάτων πολιτείαν, ὑπάρχων ἐν σώματι, Δανιὴλ Πατὴρ ἡμῶν Ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη Στιχολογίαν. Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Ὕμνοις ἀνευφημῆσαι, μέλλοντι τὴν μνήμην σου μακάριε, φωτοφόρον μοι αἴγλην, Δανιὴλ οὐρανόθεν κατάπεμψον.

Μέγας Ἥλιος ὄντως, Πάτερ ἐξανέτειλας τοῖς πέρασιν, ἀρετῶν δαδουχίᾳ, καταυγάζων πιστῶν τὰ συστήματα.

Νόμοις τοῖς τοῦ Δεσπότου, Πάτερ καθυπείκων ἀπενέκρωσας, ἐγκρατείᾳ τὴν σάρκα, καὶ ὑπέταξας ταύτην τῷ Πνεύματι.

Θεοτοκίον.

Ὅλος ἄνθρωπος ὤφθη, μείνας ὅπερ ἦν καὶ μετὰ σάρκωσιν, ὁ ἐκ σοῦ Θεοτόκε, γεννηθεὶς ἀναλλοίωτος Κύριος.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ῥάβδῳ τῆς ἐγκρατείας, τὴν τῶν παθῶν θάλασσαν, Πάτερ διαρρήξας, διέβης ἀκαταπόντιστος, καὶ ὄρος ἔφθασας, τῆς ἀληθοῦς ἀπαθείας, καὶ Θεῷ ὡμίλησας νοῦ καθαρότητι.

Ἀνελθὼν εἰς τὸ ὕψος, τῶν ἀρετῶν γνώριμος, γέγονας τῷ Κόσμῳ, ἐν στύλῳ μένων μετέωρος, καὶ τῇ λαμπρότητι, τῶν παραδόξων θαυμάτων, καταυγάζων πίστει σοι, τοὺς προσέρχοντας.

Ἱδρυμένος ἐν πέτρᾳ, τῆς τοῦ Θεοῦ γνώσεως, πάσαις μεθοδείαις, δαιμόνων ὤφθης ἀκλόνητος. στύλῳ τὸ σῶμά σου, ἐπὶ τῆς γῆς ἀνυψώσας, τὴν ψυχὴν ἐπτέρωσας, πρὸς τὰ οὐράνια.

Θεοτοκίον.

Ῥῦσαι τῆς τῶν παθῶν με, ἐπαγωγῆς Δέσποινα. καὶ τοὺς πολεμοῦντας, ἐχθρούς με νῦν ἐκπολέμησον. στήριξόν πέτρᾳ με, τῶν τοῦ Θεοῦ θελημάτων. τὴν ψυχήν μου φώτισον, Πύλη τοῦ θείου φωτός.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐγκρατείᾳ καὶ πόνοις καὶ προσευχαῖς, τὴν ψυχήν σου κοσμήσας θεοπρεπῶς, γέγονας συμμέτοχος, τῶν Ἀγγέλων μακάριε, καὶ τῶν θαυμάτων ὄντως, χαρίσματα ἔλαβες, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει τιμώντων σε. ὅθεν καὶ δαιμόνων, ἀπελαύνεις τὰ πλήθη, καὶ παρέχεις ἰάματα, τοῖς ἀνθρώποις μακάριε. Δανιὴλ ἀξιάγαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτ. Ὅμοιον.

Τὴν Βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν μητέρα τοῦ πάντων Δημιουργοῦ, ἐν φωναῖς μεγαλύνωμεν, καὶ ὑμνοῦντες βοήσωμεν· ἡ τῆς χαρᾶς αἰτία, Παρθένε πανύμνητε, τοὺς τιμῶντάς σε σῶζε, καὶ σκέπε πρεσβείαις σου, ἐκ πειρασμῶν παντοίων, καὶ νόσων καὶ θλίψεων. ἔχεις γὰρ ὡς μήτηρ, τοῦ Θεοῦ παρρησίαν, οἰκτείρειν καὶ δίδοναι, νοσημάτων τὴν ἴασιν, καὶ σφαλμάτων συγχώρησιν. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι συγγνώμην τοῖς δούλοις σου.

Σταυ-

Digitized by Google

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρικὸν καθορῶσα πάθος σεμνὴ, τοῦ Υἱοῦ καὶ Θεοῦ σου σπλάγχνα πικρῶς, σπαράττουσα ἔκραζες, ὀλολύζουσα Πανάγνε. πῶς ἑκὼν ἐτάθης, καὶ θάνατον Δέσποτα, σαρκικὸν ἐδέξω, φρικτὸν ὄντως ἄκουσμα. ὅθεν ἀνυμνῶ σου, τὸ ἀπόρρητον Σῶτερ, καὶ ἄφραστον βούλημα, ὅτι σῶσαι ἐλήλυθας, τὸ πλανώμενον πλάσμα σου. ἀλλ' ἀνάστηθι πλήρωσον, νῦν χαρᾶς τὴν καρδίαν μου, καὶ μὴ ἐάσῃς μόνην με Λόγε, τῇ ἀθυμίᾳ βαπτίζεσθαι, ὁ πληρώσας χαρᾶς, τὴν ὑφήλιον ἅπασαν.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ὡς φωταυγῆ, Ἥλιον Πάτερ ἀοίδιμε, ἐπὶ στύλου, λάμποντα τεθέασαι, τὸν τοῦ Θεοῦ, δοῦλον Συμεὼν, καὶ ταῖς πηγαζούσαις, ἐκ τούτου θείαις λαμπρότησιν, ἐνθέως κατηυγάσθης, Δανιὴλ καὶ κατ' ἴχνος, τῆς αὐτοῦ πολιτείας ἐβάδισας.

Δαιμονικὰς, φάλαγγας ὅπλῳ τῆς πίστεως, ἐτροπώσω, ῥείθροις τε κατέκλυσας, τῶν προσευχῶν, λύμην τῶν αὐτῶν, Πάτερ ἀναστείλας, ἣν ἐνεποίουν τοῖς πλέουσι. καὶ ἔσωσας τοὺς πίστει, τῷ Χριστῷ μελῳδοῦντας, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἐμαστηλῶν, Πάτερ σαυτὸν Παμμακάριστε, ὁλονύκτως, ἵστασο ὡς ἄσαρκος, ἀμετεώριστον τῆς ψυχῆς, ὄμμα κεκτημένος, καὶ καθαρὸν ὥσπερ ἔσοπτρον, τοῦ Πνεύματος τὴν αἴγλην, καὶ τὰς θείας ἐμφάσεις, καθαρᾷ διανοίᾳ δεχόμενος.

Θεοτοκίον.

Νόμοι ἐν σοὶ, φύσεως καινοτομοῦνται. Νομοδότην, Λόγον γὰρ ἐγέννησας, ὑπὲρ αἰτίαν ὡς ἀληθῶς, Πανάγνε καὶ Λόγον, τῆς ἀλογίας ῥυσάμενον, τὸ γένος τῶν ἀνθρώπων, τῶν πιστῶς μελῳδούντων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Ἵνα τῆς ἀθανάτου, δόξης ἐπιτύχῃς σαρκὸς ἐθανάτωσας, τὰς ὀρέξεις Πάτερ, καὶ παθῶν τὰς ὁρμὰς ἐχαλίνωσας, ἐγκρατείας πόνοις, καὶ Ποταμὸς θαυμάτων ὤφθης, καὶ Πηγὴ ἰαμάτων ἀοίδιμε.

Ἣν διώδευσε τρίβον, Πάτερ ἐπὶ γῆς Συμεὼν ὁ θαυμάσιος, ἐν ἐκστάσει μάκαρ, γενομένῳ σοι ὤφθη δεικνύων σοι, σὺν δυσὶν Ἀγγέλοις, δεῦρο βοῶν, καὶ στῆθι πρός με, πρὸς Θεὸν ἀνυψούμενος χάριτι.

Λαμπρυνόμενος αἴγλης, Πάτερ ἀνεσπέρου, καὶ θείας ἐλλάμψεως, τῶν δαιμόνων ζόφον, καὶ παθῶν τὴν ὀμίχλην ἐδίωξας, καὶ ὡράθης στύλος, φωτοειδὴς καὶ κλίμαξ ὄντως, πρὸς Θεὸν τοὺς πιστοὺς ἐπανάγουσα.

Θεοτοκίον.

Τὸν Δεσπότην τεκοῦσα, ὤφθης ὑπερτέρα, τῶν ἄνω Δυνάμεων, καὶ βροτῶν τὴν φύσιν, ἐθεούργησας μόνη Πανύμνητε. Θεοτόκον ὅθεν, παναληθεῖ ψυχῇ καὶ γλώσσῃ, οἱ πιστοί σε Παρθένε δοξάζομεν.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ὁ νοῦς σου τῇ πρὸς Θεὸν, ἐγγύτητι λαμπρυνόμενος, ἀνάλωτος ἡδονῶν, πυρὶ Πάτερ ἔμεινε, καὶ παθῶν ἀνώτερος, καὶ τῆς πρὸς τὸ σῶμα, προσπαθείας ὑψηλότερος.

Ναμάτων ζωοποιῶν, τῶν χαρισμάτων τοῦ Πνεύματος, πλησθεῖσά σου ἡ ψυχὴ, Θεόφρον Πανόλβιε, Ποταμοὺς ἀνέβλυσεν, ἰαμάτων ὄντως, ὀχετοὺς παθῶν ξηραίνοντας.

Θεοτοκίον.

Σὲ προστασίαν πιστοὶ, καὶ Τεῖχος πάντες κεκτήμεθα, οἱ ἐν βυθῷ τῶν κακῶν, καὶ σάλῳ τῶν θλίψεων, ἀεὶ κινδυνεύοντες, Θεοτόκε μόνη, τῶν βροτῶν τὸ καταφύγιον.

Κοντάκιον. Ἦχος Πλ. δ'.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὥσπερ ἀστὴρ πολύφωτος, σὺ ἀναβὰς μακάριε ἐπὶ στύλου, τὸν Κόσμον ἐφώτισας, καὶ τοῖς ὁσίοις ἔργοις σου, καὶ τὸ σκότος τῆς πλάνης ἀπεδίωξας Πάτερ. διὸ δεόμεθά σου καὶ νῦν, ἐπίλαμψον ἐν ταῖς καρδίαις τῶν δούλων σου, τὸ ἄδυτον φῶς τῆς γνώσεως.

Ὁ Οἶκος.

Ἡ ᾠδὴ ῥυπαρὰ πρὸς τὴν αἴνεσιν τῶν ἀγώνων σου Πάτερ πέφυκεν. οὐ γὰρ ἔχω ἁγνὴν τὴν καρδίαν μου. καὶ γὰρ ταύτην αἰσχρῶς κατεμόλυνα. ἀλλά μοι δίδου λόγον ἅγιε. καθαρῶς ἀνυμνῆσαι τὴν σὴν πολιτείαν, ἣν ἐθαύμασαν ὄντως καὶ Ἄγγελοι.



Digitized by Google

καὶ γὰρ γέγονας ὥσπερ ἀσώματος, εἰληφὼς τὸ ἄδυτον φῶς τῆς γνώσεως.

Τῷ αὐτῷ Μηνὶ ΙΑ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν, Δανιὴλ τοῦ Στυλίτου.

Στίχ. Καὶ γήϊνον πᾶν, ἀλλὰ καὶ γῆν ἐκκλίνων,
Οἰκεῖ Δανιὴλ πρὶν στύλον καὶ νῦν πόλον.
Ἐνδεκάτῃ Δανιὴλ στυλοβάμων εὕρατο τέρμα.

Οὗτος γέγονεν ἐπὶ Λέοντος τοῦ μεγάλου Βασιλέως τοῦ Βέσσου, ἀπὸ Μεσοποταμίας ὁρμώμενος, τῆς ἐνορίας Σαμοσάτων, ἐκ Κώμης Βιθαρᾶ καλουμένης, ἐκ πατρὸς Ἠλία, καὶ μητρὸς Μάρθας ἀποτεχθείς. μετὰ δὲ τὸν πέμπτον χρόνον τῆς ἡλικίας αὐτοῦ, παρὰ τῶν γεννητόρων ἔν τινι εἰσήχθη Μοναστηρίῳ καὶ ἐν τῇ ἀσκητικῇ πολιτείᾳ διέπρεψε. Καὶ παρεγένετο πρὸς τὸν Ὅσιον Συμεὼν τὸν Στυλίτην, ἤδη προκόψας ἐν τῇ ἀσκήσει, καὶ παρ' αὐτοῦ εὐλογήθη. Κατὰ δὲ θείαν ἀποκάλυψιν ἦλθεν ἐν τοῖς τῆς Θράκης μέρεσι, πλησίον τοῦ Βυζαντίου, ἐν τῷ Ἀνάπλῳ. ἔνθα καθεῖρξεν ἑαυτὸν ἔν τινι εἰδωλικῷ ναῷ, πολλοὺς πειρασμοὺς παρὰ τῶν δαιμόνων ὑποστάς. Εἶτα κίονι ἐπέβη, πολλὴν ἐν αὐτῷ ἐπιδειξάμενος ἄσκησιν καὶ καρτερίαν, καύματι καὶ ψύχει, καὶ ταῖς τῶν ἀνέμων ἐκκαιόμενος προσβολαῖς. Πολλὰ οὖν θαύματα κατειργάσατο, ὡς διαφημισθῆναι τὴν ἀρετὴν αὐτοῦ παρά τε τῷ Βασιλεῖ Λέοντι, καὶ τῷ μετ' αὐτὸν Ζήνωνι, καὶ τῷ τυραννήσαντι Βασιλίσκῳ. οἳ καὶ παραγενόμενοι, προσεκύνησαν τὸν Ἅγιον, καὶ προθεσπίσας αὐτοῖς περὶ τῶν συμβησομένων, καὶ τῇ ἁγίᾳ Ἐκκλησίᾳ ὑπὸ τῶν αἱρετικῶν πολεμουμένῃ βοηθήσας, καὶ ὁσίως καὶ ἀμέμπτως τὸν βίον διατετέσας, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Ἀνάπλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λουκᾶ, τοῦ νέου Στυλίτου.

Στίχ. Πρὸς ὕψος ἀνήνεγκε τὸν Λουκᾶν στύλος.
Λουκᾶς δὲ τὸν νοῦν, πρὸς Θεὸν πρὸς ὃν τρέχει.

Οὗτος ἦν ἐν τοῖς χρόνοις τῆς Βασιλείας Ῥωμανοῦ τοῦ γέροντος, καὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, καὶ Γαμβροῦ αὐτοῦ υἱοῦ Λέοντος τοῦ σοφωτάτου, ἐκ γῆς ἀνατολῶν ὁρμώμενος, υἱὸς Χριστοφόρου, καὶ Καλῆς. Ὅτε δὲ κατὰ Βουλγάρων πόλεμος ἐκινήθη, τότε καὶ τοῦτον εἷλκεν εἰς τὴν ἐκστρατείαν ἡ τῶν κρατούντων πρόσταξις. Συῤῥαγέντος δὲ τοῦ πολέμου, καὶ ἀνυποστάτου γενομένου, καὶ πολλῶν μυριάδων καταπεσουσῶν, αὐτὸς θείᾳ προνοίᾳ περισωθείς, τὸν μονήρη βίον ὑπέρχεται, καὶ τῇ ἀσκήσει προκόψας, χειροτονεῖται πρεσβύτερος. καὶ σιδηρᾶ περιβάλλεται καταστεύχων τὸ σωμάτιον, καὶ ἑξαήμερον νηστείαν σχολάζει, μηδὲν ἕτερον παρὲξ τῆς προσκομιζομένης αὐτῷ προσφορᾶς, καὶ λαχάνων ὠμῶν ἐσθίων. Καὶ ἐπὶ στύλον ἀναβάς, καὶ τρεῖς ἐν αὐτῷ διαρκέσας χρόνους, θείας αὐτήκοος φωνῆς γεγονώς, καὶ τῷ καλέσαντι ἑπόμενος, καταλαμβάνει τὸν Ὄλυμπον, λίθον, οἷά τινα κημὸν ἐκούσιον, ἐμβαλὼν τῷ στόματι. Καὶ ἐν τῇ Βασιλίδι τῶν πόλεων ἔρχεται, κἀκεῖθεν ἐπὶ τὴν Χαλκηδόνα διαβαίνει. Ἐν ᾗ προσεπιβὰς κίονι, θαυμάτων μεγίστων αὐτουργὸς γέγονε, τεσσαράκοντα πέντε χρόνους διηνυκὼς ἐν τῷ κίονι. Καλῶς οὖν ἀγωνισάμενος, πρὸς Κύριον ἐξεδήμησε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ἀκεψεῆ καὶ Ἀειθαλᾶ.

Στίχ. Ἀκεψεῆν βλέπων με πάσχοντα ξίφει,
Ἀειθαλᾶ ζήλωσον ἐζήλωσά τε.

Οὗτοι ὑπῆρχον ἐκ Περσίδος. Ἦν μὲν οὖν ὁ Ἀειθαλᾶς τῶν εἰδώλων Ἱερεύς, ἐπέγνω δὲ τὴν εἰς Χριστὸν πίστιν, ἐκ τοῦ μόνον ἐνθυμηθῆναι πρὸς τὸν Ἐπίσκοπον τῶν Χριστιανῶν ἐλθεῖν, καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι. ἡ δὲ ἦν ῥύσις αἵματος. Μαθὼν δὲ παρὰ τοῦ Ἐπισκόπου τὴν εἰς Χριστὸν πίστιν, καὶ πρὸς τὴν ἰδίαν πόλιν ἐπιστρέψας, ἥτις Ἀρβὴλ ἐλέγετο, τοῦτον γενέσθαι καὶ ἑτέροις Διδάσκαλον τῆς εὐσεβείας συνέβη. Διαβληθεὶς δέ, παρέστη τῷ Ἄρχοντι. Τοῦ δὲ Ἄρχοντος τὰ κατ' αὐτὸν ἀναμαθόντος, τὸ ὠτίον ἀπεκόπη, καὶ εἰς φυλακὴν ἐμβάλλεται. Ὁ δὲ Ἅγιος Ἀκεψεῆς, ὑπῆρχε Διάκονος. συσχεθεὶς δέ,

καὶ

Digitized by Google

καὶ τὸν Χριστὸν ὁμολογήσας, τύπτεται ἀφειδῶς, καὶ παραπέμπεται τῷ ἄρχοντι μετὰ τοῦ Ἀειθαλᾶ. Ὁ δὲ εἰσάγει αὐτοὺς εἰς τὸν Βασιλέα. οἳ κατενώπιον ὁμολογήσαντες τὸν Χριστὸν, τὰς κεφαλὰς ἀπετμήθησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη Μείρακός τινος, καὶ διήγησις πάνυ ὠφέλιμος.

Οὗτος ὁ μακάριος μάρτυς τοῦ Χριστοῦ Μείραξ, ἦν μὲν Αἰγύπτιος τὸ γένος, ἐν τῷ κάστρῳ δὲ Τεμεστῇ γεννηθεὶς, παρὰ Χριστιανῶν γονέων. καὶ βαπτισθεὶς καὶ ἀνατραφεὶς, ἐπαιδεύετο ἐν τῇ τῶν Χριστιανῶν ἀμωμήτῳ πίστει. Κουφότητι δὲ γνώμης ὑπὸ τοῦ ἐχθροῦ σκελισθεὶς, ἀπελθὼν πρὸς τὸν ἐκεῖ σε Ἀμηρᾶν, ἠρνήσατο τὸν Χριστόν. Καὶ τὴν ζώνην κόψας, καὶ τὸν Σταυρὸν πατήσας, καὶ τὴν μάχαιραν σπασάμενος, ἠλάλαξε τὴν ἐλεεινὴν ἐκείνην φωνὴν, τὸ, ἀγαρηνός εἰμι, καὶ οὐκ ἔτι Χριστιανὸς ἀπὸ τῆς σήμερον. καὶ ἦν τιμώμενος καὶ δοξαζόμενος ἐπίτιμας χρόνους παρά τε τοῦ Ἀμηρᾶ, καὶ τῶν παρ' αὐτῷ, μηδόλως φροντίζων περὶ τῆς ἰδίας σωτηρίας. Οἱ δὲ τούτου γεννήτορες, οὐκ ἐπαύσαντο τὸν Θεὸν ἐξιλεούμενοι, πρὸς τὸ μεταβληθῆναι αὐτόν. Καὶ ἰδὼν ὁ Θεὸς τὴν τούτων πρόθεσιν καὶ ἐπίμονον δέησιν, μετέβαλε τὴν τοῦ Μείρακος καρδίαν πρὸς ἐπιστροφήν. Καὶ ἐλθὼν πρὸς τοὺς γονεῖς αὐτοῦ, λέγει. Ἰδοὺ κύριοί μου καὶ γλυκύτατοι γεννήτορες, σκοτισθεὶς τὸν νοῦν, ἐποίησα ὃ ἐποίησα. καὶ νῦν παρακαλῶ πάλιν γενέσθαι Χριστιανὸς, καὶ εἶναι μεθ' ὑμῶν. Οἱ δὲ, λέγουσιν αὐτῷ. Ἡμεῖς τέκνον ὅτε ὅλως τοῦτο ἐποίησας, πολλὰ δάκρυα ὑπὲρ σοῦ ἐξεχέαμεν, καὶ οὐδέ ποτε ἐπαυσάμεθα τὸν Θεὸν δυσωποῦντες, ὅπως ἐπιγνῷς τὴν ἀλήθειαν, καὶ ἐπιστρέψῃς πρὸς τὸν Θεόν. Καὶ νῦν εὐχαριστοῦμεν τῇ αὐτοῦ ἀγαθότητι, ὅτι οὐ παρεῖδε τὴν μικρὰν ἡμῶν δέησιν. Πλὴν καθὼς γινώσκεις καὶ αὐτὸς τέκνον, φοβούμεθα τὸν Ἀμηρᾶν, μήποτε κινδυνεύσωμεν ὑπὲρ τούτου, ὡς μεταβαλλόμενοί σε. Ἀλλ' εἰ θέλεις καὶ τοῦ μεγάλου πταίσματος κουφισθῆναι, καὶ τὸν Θεὸν ἵλεων εὑρεῖν, καὶ ἡμᾶς ἀνεγκλήτους ποιῆσαι, καὶ ὑπὲρ παντὸς τοῦ γένους σου πρεσβευτὴν γενέσθαι, ἄπελθε πρὸς τὸν Ἀμηρᾶν, καὶ ὡς ἐποίησας κρυφίως, ὃ ἐποίησας, οὕτω πάλιν ποίησον ὡς ἀγνοούντων ἡμῶν, καὶ ὁ Θεὸς εὐοδώσει πάντως τὰ κατὰ σὲ τέκνον ὡς βούλεται. Ὁ δὲ τὴν τῶν γονέων λαβὼν συμβουλὴν ὁμοῦ καὶ εὐχὴν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ζώνην, πρὸς τὴν σύναξιν ἔδραμε τῶν Ἀγαρηνῶν. Καὶ περιζωσάμενος ἐνώπιον τοῦ Ἀμηρᾶ καὶ πάσης τῆς συναγωγῆς, καὶ χαράξας τὸν τίμιον Σταυρὸν ἐν τῷ ξύλῳ, ἠσπάσατο αὐτὸν, καὶ ἤρξατο κράζειν μεθ' ὅσης δυνάμεως εἶχε, τὸ, Κύριε ἐλέησον. Καὶ κρατήσας αὐτὸν ὁ Ἀμηρᾶς λέγει. τί σοι γέγονεν; Ὁ δὲ Μείραξ ἀπεκρίνατο. Ἐλθὼν εἰς ἑαυτὸν ἀπὸ τῆς συμβάσης μοι διαβολικῆς σκοτώσεως, προσέπεσον τῷ Χριστῷ. καὶ γενόμενος Χριστιανὸς καθὼς ἤμην, ἦλθον ἀναγγεῖλαι σοί τε, καὶ πάσῃ τῇ συναγωγῇ, καὶ ἐνώπιον πάντων τὸν Χριστὸν μου ὁμολογῆσαι, ὑμᾶς δὲ καὶ τὴν θρησκείαν ἡμῶν ἀναθεματίσαι. Τούτων ἀκούσας ὁ Ἀμηρᾶς, ἔβαλεν αὐτὸν ἐν φυλακῇ ἐπὶ τρισὶν ἡμέραις, ἄνευ τῆς οἱασοῦν βρώσεως καὶ πόσεως. καὶ ἐξαγαγὼν, ἐπανέκρινεν αὐτόν. Καὶ εὑρὼν αὐτὸν ὁμολογοῦντα τὸν Χριστὸν, ἔτυψεν αὐτὸν μετρίως, καὶ πάλιν τῇ φυλακῇ ἐναπέθετο. καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας παραστήσας αὐτὸν, ἔτυψε σφοδρῶς. Καὶ ἐπιμένοντα τῇ ὁμολογίᾳ, καθεῖρξε. Καὶ μεθ' ἑτέρας τρεῖς ἡμέρας πάλιν ἐπανακρίνας αὐτὸν, καὶ ὁρῶν ἐπιμένοντα καὶ ὁμολογοῦντα τὸν Χριστὸν, βουνεύροις αὐτὸν ἄνωθεν ἔτυψε τῶν φλεγμαινουσῶν πληγῶν, καὶ δοὺς ἀπόφασιν κατ' αὐτοῦ, ἔλαβον οἱ προτεταγμένοι. Καὶ ἐμβάντες εἰς πλοῖον, ἀπέπλευσαν ὡσεὶ σταδίους τέσσαρας. Καὶ μετὰ τὸ προσεύξασθαι αὐτὸν, ἀπέτεμον τὴν κεφαλὴν αὐτοῦ, ῥίψαντες ἐν τῇ θαλάσσῃ. Καὶ τὸ μὲν σῶμα, εἴτε ἐξῆλθεν ἀπὸ τῆς θαλάσσης, εἴτε μὴ, οὐ διεγνώσθη. ἡ δὲ τιμία αὐτοῦ κεφαλὴ ἐξῆλθε. Καὶ ταύτην ἀναγνωρίσαντες Χριστιανοί τινες, ὡς πολύτιμον δῶρον ἔλαβον. Καὶ διαβληθέντες πρὸς τὸν Ἀμη-



Digitized by Google

μηρᾶν, δέδωκαν αὐτῷ χρυσίνους ἑκατὸν, καὶ οὕτως εἴασεν αὐτοὺς κατέχειν αὐτὴν ἀκωλύτως. Τότε ἀργυρέαν θήκην κατασκευάσαντες, κατέθεντο αὐτὴν ἐν ταύτῃ μετὰ τῆς προσηκούσης τιμῆς καὶ δορυφορίας. Ἔκτοτε δὲ καὶ μέχρι τοῦ νῦν, ἀναβλύζει ἀεὶ εὐῶδες μύρον, παντοδαπὰς ἰάσεις ἐπιτελοῦσα, εἰς δόξαν μὲν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς πληροφορίαν δὲ βεβαίαν τῶν σκανδαλιζομένων καὶ διστάζοντων ὑπὲρ αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τοῦ Ἁγίου Μάρτυρος Βαρσαβᾶ.

Στίχ. Βαρσαβᾶ θύσας, ζῆθι λυτρωθεὶς ξίφους,
Ἄνω ποθῶν ζωὴν, θᾶττον εἶκεο ξίφους.

Οὗτος παῤῥησίᾳ τὸν Χριστὸν Θεὸν ὁμολογῶν ἀληθῆ, ὑπὸ τοῦ τῆς Περσίδος ἄρχοντος ἀπετμήθη τὴν κεφαλήν.

Καὶ, Τῶν Ἁγίων Μαρτύρων, Τερεντίου, Βικεντίου, Αἰμιλιανοῦ, καὶ Βεβαίας.

Στίχ. Τμηθέντες εὐφραίνουσι τρεῖς τε, καὶ μία.
Θεοῦ Τρία πρόσωπα καὶ φύσιν μίαν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Τάξεις Ἀγγέλων σου τὴν στάσιν, κατεπλάγησαν παμμάκαρ Θεοφόρε. μετὰ σώματος γὰρ, τὴν τούτων πολιτείαν, ἀναλαβὼν ἐκραύγαζες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὕψει αὔλου πολιτείας, προφητείας τε ἐκλάμπων φωταυγείᾳ, ἰαμάτων ἡμῖν, ἀπήστραψας ἀκτῖνας, τοῖς εὐσεβῶς τιμῶσί σε, Δανιὴλ θαυματοφόρε.

Λῦσον παθῶν μου τὴν ὁμίχλην, τῇ λαμπρότητι, παμμάκαρ σῆς πρεσβείας, καὶ πρὸς τρίβους ζωῆς, ὁδήγησον βοῶντα. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας,

Θεοτοκίον.

Ἵλεως ἔσο μοι Παρθένε, καὶ πληγέντα με ῥομφαίᾳ ἁμαρτίας, ἐν μοτώσει τῆς σῆς, θεράπευσον πρεσβείας, εὐλογημένος κράζοντα, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Τῶν ὀρεκτῶν τὸ ἔσχατον, τῶν καλῶν τὸ ἀκρότατον, Πάτερ θεοφόρε, ἀκριβῶς κατέλαβες, πτεροῖς κουφιζόμενος, τῶν ἐναρέτων πράξεων, καὶ σὺν ἀσωμάτοις, Δανιὴλ ἀνακράζεις· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε. Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἡ τοῦ Θεοῦ σε δύναμις, προφανῶς ἐνισχύσασα, φέρειν τοῦ κρυμοῦ, τὸ δυσχερὲς ἐποίησεν, Ἡλίου τὸν καύσωνα, τὰς σηπεδόνας τὰς τῆς σαρκὸς, καὶ τῶν ἐξ αὐτῆς, γεγεννημένων σκωλήκων, τὴν κάκωσιν βοῶντα· Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Νέος Ἰὼβ σὺ πέφηνας, Δανιὴλ ἀξιάγαστε, πλήθει πειρασμῶν, περιχεθεὶς καὶ θλίψεων, Δαβὶδ τὴν πρᾳότητα, καὶ Ἰακὼβ τὸ ἄπλαστον, καὶ τὴν σωφροσύνην, Ἰωσὴφ ἐμιμήσω, κραυγάζων τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκ.

Οἱ Θεοτόκον Δέσποινα, παναγία φρονοῦντές σε, ῥήμασιν ἑπόμενοι, τοῖς σοῖς πανύμνητε, σὲ νῦν μακαρίζομεν, ὅτι Θεὸν μακάριον, ἔτεκες ἡμῖν. ὃν ἐν δυσὶ ταῖς οὐσίαις μιᾷ δὲ ὑποστάσει, ἀνυμνοῦντες βοῶμεν. οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

Ἰδοὺ σοι πύλαι Οὐρανῶν, μεταστάντι καὶ τὸν δρόμον τελέσαντι, Πάτερ ἠνοίχθησαν, καὶ τῶν Ἀγγέλων τάξεις ἐδέξαντο. ὁ στεφοδότης δὲ Χριστὸς, δόξῃ ἐστεφάνωσε, δικαιοσύνης σε, ὃν ὑμνοῦντες οἱ πιστοὶ μεγαλύνομεν.

Ὡς κρῖνον Πάτερ τοῦ ἀγροῦ, ἐν λειμῶνι τῆς ἀθλήσεως ἤνθησας, καὶ ὡς Κυπάρισσος, εἰς ὕψος ἤρθης τῆς τελειότητος, ὡσεὶ Ἐλαία ψαλμικῶς, ἐφάνης τὰ πρόσωπα, καὶ τὰς καρδίας ἡμῖν, ἱλαρύνων τῷ ἐλαίῳ τῶν πόνων σου.

Στῦλον σε βάσει ἀρετῶν, στηριζόμενον ἡ Κτίσις ἐγνώρισε. πύργον ἀκλόνητον, θαυμάτων βρύσιν, λιμένα εὔδιον. τῶν ἰαμάτων θησαυρὸν, δοχεῖον τοῦ Πνεύματος, διό σου σήμερον, Δανιὴλ ἐπιτελεῖ τὸ μνημόσυνον.

Ἡλίου

Digitized by Google

Ἡλίου σήμερον ἡμῖν, ἐξανέτειλε φαιδρότερον Ὅσιε, ἡ θεία μνήμη σου, πιστῶν καρδίας καταφωτίζουσα, δικαιοσύνης τῷ φωτί, ζόφον δὲ διώκουσα, τῶν ψυχοφθόρων παθῶν, ἣν τελοῦντες εὐσεβῶς ἀνυμνοῦμέν σε. Θεοτοκίον.

Φεῖσαί μου Σῶτερ ὁ τεχθείς, καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου, τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος, ἐλεήμων ὡς Θεὸς καὶ φιλάνθρωπος.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Κρύει καὶ τῷ καύσωνι, πιεζόμενος Πάτερ, τῷ σώματι μετέωρος, διετέλεσας ὥσπερ, ἀδάμας μὴ καμπτόμενος, Δανιὴλ πανθαύμαστε, τῆς φύσεως ταῖς ἀνάγκαις. διὰ τοῦτο καὶ δόξης, ἀθανάτου σε νῦν, ἠξίωσεν ἀπολαύειν. Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν Θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησε, καὶ ὁ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ πανάγιον, ἐπισκιάσαν σε Κόρη, ἀνέδειξε Θεοτόκον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ἀνυψούμενον, καὶ λόγχῃ ἐκκεντούμενον, Λόγε ἡ ἄνυμφος μήτηρ, σοῦ ἐκ καρδίας ἐβόα· οἴμοι Υἱὲ προάναρχε, πῶς ὑποφέρεις ταῦτα νῦν, ἀδίκως δικαιότατε, ὑπὸ λαοῦ ἀχαρίστου, ἀγνώμονος καὶ κακούργου;

Εἰς τὸν στίχ. στιχηρ. τῆς Ὀκτωήχου.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΒ΄.

### Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ θαυματουργοῦ Σπυρίδωνος.

Ἔντισι γοῦν τόποις ποιοῦσιν ἀγρυπνίας, καὶ δοξολογίας. ποιοῦμεν οὖν καὶ ἡμεῖς, ἅπερ ὁ προεστὼς βούλεται, εὐλογίᾳ τῇ εἰς τὸν Ἅγιον. Διὸ καὶ προσετέθησαν διάφορα τροπάρια τοῦ ἁγίου, καὶ προεόρτια, μετὰ τῶν καθισμάτων, παρὰ τῆς παρούσης βίβλου, καὶ ἄλλων ἐρανισθέντα. Εἰς δόξαν μὲν τοῦ ἁγίου, ἀπαρτισμὸν δὲ τῆς ἀκολουθίας, διὰ τοὺς δοξολογίαν ποιεῖν προαιρουμένους, εὐλαβείᾳ καὶ ἀγάπῃ τῇ πρὸς τὸν Ἅγιον.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρ. προσόμοια. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις ἀρχιερέων Κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, τὸ κλέος τῶν ὀρθοδόξων, ἡ τῶν θαυμάτων πηγή, τῆς ἀγάπης ῥεῖθρον μὴ κενούμενον. φωστὴρ ὁ πολύφωτος, τὸ τοῦ Πνεύματος ὄργανον. ὁ νοῦς ὁ θεῖος, ὁ πραῢς καὶ ἀκέραιος, ὁ ἁπλότητι, ἀληθεῖ καλλωπιζόμενος. ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, τοῦ ἀμπελῶνος ἐργάτα, ὁ τοῦ Χριστοῦ φίλος γνήσιος, αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Πρᾶος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, Σπυρίδων Πατέρων δόξα, ὁ ταῖς μωραῖς τῶν σοφῶν, καὶ ἁπλῶν σου λόγων, θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον, καὶ παράφρονα Ἄρειον, ἐναποπνίξας, καὶ τὸ δόγμα τὸ ἔνθεον, καὶ σωτήριον, ἀνυψώσας ἐν Πνεύματι, πάντας τοὺς ὀρθοδόξους τε, φωτίσας σοφώτατα, ἕνα δοξάζειν τὸν Λόγον, ὡς ἀληθῶς ὁμοούσιον, Πατρὶ προανάρχῳ, παρεχόμενον τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Πάθη ἀπονεκρώσας σαρκός, νεκροὺς ἐν χάριτι Θεοῦ ἐξανέστησας, καὶ ὄφιν χρυσοῦν εἰργάσω, καὶ ποταμοῦ τὰς ὁρμάς, προσευχῇ σου Πάτερ ἐχαλίνωσας. νυκτὸς βασιλεῖ δέ, ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἰάσω, τῇ καθ᾽ ὕπαρ ἐγγύτητι, τοῦ Κυρίου σε, παραδόξως δοξάζοντος. ὅθεν μεγαλοφώνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν λειψάνων Σπυρίδων, τὴν ἱερὰν κόνιν σέβομεν, ἐξ ἧς ἀναβλύζεις, ἰαμάτων θεῖα ῥεῖθρα, καὶ μέγα ἔλεος.

Δόξα. Ἰδιόμελον. Ἦχος α΄. Ἀνατολίου.

Ὅσιε Πάτερ μακάριε, Σπυρίδων σοφέ, τὴν νεκρὰν ὥσπερ ζῶσαν, ἐπηρώτας δὲ ἀγάπην Θεοῦ. ὄφιν δὲ μετέβαλες εἰς χρυσόν, ὁ πενίαν ἀσκῶν. ῥύσιν δὲ ἐπέ-



Digitized by Google

ξες Ποταμοῦ, συμπαθήσας λαῷ. Βασιλεῖ δὲ παρέστης ἰατήρ, τῇ προνοίᾳ Θεοῦ. νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ μαθητής. τὴν πίστιν δὲ ἐστερέωσας, ἀναμέσον Πατέρων πολλῶν. πάντα οὖν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, αὐτὸν καὶ νῦν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος πλ. β΄.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει.

Ζήτει τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως.

Τὰ Ἀναγνώσματα ζήτει εἰς Ἱεράρχην.

Εἰς τὸν στ. στ. προσόμοια. Ἦχος α΄.

Νεφέλην σε φωτός.

Πανήγυρις φαιδρά, ἱερὰ πανδαισία, δεῦτε πιστοὶ μεθέξωμεν. Σπυρίδων καὶ γὰρ ἡμᾶς συγκαλεῖται, ἑστιάτωρ ὢν πνευματικός. οὗ ἡ τράπεζα θεία, ἰδέα τὰ θαύματα, αἱ πράξεις ἀθάνατοι. αὐτοῦ μιμησώμεθα, τὸ πρᾶον τὸ ἄκακον, τὸ ἁπλοῦν τὸ φιλάνθρωπον, τὸ περὶ πάντας σοφόν. ἐν οἷς ἐν ἀρχιερεῦσιν, ὡς φῶς ἐξέλαμψεν.

Στ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Μεγίστων ποιητής, ἀρετῶν καὶ θαυμάτων, ἀνεδείχθης Σπυρίδων σοφέ. τοῖς μέντοι καταφαιδρύνας τὸν βίον, ὑπὲρ φέγγος τὸ ἡλιακόν, τοῖς δὲ καταλαμπρύνας κόσμον τὸν περίγειον, ὑπὲρ ἀστραπὰς οὐρανοῦ. ἀμφοῖν ὡραιότατος, δεικνύμενος ὅσιε, τοῖς προσφεύγουσιν ἐν πίστει, ταῖς προστασίαις σου.

Στ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσ.

Ὢ θαύματος φρικτοῦ. ἡ νεκρὰ πυθομένῳ, φωνὴν ζῶσαν σοι δέδωκεν. ὁ ῥοῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη, διὰ λόγου σου προστακτικοῦ. ἡ τοῦ ἄνακτος νόσος, εὐχῇ σου φυγαδεύεται. ὁ ὄφις εἰς εἶδος χρυσοῦ ἀντιμετηλλάττετο. νεκροὶ ἐξηγέρθησαν. ἐνήργει γὰρ ἐν σοὶ ὁ Χριστός, Σπυρίδων ἱερουργέ, ὁ τῆς Τριάδος τὸ δόγμα, ἀνακηρύξας τρανῶς.

Δόξα. Ἰδιόμελον. Ἦχος β΄. Γερμανοῦ.

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον, πάτερ ὅσιε, Σπυρίδων σοφέ, σὺ ἐν ἀρεταῖς ἀναδεικνύμενος. ὅθεν τῆς Ἐκκλησίας προστάτης γενόμενος, αἱρεσιάρχας ἐξώθησας, καὶ τοῦ Ἀρείου τὸ βλάσφημον, συνοδικῶς εἰς γῆν κατηδάφισας. διὸ θαυματουργῶν ἐν ἔργῳ, καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον. ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν, ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας. ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Ἀπολυτίκιον. Ἦχος δ΄. Κανόνα πίστεως.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισμα. Ἦχος γ΄.

Τὴν ὡραιότητα.

Ὄφιν μετέβαλες, εἰς χρυσὸν ἅγιε, καὶ ταῖς τῶν λόγων σου, νευραῖς ἀπέπνιξας, τὸν δυσσεβῆ καὶ πονηρόν, Ἄρειον Θεοφόρε. Βασιλεῖ δὲ γέγονας, ἰατρὸς πανάοίδιμε. καὶ νεκροὺς ἐξήγειρας, δαίμονάς τε ἀπήλασας. διό σου συνελθόντες ὑμνοῦμεν, Ἱεράρχα, τὴν μνήμην τὴν πάντιμον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον.

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα. ἡ Θεοτόκος γάρ, γεννᾶν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντός. ὢ θαύματος ἀνερμηνεύτου. ἄρχεται ὁ ἄναρχος, καὶ σαρκοῦται ὁ ἄσαρκος. Σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα. ἡ Βηθλεὲμ ἀγάλλου, χόρευε, ἡ κτίσις ἡμέραν προεόρτιον.

Εἰς τὴν δευτέραν στιχολ. κάθισμα. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Τοῖς λόγοις ἐκόσμησας, τὴν Ἐκκλησίαν Χριστοῦ. τοῖς ἔργοις ἐτίμησας, τὸ κατ' εἰκόνα Θεοῦ, Σπυρίδων μακάριε. ἔλαμψας ἐν τῷ κόσμῳ, τῇ ἐν σῇ σωφροσύνῃ, χάριτας ἰαμάτων, ἀπαστράπτων τοῖς πᾶσι. διὸ καὶ ἑορτάζομεν πίστει τὴν μνήμην σου.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Προεόρτιον. Ὁ αὐτός.

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ. μητέρες αἰνέσατε, τὴν προ-

πομ-

Digitized by Google

πομπιὼ τῆς Μητρὸς, Χριςῦ τῦ Θεῦ ἡμῶν. Μάγοι σὺν τοῖς Ἀγγέλοις, σὺν ἡμῖν οἱ Ποιμένες. ἔρχεται γὰρ ἐν Πόλει, Βηθλεὲμ τῦ γεννῆσαι. αὐτῆς ταῖς ἱκεσίαις, σῶσον ἡμᾶς ὁ Θεός.

Μετὰ τὸν πολυέλεον, κάθισμα. Ἦχος πλ. δ'.

Τὴν Σοφίαν ἐ Λόγον.

Πράκτορσι καὶ μύσαις θεοπρεπῶς, ἐν συλλόγῳ πανσέπτῳ φιλοσοφῶν, τρανῶς διεσάφησας, τῆς Τριάδος τὴν δύναμιν, ἀῤῥήτως μάκαρ ὤφθης, ἑνάδος ἰσότιμος, ἐ ἐν μιᾷ ὐσίᾳ σαφῶς ἐδογμάτισας. ὅθεν ὑπὲρ λόγον, κατ' ἐπίνοιαν θείαν, καθεῖλες τὸν φλύαρον, τῇ δυνάμει τοῦ Πνεύματος. Ἱεράρχα θεσπέσιε, πρέσβευε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Θρόνε πυρίμορφε τῦ Θεῦ.

Ζήτει εἰς Φύλλ. 145.

Οἱ ἀναβαθμοὶ, τὸ α. Ἀντίφωνον τῦ δ'. ἤχυ. Προκείμενον. Ἦχος δ'.

Οἱ ἱερεῖς συ Κύριε ἐνδύσονται Δικαιοσύνην.

Στίχ. Ἐν Ἐκκλησίαις.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον. ὁ Ν'. ἐ τὸ ἰδιόμελον. Ἦχος Πλ. β'.

Πατέρων ἀγλάϊσμα Σπυρίδων σοφὲ, ἐ ἀκροθίνιον, τῇ τῶν θαυμάτων συ αἴγλῃ, τῆς Οἰκυμένης φωτίζων τὰ πέρατα, ἐ τῆς λιώσης Ἀρείυ καθαιρέτης φανεὶς, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τῆς Θεοτόκυ, ἐ τῦ Ἁγίυ, εἰς η. Ὠδὴ α'. Ἦχος β'.

Ἐν βυθῷ κατέςρωσε ποτέ.

Τῶν πραέων γῆν καταλαβὼν, Πάτερ ὡς πραότατος, ἐ συμπαθὴς ἐ καθαρὸς γενόμενος, τὸν ἐπανιςάμενον, τῇ καρδίᾳ μυ, καταπράϋνον κλύδωνα. ὅπως ἐν γαλήνῃ, θείᾳ γεγονὼς ἀνυμνήσω σε.

Γεωργίαις θείαις τὴν ψυχὴν, Πάτερ καθηράμενος, θεοειδὴς Σπυρίδων ἐχρημάτισας, καὶ τῦ θείυ Πνεύματος, τὴν ὑπέρλαμπρον, κατεπλύτισας ἔλλαμψιν, ὅθεν καταυγάζεις, τὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ἐκ ποιμνίων ὥσπερ τὸν Δαβὶδ, σὲ ἀναλαβόμενος, ὁ Πλαςυργὸς λογικῆς ποίμνης ἔθετο, ποιμένα παναρίςον, τῇ ἁπλότητι, ἐ πραότητι λάμποντα, ἐ τῇ ἀκακίᾳ, Ὅσιε ποιμὴν καλλωπιζόμενον.

Θεοτοκίον.

Παναγία Ἄχραντε Ἁγνὴ, φώτισον ἁγίασον, τὸν λογισμὸν, ἐ τὴν ψυχήν μυ δέομαι, τὰ νέφη σκεδάζυσα, τῆς ἀγνοίας μυ, καὶ τῦ σκότυς ἐξαίρυσα, τῦ τῆς ἁμαρτίας, ὅπως καταξίως μακαρίζω σε.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίςεως.

Τὸν νῦν συ ἀπαθείᾳ καταλαμπρύνας, ἐ θείᾳ ταπεινώσει καθωραΐσας, χαρίσματα τῦ Πνεύματος ὑπεδέξω, διώκειν πνεύματα, λύειν νοσήματα, τῶν πιςῶς τιμώντων σε Ἱερώτατε.

Τὸν ὄφιν τὸν ἀρχέκακον ἀποκτείνας, τὸν τρόπον τὸν φιλάργυρον συμπατήσας, οἰκτείρων τὸν δεόμενον Ἱεράρχα, ὄφιν μετέβαλες, χρυσὸν εἰς κόσμιον, ἱεραῖς ἐντεύξεσι, Πάτερ Ὅσιε.

Ἀνῆλθες πρὸς τὸ ὄρος τῆς θεωρίας, εἰσέδυς εἰς τὸν γνόφον τῆς ἀπαθείας. πλαξὶ δὲ τῆς καρδίας συ εἰσεδέξω, Νόμον σωτήριον, ὡς ἱερώτατος, ἐ θεράπων γνήσιος τῦ Δεσπότυ συ.

Θεοτοκίον.

Θεράπευσον τὰ τραύματα τῆς ψυχῆς μυ, τὸν νῦν μυ σκοτιζόμενον ἀμελείᾳ, Θεόνυμφε καταύγασον, ἵνα ψάλω, ὐκ ἔςιν ἄμεμπτος, ὡς σὺ Παμάμωμε, ἐ ὐκ ἔςιν Ἄχραντος, πλὴν συ Δέσποινα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν σοφίαν ἐ Λόγον.

Ἐκ ποιμνίου προβάτων ἐπιςατεῖν, τῆς Χριςῦ Ἐκκλησίας προχειρισθεὶς, ποιμὴν θεοπρόβλητος, σὺ Σπυρίδων ἀνέλαμψας, κακοδοξίας λύκυς, ἐλάσας τοῖς λόγοις συ, ἐν εὐσεβείας πόᾳ, αὐτὴν ἐκτρεφόμενος. ὅθεν ἀναμέσον, Θεοφόρων Πατέρων, τὴν πίςιν ἐτράνωσας, ἐν σοφίᾳ τῦ Πνεύματος. Ἱεράρχα μακάριε, πρέσβευε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην συ.



Digitized by Google

Προεόρτιον. Ἦχος ὁ αὐτός.

Τὸ προσταχθὲν μυστικῶς.

Τῶν γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἐπαξίως ἅπαντες προϋπαντήσωμεν, ὡς Μάγοι δωροφοροῦντες τὰς ἀρετάς, καὶ ᾄσαι τὸ τῶν Ἀγγέλων, ᾆσμα καινόν, τῷ ἐκ Κόρης Θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, γεννωμένῳ Θεῷ ἡμῶν, ὃν δοξάζει τὰ σύμπαντα.

ᾨδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Τοῖς ἄνθραξι, τοῦ σεπτοῦ ἀναπτόμενος Πνεύματος, παθῶν ἀκατάπρηστον, ὕλην Παμμάκαρ ἐνέπρησας. Κόσμον δὲ πυρσεύμασι, τῶν ἀρετῶν σου Σπυρίδων κατελάμπρυνας.

Πυθομένῳ, ἡ νεκρά σοι φωνὴν Πάτερ δέδωκε. ποτάμια ῥεύματα, σαῖς ἐπεσχέθη προστάξεσιν. ὤφθης γὰρ Μακάριε, τερατουργός, θείαν χάριν κληρωσάμενος.

Νεκρώσας σου, τῆς σαρκὸς τὰς κινήσεις Θεόπνευστε, νεκροὺς ἐξανέστησας, ζωοποιῷ σου προσρήματι. ὅθεν ἱκετεύω σε, τὴν νεκρωθεῖσαν ψυχήν μου Πάτερ ζώωσον.

Θεοτοκίον.

Προφῆται σου, μυστηρίου τὸ βάθος προηγγειλαν, τὸ ἀκαταμέτρητον. μόνη γὰρ ἔτεκες Ἄχραντε, τὸν ἀπερινόητον, σεσαρκωμένον δὲ οἴκτῳ ἀδιήγητον.

ᾨδὴ ε΄. Ὁ φωτισμός.

Ὁ ποταμός, τῶν ἐν σοὶ χαρισμάτων πᾶσαν ἀρδεύει, Ὅσιε καρδίαν πᾶσι δωρεῖται, ῥῶσιν πλουσίαν. πάντας πρὸς δόξαν διεγείρει τοῦ σὲ δοξάσαντος, καὶ θαυματουργίαις, παντοίαις τιμήσαντος.

Σὲ βασιλεύς, ὁ ἐπίγειος Μάκαρ τοῦ Βασιλέως, τοῦ ἐπουρανίου σαφῶς ἐπέγνω, γνήσιον δοῦλον, ἐκ χαρίσματος θείου, πεπληρωμένον ἐν τῷ παρεῖναί σε, μέγαν ἰατρὸν, πρὸς Θεοῦ μηνυόμενον.

Τοῦ Ἀβραάμ, τὸν φιλόξενον τρόπον σὺ ἐμιμήσω, πάσι τῆς οἰκίας σου τὰς εἰσόδους ἀναπετάσας, καὶ τοῖς πᾶσι τὰ πάντα, χρηματίσας καὶ προμηθούμενος, τῶν ἐν περιστάσει, Σπυρίδων Μακάριε.

Θεοτοκίον.

Νέον ἡμῖν, ἀπεγέννησας βρέφος τὸν πρὸ αἰώνων, Κόρη γεννηθέντα, Πατρὸς ἀνάρχου. ὃν ἐκδυσώπει ὡς Υἱὸν καὶ Θεόν σου, οἰκτειρῆσαι τοὺς Θεοτόκον σε, Πάναγνε ψυχῇ, καθαρᾷ καταγγέλλοντας.

ᾨδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ χρυσὸς ὡς πηλός σοι λελόγισται, τῇ ὑπὲρ χρυσὸν ἀπαθείᾳ ἀστράπτοντι, καὶ πλουτισθέντι Ὅσιε, δωρεαῖς ταῖς παγχρύσοις τοῦ Πνεύματος.

Καθαρῶς λειτουργῶν τῷ Δεσπότῃ σου, πλῆθος εἶχες Ὅσιε, καθυπακοῦον σοι, Ἀγγελικῶν Δυνάμεων, ἀοράτοις φωναῖς Ἱερώτατε.

Ὁ περίδοξος Πάνσοφε βίος σου, Κόσμῳ σὲ περίδοξον, Πάτερ εἰργάσατο. διὸ τὴν θείαν μνήμην σου, γεγηθότες τελοῦμεν ὑμνοῦντές σε.

Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα ἡ μήτρα σου, γέγονεν Ἀπείρανδρε, Θεὸν χωρήσασα, τὸν μηδαμοῦ χωρούμενον, Παναγία Παρθένε πανύμνητε.

Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τῷ πόθῳ τρωθεὶς, Χριστοῦ ἱερώτατε, τὸν νοῦν πτερωθείς, τῇ αἴγλῃ τοῦ Πνεύματος, πρακτικῇ θεωρίᾳ τὴν πρᾶξιν εὗρες Θεόληπτε, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Ὁ Οἶκος.

Τὸν ἐκ κοιλίας ἡγιασμένον Ἱεράρχην Κυρίου, ἀνευφημήσωμεν νῦν Σπυρίδωνα, τὸν τῆς χάριτος πλάκας δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πάσι, καὶ ὡς θερμὸν καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως, ὡς τῶν πενήτων προστάτην, καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν. οὗτος γὰρ θύων τῷ βήματι τοῦ Χριστοῦ, Ἱεράρχης πιστὸς ἀναδέδεικται, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.

Τῷ αὐτῷ Μηνὶ ΙΒ. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ Σπυρίδωνος.

Στίχ. Ὁ θαυματουργὸς κἂν τέθνηκε Σπυρίδων,



Digitized by Google

Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ἀμφὶ δυωδεκάτην Σπυρίδων βίοτον λίπε τόνδε.

Οὗτος ἤκμασεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, καὶ Κωνσταντίου τοῦ υἱοῦ αὐτοῦ. Ἦν δὲ τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός. Ἐγένετο δὲ ἀπ' ἀρχῆς ποιμὴν προβάτων, ἔπειτα δὲ γυναικὶ προσομιλήσας, μετὰ τὴν αὐτῆς ἀποβίωσιν, Ἐπίσκοπος κατέστη. Ἐπὶ τοσοῦτον δὲ ἡ χάρις τῶν ἰαμάτων αὐτῷ ἐδόθη παρὰ Θεοῦ, ὡς ἐπωνυμίαν αὐτῷ γενέσθαι τὰ θαύματα. Καὶ γὰρ ἐν αὐχμῷ κατήγαγεν ὑετὸν, καὶ πάλιν αὐτοῦ τὴν ἀμετρίαν ἐκώλυσε δι' εὐχῆς. Καὶ μελετώμενον λιμὸν παρὰ τῶν σιτοκαπήλων, ἔλυσε, συμπεσουσῶν αὐτοῖς τῶν ἀποθηκῶν, αἷς τὸν σῖτον συνεῖχον. Καὶ ὄφιν μετέβαλεν εἰς χρυσόν. καὶ μετὰ τὸ λῦσαι δι' αὐτοῦ τὴν τοῦ πένητος συμφορὰν, πάλιν τὸν χρυσὸν εἰς ὄφιν ἀποκατέστησε. Καὶ Ποταμῶν ῥεύματα ἔστησε. καὶ πόρνην τολμήσασαν προσψαῦσαι, τὰ κατ' αὐτὴν ἐξειπὼν, ἔπεισεν ἐξαγορεῦσαι τὰ ἑαυτῆς. Καὶ τοὺς ἐπὶ λόγοις φρονοῦντας μέγα, ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ, δυνάμει τοῦ Ἁγίου Πνεύματος ἐπεστόμισε. Καὶ γυναικὸς τινὸς παρακαταθήκην ζητούσης, ἤδη οὖσαν τὴν αὐτοῦ θυγατέρα νεκρὰν, ἐπανερόμενος ᾗ παρετέθη τὰ χρήματα, καὶ παρ' αὐτῆς μαθὼν ἔνθα κέκρυπται, τῇ τούτων Κυρίᾳ ἀπέδωκε. Καὶ τὸν Βασιλέα Κωνστάντιον, τοῦ συνέχοντος πάθους ἀπήλλαξε. Καὶ παῖδα τινὸς γυναικὸς ἀνεζώωσε. Καὶ τὸν κατὰ πλεονεξίαν τὴν αἶγα λαβεῖν βουλόμενον διήλεγξε, τῆς μιᾶς ἐκείνης αἰγὸς πρὸς τὴν μάνδραν, ἀπὸ τοῦ ταύτην ἕλκοντος βίᾳ μεταχωρούσης, μετὰ δὲ τὸ τὴν τιμὴν αὐτῆς ἀπαριθμήσασθαι τὸν ἐξωνούμενον, σὺν ταῖς λοιπαῖς μεινάσης. Ἰάσατο δὲ καὶ τοῦ Διακόνου τὴν ἀφωνίαν. Ὃς μικρὰν εὐχὴν ἐπιτραπεὶς ἔν τινι καύματι, διὰ κενοδοξίαν μεγάλην ἐξέτεινε, καὶ εὐθὺς εἰς ἀφωνίαν κατέστη. Τούτῳ συνυπακούοντες ὤφθησαν Ἄγγελοι. Καὶ τῷ Πνεύματί σου ἀντιφθεγξάμενοι, ἐν τῷ τὴν εἰρήνην συνήθως ἐν τῇ Ἐκκλησίᾳ διαδίδοναι. τῶν γὰρ ἐν λαμπάσι φώτων παρὰ τῶν ὑπηρετῶν ἀναφθέντων ὀλίγων, καὶ τοῦ Ὁσίου δυσχεραίνοντος ἐπὶ τούτῳ, μὴ παρεῖναι τινὰς ἔλεγον ἐν τῇ Ἐκκλησίᾳ, καὶ μὴ δεῖσθαι πλείονος δᾳδουχίας. ἐμαρτυρήθη δὲ τῷ Ἁγίῳ ἄνωθεν, ὅτι θεατὰς μᾶλλον Ἀγγέλους ἔχει ἐν ταῖς εὐχαῖς συμψάλλοντας. Ἡ δὲ ἐν τῷ λύχνῳ ἤδη μαραινομένου τοῦ ἐν αὐτῷ φωτὸς, καὶ λήγοντος διὰ τροφῆς ἔνδειαν, ἐξαίφνης τοῦ ἐλαίου ἀνάβλυσις, τίνας οὐκ ἐκπλήττει τῷ θαύματι; Πολλοῖς δὲ ἐκ προγνώσεως θείας, περὶ τῶν μελλόντων ἐθέσπισε. Καὶ τὸν Ἐπίσκοπον Τριφύλλιον μυθεύσας τοῖς ἐν Κόσμῳ τερπνοῖς προσκείμενον, ποθεῖν τὰ μέλλοντα μᾶλλον ἔπεισε. Καὶ τὴν μοιχευθεῖσαν γυναῖκα, τὴν ἐξομολόγησιν μὴ δεχομένην, ἀλλ' ἐν τῷ τίκτειν τὸν ἴδιον ἄνδρα πείθουσαν, ὅτι ἐξ αὐτοῦ εἴη τὸ ἐγκυμονούμενον, καίτοι μῆνας εἴκοσι ἀποπλεύσαντα, καὶ μὴ συγγενόμενον αὐτῇ, ἐπιτιμήσας θανάτῳ παρέδωκε. Τούτῳ θέρους ὥρᾳ, ἐν Ἡλίῳ φλέγοντι, δρόσου πλήρης ἡ κεφαλὴ ἐφαίνετο, δηλοῦντος τοῦ Θείου τὴν ἐπ' αὐτῷ γενησομένην τιμήν. Ὅπως δὲ ἦν συμπαθὴς, ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν ποίμνην αὐτοῦ συλῆσαι ἐπιχειρήσαντας. Οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατηθέντας τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ [illegible] ἐπιδοὺς ἀπέλυσεν ἐπαινῶν, ὡς ἂν μὴ ὦσι μάτην ἠγρυπνηκότες. Οὗτος τὸ καταπιστευθὲν ποίμνιον ἰθύνας καλῶς, πρὸς τὴν τῶν Ἀγγέλων πολιτείαν καὶ διαγωγὴν μετετάξατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἀποστολείῳ τοῦ Ἁγίου καὶ κορυφαίου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Συνετοῦ.

Στίχ. Τὸν Συνετὸν κτείνουσιν ἄφρονες ξίφει,
Τὴν εὐσεβῆ τιμῶντα πίστιν ἐμφρόνως.

Οὗτος ἦν ἐπὶ Αὐρηλιανοῦ Βασιλέως. ἐνδημοῦντι δὲ αὐτῷ ἐν τῇ τῶν Ῥωμαίων πόλει, καὶ τὰς θυσίας τοῖς εἰδώλοις προσάγοντι, διαλεχθεὶς οὗτος, ἀναγνώστης τῆς Ῥωμαίων

Digitized by Google

μαίων Ἐκκλησίας ὑπὸ τοῦ Ἁγίου Ξύστου προβεβλημένος, καὶ ὑποσχόμενος θῦσαι κατ' ἐμπαιγμὸν, καὶ φωραθεὶς τὴν ὑπόκρισιν, τύπτεται βουνεύροις, ὥστε πᾶσαν τὴν γῆν ἐκείνην τῷ αἵματι φοινιχθῆναι. εἶτα τῇ εἱρκτῇ ἐναπορρίπτεται. Τῇ δὲ ἑξῆς πάλιν ἁπλοῦται ἐν ἐσχάρᾳ σιδηρᾷ πεπυρακτωμένῃ, ὅτε καὶ θείας φωνῆς ἤκουσεν ἐνισχυούσης, καὶ προτρεπούσης αὐτὸν εἰς τὸν ἀγῶνα. Καὶ σὺν τῇ φωνῇ, λάβρος ὑετὸς κατερράγη, ἀλώβητον ἐκ τοῦ πυρὸς διαφυλάττων τὸν Μάρτυρα. Μετὰ ταῦτα ὀρύγματος γενομένου πήχεων δέκα, καὶ ξύλων ὀξυτάτων ἐντεθέντων τῷ βάθει, ἀπερρίφη ὁ Μάρτυς ἐκεῖσε, τῶν μελῶν αὐτοῦ σχεδὸν ἁπάντων κατακοπέντων. ὃς καὶ αὖθις Θείᾳ προνοίᾳ ὑγιὴς γέγονε. Πάλιν οὖν ἐγκλείεται εἰς τὸ λεγόμενον Πάνθεον, καὶ ἐξαχθεὶς, τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀλεξάνδρου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στ. Ὁ Ἀλέξανδρος εἷς ἦν τῶν θυηπόλων,
Ἀνδ' αἵματος εἷς ὢν καὶ τῶν Μαρτύρων.

Βασιλεύοντος Δεκίου ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, διωγμὸς μέγας ἐκινήθη κατὰ τῶν Χριστιανῶν. Ἐξαποστείλας γὰρ κατὰ πᾶσαν χώραν, ὥστε τοὺς εὑρισκομένους Χριστιανοὺς ἀναγκάζειν θύειν τοῖς εἰδώλοις, καὶ τὸν Χριστὸν ἀρνεῖσθαι, τοὺς δὲ μὴ πειθομένους τοῦτο ποιεῖν, τιμωρίαις δειναῖς ὑποβάλλεσθαι, καὶ εἶθ' οὕτως τοῦ ζῆν ὀδυνηρῶς ἀπαλλάττεσθαι. τότε ὁ ἁγιώτατος Ἀλέξανδρος οὗτος, Ἀρχιεπίσκοπος ὢν ἐν Ἱεροσολύμοις, διαβληθεὶς τῷ τῆς ἐκεῖσε Καισαρείας Ἄρχοντι, ἀποστείλας σιδηροδέσμιον παρέστησεν αὐτόν. καὶ πολλὰ διαλεχθεὶς μετ' αὐτοῦ, καὶ τὸν Χριστὸν ἀνακηρύξας μεγαλοφώνως μέσον πάντων Θεὸν καὶ Βασιλέα, καὶ πάντων εἶναι Δημιουργὸν, τὰ δὲ εἴδωλα καὶ τοὺς τιμῶντας αὐτὰ ἀναθεματίσας πεπαρρησιασμένῃ τῇ φωνῇ, μεγάλως ἐτάραξε τὸν θυμὸν αὐτοῦ. Διὸ καὶ ἐν ὀλίγῳ χρόνῳ τιμωρησάμενος αὐτὸν ποικίλως, ὑπὸ θηρῶν βρωθῆναι ζῶντα καταδικάζει ὁ δείλαιος. Τοῦτον δὲ γυμνὸν εὐθὺς ἀποδύσαντες, καὶ μέσον τοῦ θεάτρου ὡς κριὸν ἐπίσημον προσθέντα διάφορα θηρία πρὸς βρῶσιν αὐτοῦ ἐξαπέστειλεν ὁ Τύραννος. Ὁ δὲ προσδεξάμενος, καὶ τοῦτο προσέθετο. Κύριε, εἰ θέλημα σόν ἐστι τελειωθῆναί με νῦν, γενέσθω ὡς ηὐδόκησας. Καὶ διαφόρων θηρίων κατ' αὐτοῦ ἀπολυθέντων, τὰ μὲν προσκυνοῦντα, ὡς διὰ τῆς τῶν κεφαλῶν αὐτῶν κατακλίσεως· ἐφαίνοντο, εἰς τὰς ἑαυτῶν ἀνεχώρουν γαλεάγρας. τὰ δὲ κυλινδούμενα ἐπὶ τὴν γῆν, κατεφίλουν τοὺς πόδας αὐτοῦ, τὰ δὲ τὰς τραυματισθείσας αὐτοῦ σάρκας ταῖς γλώσσαις ἀπέλειχον. Ὁ δὲ μέγας Ἀρχιερεὺς τῷ Θεῷ εὐχαριστήσας, ἀπέπτη πρὸς Κύριον, τὸ σῶμα ἀβλαβὲς καταλιπὼν ἐν τῇ γῇ. Ὅπερ εὐλαβεῖς τινὲς μετ' αἰδοῦς μυρίσαντες, καὶ ὀθονίοις εἰλήσαντες, ἐν ἐπισήμῳ κατέθεντο τόπῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν Ἀμοναθᾶ καὶ Ἄνθου.

Στίχ. Μισῶ τὰ τῆς γῆς. Ἄγγελοι δέξασθέ με.
Ἀμωναθᾶς ὁ θεῖος ἐκλείπων λέγει.
Τὸ τοῦ Προφήτου προσφόρως Δαβὶδ φάνας,
Ὡς ἄνθος ἀγροῦ Θεῖος, Ἄνθος ἐρρύη.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Μωσέως τὸ ἄπλαστον, Δαβὶδ τὸ πρᾶον, Ἰὼβ τοῦ Αὐσίτιδος, τὸ ἄμεμπτον κτησάμενος, τοῦ Πνεύματος γέγονας, κατοικητήριον, μάκαρ ἱερώτατε, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Ψεκάδες τῇ κάρᾳ σου, ἐν ὥρᾳ θέρους, Οὐρανίους στάζουσαι, τὸ μέλλον προεσήμαινον. Θεὸς γὰρ ὡς ἔφησας, τὴν θείαν μνήμην σου, Ὅστις ἐδόξασε, πιστοὺς καθαγιάζων τῇ μεσιτείᾳ σου.

Συνόδῳ Πατέρων σου, Θεὸς δοξάζει, ἐν κρίσει τοὺς λόγους σου, φυλάξαντα Μακάριε. οὓς πίστει προσήγαγες, τὸν ἀλογώτατον, Ἄρειον μωραίνοντας, σαφῶς καὶ καταργοῦντας, τὴν τούτου ἔνστασιν. Θεοτοκ.

Τὸν βότρυν ἐβλάστησας, ἀρρήτῳ λόγῳ, Παρθένε ὡς ἄμπελος, τὸν πᾶσιν ἀ-

γεωρ-

Digitized by Google

γεώργητον, οἶνον ἀναβλύζοντα, ὕβρεις καὶ πᾶσαν μέθην, ἀνθρώπων ἐξαιρούμενα.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Κάμινον παθῶν, ταῖς θείαις ἐπομβρίαις, τοῦ θείου Πνεύματος κατέσβεσας, καὶ δρόσον ἐπήγασας, νοσημάτων Πάτερ καύσωνα, ἐξαίρουσαν τῶν πίστει σοι, πάντοτε προσιόντων, Μάκαρ Σπυρίδων παμόλβιε.

Ἄκακος εὐθύς, καὶ πρᾶος συμπαθής τε, καὶ ἀνεξίκακος γεγένησαι, ἀγάπῃ φιλόξενος, Ἱεράρχης ἱερώτατος, φρονήματι κοσμούμενος, Ὅσιε ὀρθοδόξῳ, ὅθεν σε πίστει γεραίρομεν.

Πάλαι σοι φωνήν, ὡς ζῶσα ἡ θανοῦσα, διερωτῶντι Πάτερ δέδωκεν. ὢ θαῦμα ἐξαίσιον. ὢ παράδοξον μυστήριον. ὢ χάριτος ἧς ἔτυχες, βίῳ κεκοσμημένος, Ἀγγελικῷ ἀξιάγαστε. Θεοτοκίον.

Πάθη τῆς ἐμῆς, θεράπευσον καρδίας, τῇ συμπαθείᾳ σου Πανύμνητε. τὸν νοῦν μου εἰρήνευσον, τὴν ψυχήν μου φωταγώγησον. καὶ βαίνειν με εὐόδωσον, τρίβους πρὸς σωτηρίους, ὅπως ἀεὶ μεγαλύνω σε.

Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

Ἀνάρχου Γεννήτορος, τρανῶς Υἱὸν ἐκήρυξας, Ὁμοούσιον Πάτερ, καὶ συναΐδιον, μέσον Θεοφόρων Πατέρων, μεγαλυνθεὶς, καὶ τῶν ἀνομούντων, ἐμφράξας τὰ στόματα, Ἱεράρχα Παμμακάριστε.

Πολύφωτε Ἥλιε, Πατέρων ἐγκαλλώπισμα, Ἱερέων τὸ κλέος, Ἀγγέλων σύσκηνε, τοὺς τὴν φωτοφόρον σου μνήμην, χαρμονικῶς νῦν ἐπιτελοῦντας, φωτὸς καταξίωσον, ἀνεσπέρου ταῖς πρεσβείαις σου.

Τὰ θεῖα σκηνώματα, ἡ Πύλη ἡ Οὐράνιος, ἡ τῶν ἑορταζόντων, τερπνὴ ὁμήγυρις, τὴν ἡγιασμένην ψυχήν σου, καὶ ἀρεταῖς, καθωραϊσμένην, Παμμάκαρ ἐδέξατο, ἐν φωνῇ ἀγαλλιάσεως. Θεοτοκίον.

Τὸ μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει Ἀγγέλους, Θεοχαρίτωτε, θέλγει τῶν Ὁσίων τὸν δῆμον, τοὺς ἱεροὺς, εὐφραίνει Πατέρας, ἐνθέως ὑμνοῦντάς σε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.

Τὸν πρᾶον καὶ ἡσύχιον, καὶ συμπαθῆ φιλόπτωχον· τὸ καθαρώτατον σκεῦος, τοῦ Πνεύματος τοῦ Ἁγίου, Σπυρίδωνα τὸν ἔνδοξον, πιστῶς ἀνευφημήσωμεν. σημείοις γὰρ καὶ τέρασι, Χριστὸς ἐδόξασε τοῦτον, ὡς γνήσιον αὐτοῦ φίλον.

Ἕτερον. Φῶς ἀναλλοίωτον Λόγε.

Ἐξ ἀλόγου ποίμνης μετήγαγεν εἰς λογικήν, τὸ Πνεῦμα Πνευματοφόρε, ὡς τὸν Μωσέα καὶ Δαβίδ. ὧν ἐμιμήσω τὸ πρᾶον, Σπυρίδων φῶς Οἰκουμένης.

Ἕτερον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἐδόξασεν ἐν θαύμασι, καὶ ἐν τέρασι πλείστοις, ὁ Κύριος Μακάριε. ἐν γὰρ θείᾳ Συνόδῳ, Τριάδα ἀνεκήρυξας, καὶ νεκροὺς ἀνέστησας. τὸν ὄφιν χρυσοῦν εἰργάσω, Ποταμοῦ δὲ τὸ ῥεῖθρον, παραδόξοις προσευχαῖς, ἀνέστειλας καὶ διῆλθες.

Θεοτοκίον. Ὅμοιον.

Ὁ Θεὸς οἶκός σου Κόρη, θαυμάτων ὤφθη πλούσια, κρήνη πηγάζουσα πᾶσι, θαυμάτων καὶ ἰαμάτων, Θεοχυτὸν πέλαγος. διὸ τιμῶμέν σε πόθῳ, καὶ μεγαλύνομεν πίστει.

Εἰς τοὺς αἴνους, ἱστ. προσόμοια. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλον, ὁ σοφὸς Ἱεράρχης, Ἀρείου τὸ ληρῶδες, ὅθεν ἁπλῶς, δογματίσας Τριάδα πιστῶς, ὑπὸ σοφῶν ἐδοξάσθη καὶ συνετῶν, καὶ τὴν σύνοδον ἐκύρωσεν.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχων, ψυχῶν τε καὶ σωμάτων, τοῖς πίστει καὶ νῦν, ἐκτελοῦσι τὴν μνήμην σου, Θεομακάριστε Πάτερ θαυματουργέ, μὴ ἐλλίπῃς ὑπερεύχεσθαι.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πίστεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ Θεοφόρε. διὸ τῆς Βασιλείας, τῆς ἄνω λαβὼν, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως πρόσευχου ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε Σπυρίδων σοφέ.



Digitized by Google

Δόξα. Ἦχος δ΄.

Ὅσιε Πάτερ, Ἱεράρχα ἀοίδιμε, ἀποστολικῆς διδασκαλίας, γενόμενος ἔμπλεως, καὶ τοῦ θείου Πνεύματος καταγώγιον, δι᾽ ἐναρέτου πολιτείας ἀναδειχθεὶς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας, καὶ τὴν ὀρθόδοξον πίστιν σαφῶς τρανώσας, στύλος ἀναδείκνυσαι, καὶ εὐσεβείας πρόμαχος. ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς πέρασιν, ὄφιν εἰς χρυσοῦν μετέβαλες, καὶ νεκρὸν πρὸς ἐρώτησιν ἤγειρας. ἀλλ᾽ ὦ Πατέρων ἀξιάγαστε, καὶ Διδασκάλων συνόμιλε, τὸν Σωτῆρα πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄.

Ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## Τῷ αὐτῷ Μηνὶ ΙΓ΄.

Τῶν Ἁγίων Μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου, καὶ τῆς Ἁγίας Μάρτυρος Λουκίας τῆς Παρθένου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Λάμπει τὸ μνημόσυνον, τοῦ Ἀθλοφόρου σου Κύριε, Εὐστρατίου ὡς Ἥλιος, λαμπρότητι κρύψαντος, ἀηττήτων λόγων, τὴν πολυθεΐαν, ὥσπερ ἀφώτιστον σκιὰν, καταργουμένην ὑπὸ τῆς πίστεως, καὶ τέσσαρας συμμάρτυρας, καὶ συμμετόχους ποιήσαντος. δι᾽ αὐτῶν ἡμῖν δώρησαι, ἱλασμὸν ὡς Φιλάνθρωπος.

Πόνοις καὶ παθήμασι, καὶ πολυτρόποις στερήσεσι, τῆς ζωῆς ἐπεδείξαντο, ἀγάπην οἱ Ἅγιοι, τὴν πρὸς σὲ τελείαν, μὴ σαλευομένην, σὺν Εὐστρατίῳ τῷ σοφῷ, καὶ Αὐξεντίῳ ἀγωνισάμενοι, Ὀρέστης καὶ Μαρδάριος, μετ᾽ Εὐγενίου οἱ ἔνδοξοι. ταῖς αὐτῶν σῶσον Κύριε, προσευχαῖς τὰς ψυχὰς ἡμῶν.

Χύσει τοῦ παράφρονος, ὁ εὐκλεὴς μὲν Αὐξέντιος, κεφαλὴν ἀποτέμνεται. Μαρδάριος πάλιν δὲ, θείοις ἀστραγάλοις, κρεμασθεὶς ἐστέφθη. ὁ δὲ Εὐγένιος τομῇ, χειρῶν καὶ γλώττης καθωραΐζεται. Ὀρέστης ἐν κραββάτῳ δὲ, τῷ πυριστρώτῳ κοιμίζεται, ἐν καμίνῳ Εὐστράτιος, ὡς Ἀμνὸς Χριστοῦ τίθεται.

Ἕτερα στ. Ἦχος ὁ αὐτός.

Πρὸς, Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς καλῶς στρατευσάμενος, Βασιλεῖ τῶν δυνάμεων, σεαυτὸν Εὐστράτιε παραδέδωκας, ἐθελουσίως εἰς βάσανα, καὶ βίαιον θάνατον, ἐπαγόμενος χορὸν, Συμμαρτύρων μακάριον. μεθ᾽ ὧν ἤθλησας, καὶ τῆς νίκης ἐδέξω τοὺς Στεφάνους, σὺν αὐτοῖς καθικετεύων, ὑπὲρ ἡμῶν Παναοίδιμε.

Ἀνενδότως τυπτόμενος, καὶ πυρὶ δαπανώμενος, καὶ κρηπῖσι Πάνσοφε καθηλούμενος, καὶ ἐν ὁδοῖς ἐλαυνόμενος, εἱρκτῇ συγκλειόμενος, καὶ ὡς θῦμα καθαρὸν, τῇ καμίνῳ ὀπτώμενος, προσενήνεξαι, καθαρὸν τῷ Τυθέντι ὡς εὐῶδες, ἱερεῖον ἐν τῇ ἄνω, τραπέζῃ Μάρτυς Εὐστράτιε.

Ὁ θεόφρων Εὐστράτιος, ὁ γενναῖος Αὐξέντιος, ὁ κλεινὸς Εὐγένιος καὶ Μαρδάριος, σὺν τῷ Ὀρέστῃ ἠγωνίσαντο, ἐχθροὺς τροπωσάμενοι, καὶ ἐκλάμψαντες σαφῶς, ὡς ἀστέρες πολύφωτοι, κατεφαίδρυναν, τῶν πιστῶν τὰς καρδίας καὶ τῆς πλάνης, ἀπεδίωξαν τὸ σκότος, τῇ φωταυγίᾳ τοῦ Πνεύματος.

Εἰ βούλει, ἄφες τὸ τῶν Ἁγίων, καὶ εἰπὲ τὸ παρὸν τῆς Ἁγίας. Ὅμοιον.

Παρθενίαν ἀκήρατον, ἐμμελῶς ἐξασκήσασα, προσηνέχθης χαίρουσα τῷ Ποιήσαντι. ἀρνησαμένη γὰρ πρόσκαιρον, νυμφίον πανεύφημε, ἐνυμφεύθης τῷ Χριστῷ. καὶ τὸν δρόμον τελέσασα, διὰ πίστεως, καὶ φαιδροῦ μαρτυρίου, νῦν παρέχεις, τοῖς τιμῶσί σε Λουκία, τῶν ἰαμάτων χαρίσματα.

Δόξα. Ἦχος Πλ. β΄.

Δεῦτε φιλομάρτυρες, τοὺς τοῦ Χριστοῦ Ἀθλοφόρους, ἐν ὕμνοις τιμήσωμεν. Εὐστράτιον τὸν ἀήττητον Μάρτυρα, Αὐξέντιον

Digitized by Google

τιον καὶ Εὐγένιον, καὶ Μαρδάριον καὶ Ὀρέστην, τὴν πενταυγῆ τῶν Μαρτύρων χορείαν. οἱ καλῶς ἀγωνισάμενοι, κατὰ τοῦ ἀοράτου ἐχθροῦ, καὶ βραβεῖα τῆς νίκης ἀναδησάμενοι, πρεσβεύουσι Χριστῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τελούντων τὴν μνήμην αὐτῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται Ἁγνή, Παρθένε Θεοτόκε. ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως. Σταυροθεοτοκίον.

Τριήμερος ἀνέστης Χριστέ,

Ἐν τῷ ξύλῳ τὴν ζωὴν ἡμῶν, ὁρῶσα ἡ Παναμώμος, Θεοτόκος, κρεμαμένην μητρικῶς, ὠδύρετο βοῶσα· Υἱέ μου καὶ Θεέ μου σῶσον τοὺς πίστει ἀνυμνοῦντάς σε.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Ἢ ταῦτα στ. προσόμοια. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ὁ θαυμαστὸς Ἀθλοφόρος, ἡμᾶς Εὐστράτιος, σήμερον συγκαλεῖται, τὴν σεπτὴν αὐτοῦ μνήμην, τελέσαι ἐτησίως. διὸ καὶ ἡμεῖς, συνελθόντες τιμήσωμεν, ὡς ἐραστὴν τοῦ Κυρίου, καὶ καρτερῶς, ὑπὲρ τῆς πίστεως ἀθλήσαντα.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Δαβιτικῶς τὴν ἀνδρείαν, καθοπλισάμενος, τὸν δεύτερον καὶ πλάνον Γολιὰθ ἀποκτείνας, τῇ πίστει τῆς Τριάδος. ὅθεν ἀεί, συνευφραίνῃ Εὐστράτιε, ἐν Οὐρανοῖς μετ' Ἀγγέλων ἐκδυσωπῶν, τὸν Σωτῆρα τοῦ σωθῆναι ἡμᾶς.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ὡς ὁ Θεσβίτης Ἠλίας, ζηλῶν ἐζήλωσας, προφητικῶς Κυρίῳ, Παντοκράτορι Μάρτυς, Εὐστράτιε Θεόφρον, θράσος κενόν, τῶν ἀνόμων διήλεγξας, καταβαλὼν τῶν εἰδώλων ὡς δυνατός, τὰ βδελύγματα Μακάριε. Δόξα. Ἦχος Πλ. α΄.

Τῶν τυράννων τὰ θράση μὴ δειλιάσαντες, μᾶλλον τοῦ Χριστοῦ τὴν πίστιν, τρανῶς κηρύξαντες, ξεσμοὺς πολλούς, καὶ βασάνους ὑπεμείνατε, Εὐστράτιε, καὶ Αὐξέντιε, Εὐγένιε καὶ Ὀρέστα, καὶ ἔνδοξε Μαρδάριε. Διὸ πρεσβεύσατε τῷ Βασιλεῖ καὶ Θεῷ ὑπὲρ ἡμῶν τῶν ἐν πίστει, τελούντων τὴν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Χαῖρε ἡ Πύλη τοῦ Θεοῦ. χαῖρε Παράχραντε Παρθένε Ἁγνή. χαῖρε Δέσποινα καὶ προστασία τοῦ Κόσμου. χαῖρε Τεῖχος καὶ καταφυγή, καὶ σκέπη τοῦ γένους ἡμῶν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Καθορῶσα πάλαι τὸν Ἀμνόν, ἑαυτῆς ἡ Παρθένος Μήτηρ, καὶ παναμώμητος Κόρη, Σταυρῷ ἀνυψούμενον, ἐβόα δακρύουσα. οἴμοι Υἱέ μου, πῶς θνήσκεις, Θεὸς φύσει ὢν ἀθάνατος.

Ἀπολυτίκ. Ἦχος δ΄. Οἱ Μάρτυρές σου Κύριε.

Καὶ τῆς Ἁγίας. Ἡ Ἀμνάς σου Ἰησοῦ.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων, εἰς ϛ΄. Ὁ Κανών. Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Βραβεύων ἐν Οὐρανοῖς τὰ ἔπαθλα, τοῖς ἐπὶ γῆς ἀθληταῖς, ἀγωνοθέτης κάθηται Χριστός, δεξιᾷ παντοκράτορι, τοὺς ἀμφὶ τὸν Εὐστράτιον, θείους στεφάνους προτεινόμενος.

Χορείαν μαρτυρικὴν πενταρίθμον, δεῦτε κατίδωμεν, ὑπερφυεῖ ἀστράπτουσαν φωτί, κεκτημένην ταξίαρχον, τὸν ποθητὸν Εὐστράτιον, χάριτι Θείᾳ στεφανούμενον.

Τὴν ζώνην τοῦ ἐπὶ γῆς στρατεύματος, ἀπεκδυσάμενος, τῷ ἀληθεῖ προσάγεις Βασιλεῖ, τῆς ἀθλήσεως σύμβολον, παρὰ Χριστοῦ Εὐστράτιε, δι' Αὐξεντίου κομιζόμενος.

Ἀστέρες ἐν Οὐρανῷ τῆς πίστεως, ἀεὶ κινούμενοι, τὰς τῶν πιστῶν λαμπρύνουσι ψυχάς, φωτισμὸν ἀποστίλβοντες, οἱ περὶ τὸν Εὐστράτιον, οὓς ἐπαξίως εὐφημήσωμεν. Τῆς Ἁγίας.

Πορφύραν σῶν ἐξ αἱμάτων βάψασα, καὶ στολισθεῖσα φαιδρῶς, περιφανῶς τὰ ἄνω κατοικεῖς, ὡς Παρθένος Βασίλεια, καὶ θείαις λαμπρότησι, Μάρτυς Λουκία κατηγλάϊσαι.



Digitized by Google

Θεοτοκίον.

Χωρίον χωρητικὸν γεγένησαι, τῆς θείας φύσεως, Θεογεννῆτορ Ἄχραντε διό, σὲ Λουκία ποθήσασα, παρθενικῶς ὀπίσω σου, τῷ σῷ Υἱῷ προσαπενήνεκται.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἐλπίδι τῶν αἰκισμῶν, ὥσπερ αὔλου θησαυροῦ γέγονας, ὑπερφυῶς ἔμπλεως, πάσης θυμηδίας Εὐστράτιε.

Σοφία Πραγματικῇ, ὑπομονῇ τε πειρασμῶν ἤλεγξας, Μάρτυς Χριστοῦ Αὐξέντιε, τὴν τυραννικὴν ἀθεότητα.

Ὡς Κόσμος θεολαμπής, τῆς Ἐκκλησίας τῶν πιστῶν Μάρτυρες, τὰ τοῦ Χριστοῦ στίγματα, περιλαμπόμενοι γεγόνατε.

Τὰ μέλη καρτερικῶς, ἀθλητικοῖς κατεφλεχθεὶς ἄνθραξιν, εἰδωλικῆς ἔσβεσας, πλάνης τὴν μανίαν Εὐστράτιε.

Τῆς Ἁγίας.

Ὡς νύμφη περικαλλής, τοῦ Βασιλέως καὶ Θεοῦ ἔνδοξε, Μάρτυς Λουκία εἴληφας, μονὴν τῶν Οὐρανῶν τὰ Βασίλεια.

Θεοτοκίον.

Κυρίως καὶ ἀληθῶς, σὲ Θεοτόκον πιστοὶ σεβόμεθα. σὺ γὰρ Θεὸν τέτοκας, σάρκα γεγονότα Παναμώμε.

Κάθισμα. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῶν Μαρτύρων αἵμασιν, ἡ Ἐκκλησία, ἀρδευθεῖσα ἤνθησεν, ὀρθοδοξίαν τοῖς πιστοῖς, ἐγκαυχωμένη καὶ λέγουσα, κλέος Μαρτύρων ἐδείχθητε Ἅγιοι.

Ἕτερον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τῆς Τριάδος τῇ πίστει ὀχυρωθείς, ἀληθείας σφενδόνῃ καθοπλισθείς, τῆς πλάνης κατέβαλες, τὸ ἀλλόφυλον θράσος. καὶ τοῦ ἐχθροῦ ἁρπάσας, τῶν λόγων τὴν μάχαιραν, ἐν αὐτῇ ἀπέτεμες, τοῦ ψεύδους τὴν ἔνστασιν. ὅθεν τοῖς τροπαίοις, θριαμβεύων τῆς νίκης, τῷ σώματι τέθνηκας, τῷ δὲ πνεύματι ἔζησας, Ἀθλοφόρε Εὐστράτιε, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἀμέμπτως ἐκ νεκρῶν.

Ὁ Λόγος τοῦ Πατρὸς, ἐπὶ τῆς γῆς κατῆλθε, καὶ Ἄγγελος φωτὸς, τῇ Θεοτόκῳ ἐβόα· χαῖρε εὐλογημένη, ἡ τὴν ἁγνείαν μόνη φυλάξασα, σύλληψιν συλλαβοῦσα, τὸν πρὸ αἰώνων Θεὸν καὶ Κύριον, ἵνα τῆς πλάνης σώσῃ ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τῷ πάθει τοῦ Υἱοῦ, ἡ Ἀγνὴ ἐφεστῶσα, θρηνοῦσα γοερὸν, κατηλάλαζε μέλος. πῶς σε τὸν ἀσιγήτως, Ἀγγέλων ὕμνοις δοξολογούμενον, παῖδες Ἑβραίων φεῦ μοι, Πιλάτου κρίσει Υἱὲ παρέστησαν; ὑμνολογῶ σου Λόγε τὴν πολλὴν, καὶ ἄρρητον εὐσπλαγχνίαν.

Ὠδὴ δ'. Δι' ἀγάπησιν οἰκτίρμων.

Ἐναπεβάλου τοῖς μώλωψι τῆς σαρκός σου, τὰς ψυχικὰς κηλῖδας, τὰς βολίδας συντρίψας, τοῦ δολίου δράκοντος, τῇ πίστει Εὐστράτιε.

Ἐδοξάσθη σου τοῖς μέλεσιν Ἀθλοφόρε, ὁ Βασιλεὺς τῆς δόξης, καὶ ἀρρήτου σε δόξης, ἐν δυνάμει ἔπλησε, τεράτων Εὐστράτιε.

Τῶν ἁλιέων ζηλώσας τὴν παρρησίαν, μαρτυρικῇ σαγήνῃ, τῷ Δεσπότῃ προσάγεις, τὸν σοφὸν Εὐγένιον, ζωγρήσας Εὐστράτιε.

Ὄντως ὡραῖοι οἱ πόδες τῶν Ἀθλοφόρων, τὸν δυσμενῆ πατοῦντες, καὶ Χριστῷ μελῳδοῦντες, ὁδὸν μαρτυρίου, δραμούμεθα Δέσποτα.

Τῆς Ἁγίας.

Παρθενίαν ἐνδραμοῦσα ἐν τοῖς ὑψίστοις, παρὰ Θεοῦ Λουκία, τοῖς τιμῶσί σε πόθῳ, τῶν πταισμάτων αἴτησαι, δοθῆναι τὴν ἄφεσιν.

Παρθενία καὶ ἀθλήσει λελαμπρυσμένη, τῷ ἐκ Παρθένου Κόρης, ἀνατείλαντι Λόγῳ, ἄφθορος μεμνήστευσαι, Λουκία Πανεύφημε.

Θεοτοκίον.

Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην, κατανοοῦσα Κόρη, τὸν ἀφράστως τεχθέντα, Λόγον ἐκ λαγόνων σου, πιστῶς ἐμεγάλυνας.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Εὐσεβείας περαστὴρ, ἑωσφόρος ἀνέτειλας, ἐν φάλαγγι τῶν Μαρτύρων, τηλαυγῶς διαπρέπων, ἀοίδιμε Εὐστράτιε.

Σὲ

Ρέγγει κατιδὼν, νοητῷ διαλάμποντα, Μαρδάριος ὁ Θεόφρων, ὡς ποιμένι ἀρνίον, προστρέχει σοι Εὐστράτιε.

Ρὺ πάντα τὰ τερπνὰ, ἐλογίσω ὡς σκύβαλα, Εὐγένιε ἐκνικήσας, τοὺς τῆς φύσεως νόμους, τῷ φίλτρῳ τῆς ἀθλήσεως.

Τῆς Ἁγίας.

Σοῦ μόνου καλλοναῖς, ὡς παρθένος ἐνήδομαι, σὲ Κύριε ἀγαπῶσα, σφαγιάζομαι ξίφει, Λουκία ἀνεκραύγαζεν.

Ὢ κλῆρος ἀγαθός. ὢ μερὶς ἡ θεόσδοτος. ὢ γενναῖον τῇ καλλίστῃ, συμβουλῇ ἐκνικῆσαν, τὴν πλάνην τῆς Προμήτορος.

Θεοτοκίον.

Νοῦς βρότειος τὴν σὴν, ὑπὲρ ἔννοιαν σύλληψιν, οὐ δύναται ἐννοῆσαι, Μητροπάρθενε Κόρη· Θεὸν γὰρ ἀπεκύησας.

Ὠδὴ ϛ΄. Θύσω σοι μετὰ φωνῆς.

Χριστός μοι, ἀντὶ πάντων ἐστὶν ὁ Μαρδάριος, διαπρυσίως ἐβόα, καὶ πατρὶς καὶ σέβας καὶ ὄνομα· ὑπὸ σοῦ γὰρ, τοῦτο ἐξεπαιδεύθη Εὐστράτιε.

Τοὺς πόδας, τρυπηθεὶς ἀνηρτήθης τῆς ἀντυγος. πεπυρωμένοις ἐφλέχθης, ὀβελίσκοις δὲ τὰ μετάφρενα. τὸ δὲ Πνεῦμα, τῷ Δεσπότῃ παρέθου Μαρδάριε.

Ἡ γλῶσσα, ἐκκοπεῖσα τῶν ὕμνων οὐ παύεται. αἱ δὲ τμηθεῖσαι σου χεῖρες, πρὸς Θεὸν Εὐγένιε αἴρονται. σωτηρίαν, τοῖς ὑμνοῦσιν αἰτοῦσαι τὴν μνήμην σου.

Τῆς Ἁγίας.

Τίμιος, ἐναντίον Κυρίου ὁ θάνατος, ὁσίου γεγένηται Μάρτυς. τοῦ γὰρ ζῆν προέκρινας τὸ τεθνάναι· ἵνα ζῶντα, τὸν Χριστὸν ἐν σοὶ ἕξῃς Λουκία Σεμνή. Θτ.

Ἰσχύν σε, ἐνδραμοῦσα Παρθένε καὶ στήριγμα, ἡ Ἀθλοφόρος αἰκίσεις, καρτερῶς προσφέρει καὶ χαίρουσα, σοῦ ὀπίσω, τῷ τῶν ὅλων Δεσπότῃ προσάγεται.

Κοντάκ. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Φωστὴρ ἐφάνης λαμπρότατος τοῖς ἐν σκότει, τῆς ἀγνωσίας καθημένοις Ἀθλοφόρε. πίστεως δόρυ γὰρ περιθέμενος, τῶν δυσμενῶν τὰ θράση, οὐκ ἐπτοήθης Εὐστράτιε, Ῥητόρων ἐδείχθης εὐγλωττότερος.

Ὁ Οἶκος.

Πρὸ ζοφερὸν Χριστὲ τῆς ψυχῆς μου διασκέδασον, ὅπως ἀνυμνήσω λαμπρῶς χορὸν Μαρτύρων πενταριθμόν. Αὐξέντιον τὸν ἐν αὐξήσει θείκῆς πολιτείας ἀναστραφέντα, καὶ τὸν σοφὸν καὶ γενναῖον ἐν τοῖς ἄθλοις Εὐγένιον. σὺν τούτοις καὶ τὸν Ὀρέστην, τὸν τοῖς θείοις διαιτώμενον ὄρεσι. Μαρδάριον τὸν ἁπλούστατον, οὗ ὑπῆρξεν Εὐστράτιος καθηγητὴς, Ῥητόρων ὑπάρχων εὐγλωττότερος.

Τῷ αὐτῷ Μηνὶ ΙΓ΄. Ἄθλησις τῶν Ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ Μαρτύρων, Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου.

Στ. Τὸν Εὐστράτιον καὶ συνάθλους δὶς δύω, Ἅπαξ δύω κτείνουσι πῦρ τε καὶ ξίφος.

Τοὺς γε σὺν Εὐστρατίῳ δεκάτῃ τρίτῃ ἔκταμεν ἄορ.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῶν δυσσεβῶν βασιλέων, καὶ Λυσίου Δουκὸς, τῆς Λυμιταναίων τάξεως κρατοῦντος, καὶ Ἀγρικολάου πᾶσαν τὴν τῆς ἀνατολῆς ἐπαρχίαν διοικοῦντος, ἄνωθεν μὲν καὶ ἐκ προγόνων σεβόμενοι τὸν Χριστὸν, ὑποκρύπτοντες δὲ ἑαυτοὺς φόβῳ τῶν Τυράννων καὶ διωκτῶν. τούτων, ὁ μὲν Ἅγιος Εὐστράτιος, ἐκ τῆς Ἀραβρακηνῶν ὡρμᾶτο Πόλεως, Σκρινιάριος ὑπάρχων τῆς Δουκικῆς τάξεως, καὶ ἐν αὐτῇ πρωτεύων. Ἐπιθυμῶν δὲ παρρησιάσασθαι τὴν εὐσέβειαν, καὶ τὸ τῆς ἐκβάσεως ἄδηλον δεδοικὼς, τὴν ζώνην αὐτοῦ διά τινος τῶν ὑπηρετούντων ἀποτεθῆναι προσέταξεν, ἐν τῇ κατὰ Ἀράβρακα Ἐκκλησίᾳ. Τοῦτο θεὶς ἐν ἑαυτῷ, καὶ ἀπόπειραν τοῦ σκοποῦ ποιησάμενος, ὡς εἰ ὁ πρεσβύτερος Αὐξέντιος εἰσελθὼν λάβῃ αὐτὴν κατ' εὐδοκίαν αὐτῷ γενέσθαι τὴν εἰς Χριστὸν ὁμολογίαν καὶ παρρησίαν, μηδενὸς τῶν προσδοκωμένων ὑποπτήξαντα παραστῆναι. Εἰ δὲ ἕτερός τις τῆς Ἐκκλησίας τὴν ζώνην κομίσαιτο, ἔτι τὴν εἰς Χριστὸν πίστιν περιφέρειν ἐν τῷ κρυπτῷ, καὶ μηδαμῶς εἰς ἐμφάνειαν ἐλθεῖν. Κατὰ νοῦν δὲ αὐτῷ τὰ τῆς πείρας ἐκβάντα θεασάμενος, καὶ τοῦ

πρεσ-

Digitized by Google

πρεσβυτέρου Αὐξεντίου τὴν ζώνην ἀφελομένου, ὑπειληφὼς ὅτι καλῶς αὐτῷ ἡ διὰ Χριστὸν ἀποβήσεται μαρτυρία, ἐμφανὴς τῷ Λυσίᾳ κατέστη, καὶ παρρησιάζεται τὴν εὐσέβειαν. Ἐν γὰρ τῷ τοὺς Ἁγίους τοὺς προαθλήσαντας παραστῆναι, καὶ αὐτὸς τῷ Λυσίᾳ παρέστη, καὶ γὰρ ἦν τῆς τοιαύτης τάξεως πρῶτος. διὸ καὶ πρῶτον ἑαυτὸν ἀναγορεύει Χριστιανόν. Ὅθεν παρὰ τοῦ Τυράννου ἀφαιρεῖται τὴν ζώνην, καὶ κατὰ πρόσταξιν αὐτοῦ γυμνοῦται, καὶ διαταθεὶς ἐπὶ γῆς μαστίζεται. Εἶτα σχοινίοις δεθεὶς, εἰς ὕψος μετεωρίζεται, καὶ τῷ ὑποστρωθέντι αὐτῷ πυρὶ κάτωθεν καταφλέγεται. Μετὰ τοῦτο, ἅλατι, καὶ ὄξει συμφυραθέντι, τοῖς καταφλεχθεῖσιν ἐπιχέεται μέλεσι, καὶ ὀστράκοις τὰς πλευρὰς κατατρίβεται, καὶ παραδόξως θαυματουργήσας, (κατέστη γὰρ ὅλος ὑγιής.) τὸν Ἅγιον Εὐγένιον ἐκκαλεῖται πρὸς τὴν εἰς Χριστὸν πίστιν, καὶ παρρησίᾳ καὶ αὐτὸς ὁμολογεῖ, σύμφρονα εἶναι λέγων τῷ Ἁγίῳ Εὐστρατίῳ, καὶ τὸ αὐτὸ σέβας τῷ παρ' ἐκείνου τιμωμένῳ προσάγει Θεῷ. Τότε κρηπῖσι σιδηραῖς ἡλωθεὶς ὁ Ἅγιος Εὐστράτιος, ἀπὸ τῆς Σεβαστιανῶν Πόλεως, μέχρι Νικοπόλεως ἐλαύνεται σὺν ἅμα τῷ Εὐγενίῳ. Καὶ ἐν τῷ μεταξὺ διαστήματι, ὁ Ἅγιος Μαρδάριος ἐλαυνόμενον ἰδὼν τὸν Ἅγιον Εὐστράτιον, καὶ ἐν τοιούτῳ σχήματι τὸν περίβλεπτον ἐννοήσας, ἐμακάρισέ τε αὐτὸν τῆς καρτερίας, ὅτι διὰ τὴν εἰς Χριστὸν πίστιν εἰς οἵαν ἀνθ' οἵας ἦλθε κατάστασιν, ἐκ περιφανοῦς καὶ γένους λαμπροῦ τὰ τῶν κακούργων πάσχειν ἑλόμενος. Καὶ σύμβουλον εἰς τοῦτο λαβὼν τὴν γυναῖκα προτρεπομένην καὶ αὐτὴν αὐτὸν πρὸς τὴν ἄθλησιν, ταύτην καὶ τὰ ἐξ αὐτῆς τέκνα τῷ Θεῷ παραθεὶς, κατὰ τὴν ὁδὸν ἐλαυνόμενον τὸν Ἅγιον Εὐστράτιον ἔφθασε, καὶ συνεδέθη αὐτῷ. Εἰς ἐξέτασιν δὲ τοῦ Λυσίου καθίσαντος, ὁ Ἅγιος Αὐξέντιος πρῶτος ἀπετμήθη τὴν κεφαλὴν, ἑαυτὸν ὀνομάσας Χριστιανόν. Ὁ δὲ Ἅγιος Μαρδάριος, τρυπηθεὶς τοὺς ἀστραγάλους, κατὰ κεφαλῆς ἐκρεμάσθη, καὶ ὀβελίσκοις ὀξέσι πεπυρωμένοις τὰ μετάφρενα κατεφλέχθη, καὶ τῷ Θεῷ τὸ Πνεῦμα παρέθετο. Ὁ δὲ Ἅγιος Εὐγένιος τὴν γλῶσσαν τέμνεται, καὶ τὰ σκέλη ῥοπάλοις συνθλᾶται, καὶ ἐν αὐτοῖς τοῖς δεσμοῖς ἀφίησι τὴν ψυχήν. Ἐπεὶ δὲ ὁ Ἅγιος Ὀρέστης ἐν τῷ μέλλειν κατὰ τοῦ σκοποῦ τὰς χεῖρας κινεῖν, δῆλος ἐγένετο ὡς τῆς τῶν Χριστιανῶν πίστεως καὶ αὐτὸς ὤν. ὁ γὰρ Σταυρὸς, ὃν ὡς φυλακτήριον ἐν τῷ στήθει περιέφερεν, ἐν τῷ ἀκοντίσαι συστραφέντος αὐτοῦ, ἔξωθεν ἐφάνη, καὶ Χριστοῦ δοῦλον ἑαυτὸν ὠνόμασε, καὶ τῷ Ἁγίῳ συνεδέθη Εὐστρατίῳ, καὶ παρεπέμφθησαν ἀμφότεροι παρὰ τοῦ Λυσίου, εἰς τὸν Ἀγρικόλαον. συμφέρον τοῦτο νομίσαντος τοῦ Λυσίου, οὐ μόνον διὰ τὴν ἐν λόγοις Εὐστρατίου σοφίαν καὶ δύναμιν, στηλιτεύσαντος αὐτὸν κατὰ τῆς θρησκείας αὐτοῦ καὶ μυκτηρίσαντος, ἀλλ' ἵνα μὴ καὶ αὖθις θαυματουργήσας, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπισπάσηται πίστιν. Παραστὰς οὖν τῷ Ἀγρικολάῳ ὁ Ἅγιος Εὐστράτιος, καὶ πᾶσαν τῆς ἑλληνικῆς πλάνης τὴν ἀπάτην ἐκ τῶν παρ' αὐτοῖς λεγομένων στηλιτεύσας. καὶ γὰρ ἦν ἄκρος τὴν παίδευσιν. καὶ τὴν κατὰ Χριστὸν οἰκονομίαν διεξελθὼν, καὶ ἐκπλήξας τὸν Τύραννον, καὶ τὸν τόμον τῆς διατάξεως αὐτοῦ ἐγχειρίσας τῷ Ἁγίῳ Βλασίῳ τῷ Ἐπισκόπῳ ἐν τῇ εἱρκτῇ. (ὃς καὶ τῶν ἀχράντων αὐτῷ μυστηρίων μετέδωκε.) τοῦ Ἁγίου Ὀρέστου ἐν σιδηρῷ κραββάτῳ ἐκπυρωθέντι πρότερον τεθέντος, καὶ ἐν αὐτῷ τὸ τέλος λαβόντος, ὕστερον αὐτὸς ἀναφθείσης καμίνου ἐμβληθεὶς ἐν αὐτῇ, τὸν τοῦ μαρτυρίου στέφανον ἐκομίσατο. Ἡ δὲ σύναξις αὐτῶν τελεῖται ἐν τῷ Ἁγίῳ ἀποστολείῳ τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου, πλησίον τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Λουκίας τῆς Παρθένου.

Στ. Ὡς Παρθένος μὲν, ἓν στέφος ἡ Λουκία.
Ὡς δ' ἐκ ξίφους καὶ Μάρτυς ἄλλο λαμβάνει.

Αὕτη ἦν ἐκ τῆς Συρακούσης Πόλεως, τῆς κατὰ τὴν Σικελίαν, μεμνηστευμένη ἀνδρί. Διὰ δὲ τὴν ἐνσκήψασαν νόσον τῇ ταύ-

Digitized by Google

ταύτης Μητρὶ, ἅμα αὐτῇ ἐπὶ Κατάνῃ παρεγένετο, δεηθησομένη τῆς Ἁγίας Μάρτυρος Ἀγάθης ἀπαλλάξαι τῆς αἱμοῤῥοίας τὴν Μητέρα αὐτῆς. Παραγενομένης δὲ, ὄναρ εἶδε τὴν Ἁγίαν Ἀγάθην, τήν τε ἴασιν παρεχομένην τῇ Μητρὶ αὐτῆς, καὶ προθεσπίζουσαν αὐτῇ περὶ τοῦ κατὰ Χριστὸν μαρτυρίου. Ὡς δὲ ἡ Μήτηρ αὐτῆς γέγονεν ὑγιὴς, τῶν ὑπαρχόντων αὐτῆς διανομὴν πρὸς τοὺς πένητας ποιήσασα, εὔθυμος ἦν πρὸς τὴν τοῦ Χριστοῦ ὁμολογίαν. Παρὰ δὲ τοῦ Μνηστῆρος διαβληθεῖσα, παρέστη τῷ Ἄρχοντι Πασχασίῳ, ὃς ἐκέλευσεν αὐτὴν ἐν πορνείῳ ἐμπεμφθεῖσαν ὑβρισθῆναι. διέμεινε δὲ τῇ τοῦ Χριστοῦ χάριτι ἐν ἁγνείᾳ, καί τοι πολλῶν συνελθόντων, μὴ δυνηθέντων δὲ μετακινῆσαι ἐκ τοῦ τόπου ἔνθα ἐστήρικτο. Ἀπαγορεύσαντες δὲ τὴν αὐτῆς μετάθεσιν, καὶ μὴ δὲ διὰ τῆς πυρᾶς, ἣν ἀνῆψαν ἔνθα ἡ Ἁγία ἵστατο, αὐτὴν καταφλέξαντες, διὰ τὸ ὑπὸ Θεοῦ ταύτην φυλάττεσθαι, ξίφει τὴν αὐτῆς ἀπέτεμον κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ ἐν τῷ Λάτρῳ.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν, καὶ θαυματουργὸς Ἀρσένιος, ἐκ Βυζαντίδος ὑπῆρχε τῆς Πόλεως, γονέων εὐσεβῶν καὶ πιστῶν, εὐπόρων δὲ καὶ τὰ πρῶτα φερόντων ὑπάρχων υἱός. Οὕτω γοῦν γένους καταγομένου τοῦ μακαρίου περιφανεστάτου καὶ λαμπροῦ, καὶ τὴν εὐσέβειαν ἐπὶ μᾶλλον αὐξάνοντος, προσεβραβεύθη αὐτῷ καὶ ἕτερόν τι παρὰ τοῦ τότε κρατοῦντος ἀξίωμα, μέγας Στρατηγὸς καὶ Πατρίκιος τοῦ τῶν Κιβυρραιωτῶν χρηματίσας θέματος. Καιρῷ δέ τινι, στόλος διαπόντιος κελεύσει κινεῖται Βασιλικῇ, οὗ τὴν προστασίαν αὐτὸς ἐγχειρίζεται. Βρασμοῦ δὲ γενομένου ἐξ ἐναντίων τῆς Θαλάσσης τῶν πυθμένων, ἅπαντα τὰ πλοῖα κατεποντίσθησαν, αὐτοῦ μόνου ἐν χέρσῳ διασωθέντος. Ἀδείας δὲ ἐντοῦθεν τυχὼν ἧς ἐφίετο ἐκ πολλοῦ, τὸ μονότροπον εἵλετο σχῆμα, ὑποπιάζων τὸ σῶμα, καὶ δοῦλον ποιῶν τῆς ψυχῆς· οὗ δ' ὑποπιασμὸς, νηστεία, ἀγρυπνία, χαμευνία, καὶ ἡ ἄλλη κακουχία τοῦ σώματος ἦν. Πρὸς δὲ τούτοις καὶ σιδήρων βάρει ἐστενοχώρει τὴν σάρκα, ὁ καὶ σιδήρου καὶ ἀδάμαντος δυνατώτερος καὶ στερρότερος. Τὰ δέ γε τῶν δακρύων πελάγη, τὰς παννύχους στάσεις, καὶ τὰς τῶν πονηρῶν πνευμάτων ἐφόδους, καὶ τὰς ἐν ψύχει καὶ γυμνότητι καρτερίας αὐτοῦ, οὐδεὶς ὡς οὐδὲ ψάμμον ἀπαριθμήσειεν. Οὕτω καλῶς ἐνάγων ὁ μακάριος, εἰς τόπον ἀντικρὺ τοῦ ἱεροῦ ὑπὸ τοῦ Πνεύματος πέμπεται. Ἐκεῖσε δὲ καλῶς ὁ γενναῖος σπείρας ἐν δάκρυσι, καὶ τόπον ἐκεῖνον ἐναποφήνας κλαυθμῶνος, ἐν ἀγαλλιάσει θερίζειν ἄρχεται. Ἐσθὴς δὲ αὐτῷ τριχίνη, ἅπαν κατατρύχουσα τὸ ἀπὸ τῶν σιδήρων ἐλλεῖπον μέρος τοῦ σώματος. Ἐτρέφετο δὲ ἀγρίαις βοτάναις, ἀτροφίαν ὡς ἄν τις εἴπῃ μᾶλλον, οὐχὶ τροφήν. Καὶ ταύταις οὐκ εἰς κόρον, ἀλλ' ὅσον μόνον ἐναπογεύεσθαι. Τὴν δίψαν δὲ αὐτοῦ, ὕδωρ ὅτι λίαν βραχὺ, διὰ δύο ἢ τριῶν ἡμερῶν ἐθεράπευεν. Εἶτα τὸ Λάτρον καταλαβὼν τὸ θαυμάσιον, θαυμαστῶς ἐκεῖσε διέτριβεν ὁ πανθαύμαστος, καὶ τὴν ἐν τῷ σπηλαίῳ ἐμφωλεύουσαν ἀσπίδα, καὶ τὰ ὕδατα λυμαινομένην, εὐχῇ μόνῃ καὶ τύπῳ Σταυροῦ, νεκρὰν παραχρῆμα εἰργάσατο. Καταλαβὼν δὲ τὴν ἱερὰν τῶν Κελλιβάρων Μονὴν ἐκ θείας κελεύσεως, καὶ μικρὸν εἰς αὐτὴν προστατεύσας, πολλοῖς εἰς ἀρετὴν ἀλείπτης ἐγένετο. Εἶτα πάλιν τῆς Λαύρας ἀπαναστὰς, πρὸς τὴν ποθουμένην ἡσυχίαν ἀνέδραμεν, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος. εἴς τινα δὲ τρώγλην, ἐν ᾗ συχναὶ θηρίων διατριβαὶ καὶ μοναὶ ἐτύγχανον, φέρων ἐκδίδωσιν ἑαυτόν· καὶ τοῖς θηρίοις συνδιαιτώμενος, ἀτρέμας ἔμενεν, ὡς ἄλλος ἀναφανεὶς Δανιὴλ ἐν τῷ λάκκῳ τῶν Λεόντων ποτέ. Ποιήσας δὲ ἐκ ποδῶν τὰ θηρία, τὴν τούτων τρώγλην φροντιστήριον ψυχῶν κατεσκεύασε. Φοιτᾷ πάλιν εἰς τὴν Λαύραν ὁ μέγας τῇ παρακλήσει τῶν ἀδελφῶν, οὐ κοινῶς, μόνος δὲ τῷ μόνῳ λατρεύων Θεῷ, ἐν τινι στενωτάτῳ κελλίῳ ἑαυτὸν κατακλείσας, ἐν ὅλαις δὲ ταῖς τῆς ἑβδομάδος ἡμέραις, μήτε φθεγγόμενος, μή-



Digitized by Google

τε βρῶσιν δεχόμενος, πλὴν μόνης τῆς Κυριακῆς τῶν ἡμερῶν. ἐν ταύτῃ γὰρ εἴθιστο τῷ μεγάλῳ καὶ τὰ ἀμφότερα δρᾷν. Ἀλλὰ καὶ πικρὰ ὕδατα τῇ ῥάβδῳ ἀνασπαράξας, εἰς ἡδύτητα ταῦτα μετέβαλε. Τοσοῦτον δὲ ἀπάθειαν συνέζη. ὡς μὴ σωματικῆς δεῖσθαι τροφῆς. ἐτρέφετο γὰρ ὑπὸ τοῦ τῶν Ἀγγέλων ἄρτου, καὶ τῆς μενούσης τροφῆς. Ταῦτα ποιῶν καὶ πραγματευόμενος φρονίμως τε καὶ ἀνδρείως, σωφρόνως τε καὶ δικαίως πολιτευόμενος, ἐπεὶ πρὸς τὴν ἄνω μετεκαλεῖτο ζωήν, τοὺς περιξ μονάζοντας μετακαλεσάμενος, καὶ τούτους περὶ ἀποταγῆς Κόσμου καὶ τῶν ἐν Κόσμῳ, ἔτι δὲ καὶ περὶ ὑπομονῆς καὶ φιλαδελφίας πνευματικῆς, καὶ περὶ ταπεινώσεως καὶ προσευχῆς ἐκδιδάξας, τρανῶς εἰς γῆν ὑποκλίνας τὰ γόνυ, καὶ δακρύων πλήσας τοὺς ὀφθαλμοὺς, τὴν Ἁγίαν αὐτοῦ ψυχὴν εἰς τὰς ἀχράντους χεῖρας ἐνεπέθετο τοῦ Θεοῦ, πολλὰ καὶ μετὰ θάνατον θαύματα ἐργασάμενος. Τὸν γὰρ τὴν σορὸν αὐτοῦ κατορύττειν ἐπιχειροῦντα μαινόμενον ἄνδρα, καὶ διὰ τοῦτο τὴν τῶν μελῶν εἰκότως δεξάμενον πάρεσιν, εἰς συναίσθησιν ἐλθόντα, καὶ ἐν αὐτῷ τῷ τοῦ Ἁγίου τύμβῳ μετανοήσαντα, ὑγιᾶ καθίστησι, λιταρείᾳ τῶν ἀδελφῶν. Μοναχὸς δέ τις ὑδέρῳ δεινῷ κατεχόμενος, ἐν τῷ τοιούτῳ προσδραμὼν τάφῳ, ἅμα τῇ εὐχῇ, καὶ τὴν ῥῶσιν ἀπέλαβεν, εὐχαριστῶν ἅμα καὶ δοξάζων τὸν τοὺς Ἁγίους αὐτοῦ δοξάζοντα Χριστὸν, τὸν μόνον ἀληθινὸν, καὶ Σωτῆρα τῶν ἡμετέρων ψυχῶν.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι.

Ἀμετάθετον, τὸ τῆς ὁμολογίας φρόνημα, ἔχων ἐν Τριάδι σέβειν ἕνα Θεὸν, τῶν βασάνων κατεφρόνησας, εὐλογημένος εἶ, ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Ὡς Μακάριος, ἐν τῇ ἀμώμῳ ὤφθης ὁδῷ, γόνυ εὐγνωμόνως κλίνας τῷ Λυτρωτῇ, τὴν ψυχήν σου παραθέμενος, Δεσποτικαῖς χερσὶν, εὐωδέστατον θῦμα Αὐξέντιε.

Συστρατιώτης, συνοδοιπόρος καὶ συνδέσμιος, σύμφρων, Εὐστράτιε τε καὶ συναθλητής, ὁ Ὀρέστης ἀναδέδεικται, συγκληρονόμος τε, τῆς Χριστοῦ Βασιλείας ἐπάξιος.

Ὁ δι' ὄμβρου, τῷ Ἠλιοὺ τροφὴν προσνέμων Θεὸς, οὗτος τὴν σεπτήν σου κάραν θαυματουργῶν, τοῖς ποθοῦσιν ἀπεκάλυψεν, ὡς πολυπόθητον, πανδαισίαν τῷ Κόσμῳ Αὐξέντιε.

Τῆς Ἁγίας.

Πυρὶ τῷ θείῳ, φλεγομένη πυρὸς οὐκ ἐφρόντισας. ὅθεν ἐπομβρίζεις πάντοτε τοῖς πιστοῖς, ἰαμάτων θεῖα νάματα, παθῶν ἐπήρειαν, Ἀθλοφόρε Λουκία ξηραίνουσα.

Θεοτοκίον.

Παρθενομῆτορ, ὡς καθαράν σε καὶ ἀδιάφθορον, Λόγος καθαρὸς ἠγάπησε καὶ ἐκ σοῦ, ἀνεπλάσατο σαρκούμενος, ὅλον τὸν ἄνθρωπον, ὁ Λουκίαν δοξάσας τοῖς θαύμασιν.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χείλη ἐκπετάσας καθαρὰ, τὸ θεῖον εἵλκυσας, Πνεῦμα Εὐστράτιε, καὶ ψυχοφθόρων μανιῶν ἤλεγξας, σεβασμάτων τὴν ἀθεΐαν· τὸν ἐν Τριάδι δὲ Θεὸν, σέβειν ἐβόησας, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὴν σὴν καρτερίαν οὐκ εἰδὼς, τῇ τῆς φλογώσεως, θέᾳ ὁ Τύραννος, πτοεῖν Εὐστράτιε ᾤετο, τὸ ἀήττητόν σου φρόνημα, ἧς καταπτύσας τοῖς λαοῖς, χαίρων ἐγκραύγαζες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σοφαῖς ὑποθήκαις νευρωθεὶς, ταῖς σαῖς τὸ φρόνημα, Μάρτυς Εὐστράτιε, ἐπὶ τὸν κράββατον ἥλατο, ὁ ἀήττητος Ὀρέστης βοῶν, τοὺς καθαιρέτας τῆς φλογὸς παῖδας μιμούμενος· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἥπλωσας τὸ σῶμα καρτερῶς, Ὀρέστα ἔνδοξε, σὺ ἐπὶ κλίνης πυρός. συγκατελέχθης δὲ Μάρτυσιν, ἐν Χριστῷ ἀγαλλόμενος. ἐπαναπαύσω δὲ σκηναῖς, ταῖς οὐρανίαις βοῶν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς

Digitized by Google

Τῆς Ἁγίας.

Ἡ μαύρωσας χώρας δυσσεβῶν, καὶ νῦν ἀλάστερα, καὶ ὑπερήφανον, Λυκία Πάνσεμνε πόνοις σου, εὐκλεέσιν ἐταπείνωσας, καὶ ἀνυψώθης πρὸς Θεὸν, ἐν πίστει ψάλλουσα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ὤφθης ὑπερτέρα Οὐρανῶν, Θεὸν Οὐράνιον, ἀποκυήσασα, τὸν ὡραιώσαντα Πάναγνε, γηγενῶν ὅλον τὸ φύραμα, καὶ τῆς Λυκίας τὴν σεπτὴν, μνήμην φαιδρύναντα, ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

Θείων μετασχεῖν μυστηρίων, ἐπιποθήσας Ἀθλοφόρε, καὶ θεοφανείας τηλαυγῆς, κατηξιώθης Μάκαρ Εὐστράτιε, πρὸς Οὐρανοὺς καλούσης σε, τῷ ποθουμένῳ ὁμιλῆσαι Χριστῷ.

Τῷ θείῳ βαλλόμενος πόθῳ, πρὸς τὴν ἐντεῦθεν ἐκδημίαν, καὶ τὰς τῶν Τυράννων θωπείας, σφοδρῶς ἐλέγξας, Μάκαρ Εὐστράτιε, πρὸς τὸ βραβεῖον ἔσπευσας, ἀθλητικῶς τῆς ἄνω κλήσεως.

Σφόδρα γεγηθὼς Ἀθλοφόρε, τῇ χαρμοσύνῳ ἀποφάσει, τῆς τυραννικῆς παροιμίας, τὸν Ἀθλοθέτην σου ἐμεγάλυνες, ὑμνολογῶν Εὐστράτιε, τὸν τοῦ θανάτου καταλύτην Χριστόν.

Δεῦτε φιλομάρτυρες πάντες, τοὺς τῆς ἀπάτης καθαιρέτας, ἱεροῖς Εὐγένιον ὕμνοις, σοφὸν Ὀρέστην τε καὶ Μαρδάριον, καὶ σὺν αὐτοῖς Αὐξέντιον, σὺν Εὐστρατίῳ μακαρίσωμεν.

Θεοτοκίον.

Φῶς ἡμῖν ἀνέτειλας μήτρας, ἐξ ἀπειράνδρου Παρθένε. ἐν ταῖς φρυκτωρίαις ἀφθέως, καταυγασθεῖσα φῶς ἐχρημάτισας, ἡ τῆς χαρᾶς ἐπώνυμος, Θεοκυῆτορ Μητροπάρθενε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν ῥήτορα Εὐστράτιον, ἐν ὕμνοις ἀνευφημήσωμεν. Αὐξέντιόν τε σὺν τούτῳ, Μαρδάριον καὶ Ὀρέστην, καὶ τὸν σοφὸν Εὐγένιον, ὑπὲρ Χριστοῦ ἀθλήσαντας, καὶ ἐκτενῶς πρεσβεύοντας, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἱερὰν αὐτῶν μνήμην.

Ἕτερον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἐτέλεσας τὸν θαυμαστὸν, τῆς ἀθλήσεως δρόμον, Εὐστράτιε μακάριε, καὶ προσήνεγκας ἅμφω, Εὐγένιον τὸν πάντιμον, τὸν σοφὸν Αὐξέντιον. Μαρδάριον σὺν Ὀρέστῃ. ὧν τὴν πίστιν καὶ τόλμαν, κατεπλάγησαν βροτοὶ, καὶ τῶν Ἀγγέλων οἱ δῆμοι.

Θεοτοκίον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Θεοκυῆτορ Μαρία, τῶν γηγενῶν ἀνακληρία, ἁμαρτωλῶν προστασία, Χριστιανῶν ἐλπὶς μόνη, Κόσμου παντὸς σωτηρία, ῥῦσαι πυρὸς ἀπειλῆς με. Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ ἡλωμένον Κόρη, ὡς ἔβλεψας ἐδονήθης, τὰ σπλάγχνα σὺν θείῳ τόκον, ἀναβοῶσα Υἱέ μου, τί τὸ ὁρώμενον θαῦμα; πῶς ἑκὼν φέρεις ὀδύνας;

Εἰς τοὺς αἴνους, ἱστῶμεν Στ. δ'. καὶ ψάλλομεν π. ἰδιόμελα. Ἦχος α'. Βυζάντιος.

Τὴν πεντάριθμον χορείαν, τῶν Ἁγίων ἀνευφημήσωμεν λαοὶ, τὸν Σωτῆρα ἀνυμνοῦντες Χριστόν. Εὐστράτιον τὸν καρτερόψυχον, καὶ στερρὸν Ἀθλοφόρον. σὺν αὐτῷ Αὐξέντιον. Εὐγένιον Μαρδάριον καὶ Ὀρέστην. οὗτοι γὰρ ὑπὲρ τῆς πίστεως ἀθλοῦντες, τὰς τρικυμίας κατεπάτησαν ἐχθρῶν, καὶ τῷ Σωτῆρι πρεσβεύουσιν, ἱλασμὸν καὶ ἄφεσιν ἁμαρτιῶν, δωρηθῆναι τοῖς ἐν πίστει ἐκτελοῦσι, τὴν μνήμην αὐτῶν.

Ἦχος γ'. Γερμανοῦ.

Ῥητορικοῖς ἔπεσιν ὁ Χριστοῦ στρατιώτης, τοὺς ἀνόμους κατέπληξεν, ἀθλητικοῖς στίγμασι, τοῦ ἐχθροῦ τὰς δυνάμεις ἀνδρικῶς ἐτροπώσατο, Εὐστράτιος ὁ ἔνδοξος, καὶ στερρὸς Ἀθλοφόρος, τὴν στενὴν καὶ τεθλιμμένην βαδίσας ὁδὸν, καὶ εἰς γῆν καταντήσας τῆς αἰωνίου ζωῆς. εἰς ἣν καὶ δυσωπεῖ τῷ Χριστῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Τὸν ἐν τῇ θείᾳ σοφίᾳ, ἀναφανέντα φιλόσοφον, καὶ ἐν τῷ κάλλει τῶν λόγων, ἀποδειχθέντα ῥήτορα, τὸν ἐν Μάρτυσι μέγαν Εὐστράτιον, ἀθλητικοῖς ἐγκωμίοις ἀνευφημήσωμεν. συνασπισμὸν γὰρ οὗτος ὁ Χρι-

στοῦ στρατιώτης, εὐσεβῆ συστησάμενος, ἐν καιρῷ τῶν πολέμων, τὰ τῶν ἀγώνων ἆθλα διαταττόμενος, τοῦ ἐχθροῦ ἀφαρπάσας τὴν μάχαιραν, ἐν αὐτῇ τοῦτον κατέστρωσε. πρὸς ὃν βοήσωμεν· Μαρτύρων ἀριστε, σὺν τοῖς συνάθλοις σου. πρέσβευε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν πανσέπτον μνήμην σου.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Ἐστεφανώθησαν παρ' ἡμῶν, ἐγκωμίοις οἱ Καλλίνικοι τῆς ἀληθείας Μάρτυρες. Εὐστράτιος, ὁ τῆς Ἑλλήνων μυθοπλαστίας στηλιτεύτης, καὶ τῆς Χριστιανῶν θεοσοφίας Κῆρυξ. Αὐξέντιος ὁ σοφίᾳ λόγων, καὶ ὑπομονῇ ἔργων, τυραννικὴν ἐλέγξας ἀθεότητα. Πρὸς τούτοις, Εὐγένιος ὁ Θεῷ εὐάρεστος, καὶ τυράννοις ἄληκτος, διὰ τὴν σωτήριον ὁμολογίαν. καὶ Ὀρέστης, ὁ ἀληθὴς καὶ θαυμαστὸς, τοῦ Βασιλέως τῶν ὅλων στρατιώτης. μεθ' ὧν καὶ Μαρδάριος, ὁ περιστερᾶς ἀκεραιότερος, τὸν φρόνιμον αἰχμαλωτίσας ὄφιν, διὰ τῆς χάριτος Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἰδιόμελον. Ἦχος δ΄. Ἰκασίας.

Τὴν πεντάχορδον λύραν, καὶ πεντάφωτον λυχνίαν, τῆς τοῦ Θεοῦ Ἐκκλησίας, τοὺς Θεοφόρους Μάρτυρας, φερωνύμως ὑμνήσωμεν, καὶ εὐσεβῶς ἐγκωμιάσωμεν. Χαίροις ὁ καλῶς ὑπὸ Θεοῦ στρατολογηθεὶς ἐν τῇ ἐπουρανίῳ στρατιᾷ, καὶ τῷ στρατολογήσαντι ἀρέσας, ὁ ἐν ῥήτορσι ῥήτωρ, Εὐστράτιε Θεόσοφε. Χαίροις τὸ τάλαντον, τὸ ἐκ Θεοῦ σοι πιστευθὲν, ἐπαυξήσας εἰς πλῆθος, Αὐξέντιε Μακάριε. Χαίροις, ὁ τερπνότατος ὅρπηξ, τῆς θεϊκῆς εὐγενείας, Εὐγένιε Θεόφρων. Χαίροις ὁ ὡραῖος τῇ μορφῇ, τῇ δὲ γνώμῃ ὑπέρκαλλος, καὶ ἀμφοτεροδέξιος, ὁ ἐν τοῖς ὄρεσιν ἐνδιαιτώμενος ὅλος, πανόλβιε Ὀρέστα. Χαίροις ὁ στίλβων καὶ διαυγὴς μαργαρίτης, ὁ τὰς βασάνους τὰς πικρὰς, χαρμονικῶς ὑπομείνας Μαρδάριε ἀήττητε. Χαίροις ὁ ἰσάριθμος χορὸς τῶν φρονίμων Παρθένων· οὓς καθικετεύομεν, πάσης ὀργῆς καὶ θλίψεως λυτρώσασθαι, καὶ τῆς ἀφράστου ὑμῶν δόξης, συμμετόχους ποιῆσαι, τοὺς τὴν ἑτησίον ὑμῶν, μνήμην γεραίροντας.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἔδωκας σημείωσιν.

Κριτὴν δικαιότατον, ἐπεγνωκώς σε κυήσασαν, τὸν ἀσώτως βιώσαντα, δυσωπῶ Παναμώμητε, κατακεκριμμένον, καὶ ἠπορημένον, ἐν τῇ μελλούσῃ φοβερᾷ, κρίσει Παρθένε, μὴ κατακρῖναί με. συντάξαι δὲ τοῖς μέλλουσιν, ἐκ δεξιῶν τούτου ἵστασθαι, ἐκλεκτοῖς διὰ ἔλεος, καὶ πολλὴν ἀγαθότητα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Κρεμάμενον βλέπουσα, Χριστὸν ἡ Πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα. καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνέκραυγαζε· Τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Στιχ. Στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα. Ἦχος δ΄. Ἰκασίας.

Ὑπὲρ τὴν τῶν Ἑλλήνων παιδείαν, τὴν τῶν Ἀποστόλων σοφίαν, προκεκρικότες οἱ Ἅγιοι Μάρτυρες, τὰς βίβλους τῶν ῥητόρων καταλείψαντες, καὶ ταῖς τῶν ἁλιέων ἐνδιαπρέψαντες. ἐκεῖ μὲν γὰρ, εὐγλωττία ῥημάτων. ἐν δὲ ταῖς τῶν ἀγραμμάτων θεηγορίαις, τὴν τῆς Τριάδος ἐδιδάσκοντο θεολογίαν. ἣν ἡ πρεσβεύουσιν ἐν εἰρήνῃ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Καὶ ψυχὴν σὺν τῷ σώματι, καὶ καρδίαν καὶ ἔννοιαν, σοὶ τῇ Θεομήτορι προσανέθηκα. τὰ μὲν τὰ πρόσφορα αἴτησαι, τὰ δὲ τὰ σκιρτήματα, ἀπονέκρωσον, τὴν δὲ, φωταγώγησον Δέσποινα. τῆς ἐμοῖας δὲ, τὰς ἀτάκτους κινήσεις ἀοράτως, κατάπραϋνον καὶ στῆσον, τῶν ἐγκλημάτων τὸν τάραχον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν σταυρῷ σε ὡς ἔβλεψε, ταινυθέντα ἡ Πανάμωμος, ἀπειράνδρως Κύριε ὃν γεγέννηκεν, αἱματοφύρτοις ἐκπλύνουσα δακρύοις τὸ πρόσωπον, κέκραγεν ὀδυνηρῶς. τί τὸ ξένον μυστήριον; ὁ κοσμήσας πρὶν, Οὐρα-

Οὐρανὸν τοῖς φωστῆρσι πῶς ἀκόσμως, νῦν ἐμπέπαρσαι τῷ ξύλῳ, ἄμορφος ἄπνους μακρόθυμε;

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Κυριακῇ τῶν Ἁγίων Προπατόρων.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν στιχ. ἀναστάσιμα, γ'. καὶ ἀνατολικὰ, γ'. καὶ τῶν Προπατόρων στιχ. προσόμοια, δ'. Ἦχος Πλ. δ'.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τῶν Προπατόρων σήμερον πιστοὶ, τελοῦντες μνημόσυνα ἀνυμνήσωμεν Χριστὸν τὸν Λυτρωτὴν, τὸν μεγαλύναντα αὐτοὺς ἐν πᾶσι τοῖς Ἔθνεσι, καὶ θαυμάτων τὰ παράδοξα πιστῶς, ἐπιτελέσαντα Κύριον, ὡς κραταιὸν καὶ δυνατόν. καὶ ἐξ αὐτῶν ἀναδείξαντα, ῥάβδον δυνάμεως ἡμῖν, τὴν μόνην ἀπείρανδρον, καὶ Θεόπαιδα Μαριὰμ τὴν Ἁγνήν. ἐξ ἧς τὸ ἄνθος προῆλθε, Χριστὸς βλαστήσας πᾶσι τὴν ζωὴν, καὶ ἀδάπανον τρυφὴν, καὶ σωτηρίαν τὴν αἰώνιον.

Ὁ τοὺς Ἁγίους παῖδας ἐκ πυρὸς, ῥυσάμενος Δέσποτα, καὶ ἐκ στόματος Λεόντων Δανιήλ. ὁ εὐλογήσας Ἀβραὰμ καὶ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ τὸν τούτου υἱὸν Ἰακώβ. ὁ εὐδοκήσας ἐκ σπέρματος, τούτων γενέσθαι καθ' ἡμᾶς, ἵνα τοὺς πρὶν ὀλισθήσαντας, σώσῃς Προπάτορας ἡμῶν, σταυρωθῆναι καὶ θάπτεσθαι, καὶ συντρίβεις τοῦ θανάτου τὰ δεσμά. συνεγείρεις τε πάντας, τοὺς ἀπ' αἰῶνος ὄντας ἐν νεκροῖς, προσκυνοῦντάς σου Χριστὲ, τὴν Βασιλείαν τὴν αἰώνιον.

Ὡς ἐν ψεκάδι μέσον τῆς φλογὸς, τῇ δρόσῳ τοῦ Πνεύματος, ἀγαλλόμενοι παῖδες τοῦ Θεοῦ, περιεπάτουν μυστικῶς, ἐν αὐτῇ προτυπώσαντες, τὴν Τριάδα καὶ τὴν σάρκωσιν αὐτοῦ. καὶ ὡς σοφοὶ διὰ πίστεως, ἔσβεσαν δύναμιν πυρός. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, Λεόντων ὤφθη φιμωτής. ὧν ταῖς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτὴρ, καὶ ἡμᾶς τοῦ ἀσβέστου, καὶ αἰωνίου λύτρωσαι πυρὸς, καὶ ἀξίωσον τυχεῖν, τῆς Οὐρανίου Βασιλείας σου.

Ὥσπερ ἐν δρόσῳ ὄντες οἱ σεπτοὶ, καὶ Ἅγιοι παῖδές σου, ἐν καμίνῳ τῆς φλογὸς καὶ τοῦ πυρὸς, προεζωγράφουν μυστικῶς, τὴν ἐκ Παρθένου σου ἔλευσιν, τὴν ἀφλέκτως ἀναλάμψασαν ἡμῖν. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, καὶ ἐν Προφήταις θαυμαστὸς, τρανῶς τὴν θείαν δευτέραν σου, ἐπιδημίαν προδηλῶν, ἑώρων ἐκραύγαζεν, ἕως οὗ θρόνοι ἐτέθησαν φησὶ, καὶ κριτὴς ἐκαθέσθη, καὶ τοῦ πυρὸς ἐπέστη Ποταμός. οὗ ῥυσθείημεν Χριστὲ, ταῖς ἱκεσίαις αὐτῶν Δέσποτα.

Δόξα. Ἦχος Πλ. β'. Ἀνατολίου.

Πάντας τοὺς πρὸ τοῦ νόμου Πατέρας, ἅπαντας εὐφημήσωμεν σήμερον πιστοί. Ἀβραὰμ τὸν φιλόθεον, Ἰσαὰκ τὸν ἐξ ἐπαγγελίας τεχθέντα, καὶ Ἰακὼβ, καὶ τοὺς δώδεκα Πατριάρχας. Δαβὶδ τὸν πρᾳότατον, καὶ Δανιὴλ τὸν ἐπιθυμιῶν Προφήτην, καὶ τοὺς τρεῖς Παῖδας, σὺν αὐτοῖς γεραίροντες, τοὺς τὴν κάμινον, εἰς δρόσον μεταβαλόντας. αἰτούμενοι ἄφεσιν παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον. τὸ α'. τοῦ ἤχου τῆς Ὀκτωήχου, τὸ ὕφος.

Εἰς τὸν στιχ. στιχ. τῆς Ὀκτωήχου τὰ ἀποστίχου. καὶ τὰ κατ' ἀλφάβητον.

Δόξα. Ἦχος γ'. Γερμανοῦ.

Τῶν Προπατόρων τὸ σύστημα, οἱ φιλέορτοι δεῦτε, ψαλμικῶς εὐφημήσωμεν, Ἀδὰμ τὸν Προπάτορα, Ἐνὼχ Νῶε Μελχισεδὲκ, Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ. κατὰ νόμον Μωϋσῆν καὶ Ἀαρὼν, Ἰησοῦν Σαμουὴλ καὶ Δαβίδ. μεθ' ὧν τὸν Ἡσαΐαν, Ἱερεμίαν, Ἰεζεκιὴλ, καὶ Δανιὴλ, καὶ τοὺς δώδεκα, ἅμα Ἠλιοῦ, Ἐλισσαῖον καὶ τοὺς ἅπαντας, Ζαχαρίαν, καὶ τὸν Βαπτιστὴν, καὶ τοὺς κηρύξαντας Χριστὸν, τὴν ζωὴν καὶ ἀνάστασιν τοῦ γένους ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἀπάτορως ἐκ Θείου Πνεύματος, βουλήσει δὲ Πατρὸς, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ Πατρὸς Ἀμήτορα, πρὸ τῶν αἰώνων ὑπάρχοντα. δι' ἡμᾶς δὲ ἐκ σοῦ Ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας. διὸ μὴ παύσῃ πρεσ-



Digitized by Google

θείαν, τοῦ λυτρωθῆναι κινδύνων, τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον τὸ Ἀναστάσιμον.

Καὶ τῶν Προπατόρων. Ἦχος β΄.

Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας, τὴν ἐξ Ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος Ἐκκλησίαν. καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν, ὑπάρχει καρπὸς, ἡ ἀσπόρως τεκοῦσά σε. ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἡ δὲ ἀκολουθία τοῦ Μιναίου, τοῦ ἐπιλαχόντος Ἁγίου, ψάλλεται ἐν τοῖς Ἀποδείπνοις τῆς Παρασκευῆς.

Εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον τὸ Ἀναστάσιμον τῆς Ὀκτωήχου. Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῶν Προπατόρων. Ἡ συνήθης στιχολογία. Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Τὸ, Πᾶσα πνοὴ Εὐαγγέλιον τὸ Ἑωθινόν. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄. Καὶ οἱ Κανόνες τῆς Ὀκτωήχου οἱ ἀναστάσιμοι, τῶν Ἁγίων τριῶν Παίδων, καὶ τῶν Προπατόρων. Καταβασία. Χριστὸς γεννᾶται δοξάσατε.

Ὁ Κανὼν τῶν Ἁγίων τριῶν Παίδων. Οὗ ἡ ἀκροστιχίς.

Τρεῖς παῖδας ὑμνῶ, Δανιήλ τε τὸν μέγαν.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τὸν Ἄναρχον Λόγον τὸν ἐκ Πατρὸς, πρὸ πάντων αἰώνων, γεννηθέντα Θεοπρεπῶς, τὴν ἐν τῇ καμίνῳ νεανίαις, συμβολικῶς ὁραθέντα δοξάσωμεν.

Ῥημάτων Τυράννου τοῦ δυσσεβοῦς, οἱ εὐγενεῖς Παῖδες, καταπτύσαντες καρτερῶς, τροφαῖς παρανόμοις μιανθῆναι, χαλδαϊκῶς οὐ κατηξίωσαν.

Ἐτρέφεσθε λόγῳ μὲν ψυχικῶς, τροφαῖς αὐτομάτοις, κεχρημένοι δὲ σαρκικαῖς, τῶν ἀβροδιαίτων ταῖς ἰδέαις, τῷ Βασιλεῖ ὡραιότεροι δείκνυσθε.

Θεοτοκίον.

Τὸν τὸν τοῦ ὄφεως ἀκοαῖς, πικρῶς ἐμπαρέντα, ταῖς τῆς Εὔας ἡ ἐκ Δαβίδ, βλαστήσασα Κόρη θεραπεύει, τὸν Λυτρωτὴν κυοφορήσασα.

Ἕτερος Κανὼν, τῶν Ἁγίων Προπατόρων Οὗ ἡ ἀκροστιχίς.

Πατράσιν αἶνον εἰκότως νῦν εἰσφέρω. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος α΄.

Χριστὸς γεννᾶται, δοξάσατε.

Πατράσιν αἶνον προεξάξωμεν, πρὸ νόμου καὶ ἐν νόμῳ ἐκλάμψασι, καὶ τὸν ἐκ Παρθένου λάμψαντα, Κύριον καὶ Δεσπότην, γνώμῃ ὀρθῇ, τεθεραπευκόσι, καὶ ἀδύτου φωτισμοῦ, νῦν ἀπολαύουσιν.

Ἀδὰμ τὸν πρῶτον τιμήσωμεν, χειρὶ τετιμημένον τοῦ κτίσαντος, καὶ πάντων ἡμῶν Προπάτορα, ἤδη γεγενημένον, καὶ ἐν σκηναῖς, ταῖς ἐπουρανίαις, μετὰ πάντων ἐκλεκτῶν ἀναπαυόμενον.

Τὸν Ἄβελ δῶρα προσάγοντα, ψυχῇ ἀγενεστάτῃ προσήκατο, ὁ πάντων Θεὸς καὶ Κύριος. τοῦτον δὲ μιαιφόνῳ, πάλαι χειρὶ, τεθανατωμένον, ἀνεκόμισε πρὸς φῶς, ὡς Θεῖον Μάρτυρα.

Θεοτοκίον.

Ῥητῶν ἐνθέων ἀκούσωμεν, βοώντων τοῦ Χριστοῦ τὴν ἀνάδειξιν. ἰδοὺ γὰρ σπηλαίῳ τίκτεται, Κόρης ἐξ ἀπειράνδρου. οὗ τὸν φρικτὸν, τόκον προμηνύει, Ἀστρολόγοις ὁ ἀστὴρ ἐπιφαινόμενος.

Καταβασία.

„Χριστὸς γεννᾶται, δοξάσατε. Χριστὸς ἐξ Οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς ὑψώθητε, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί. ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἐπίγνωσιν κτησάμενοι, τὴν θεοδίδακτον Δέσποτα, παῖδες Δαβὶδ, νόμους τοὺς πατρῴους, θεοφρόνως ἐτήρησαν.

Τὸ πῦρ οὐ κατεφλόγισε, τὰ καθαρώτατα σώματα, τῶν εὐσεβῶν. διὰ γὰρ νηστείας, ψυχοτρόφου ἠρδεύοντο.

Ὕμνον τὸν παγκόσμιον, ἐπολυύμνητον ᾄδουσι, Παῖδες οἱ τρεῖς, μέσον τῆς καμίνου, θαυμαστῶς δροσιζόμενοι.

Θεοτοκίον.

Ἵνα τόκον Δέσποτα, ἐκ παρθευούσης σώματος, δείξῃς ἡμῖν, σώζεις ἐν καμίνῳ, παρθενεύοντα σώματα.

Ἄλλος.

Digitized by Google

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Ἄδεται ἐν Κόσμῳ, τὸ τοῦ Σὴθ πρὸς τὸν Κτίστην διάπυρον. ἐν γὰρ ἀμέμπτῳ πολιτείᾳ, καὶ ψυχῆς διαθέσει, αὐτὸν ὄντως ἐθεράπευσε. καὶ νῦν ἐν χώρᾳ τῶν ζώντων βοᾷ· Ἅγιος εἶ Κύριε.

Στόματι καὶ γλώσσῃ, καὶ καρδίᾳ Ἐνὼς ὁ θαυμάσιος, ἐπικαλεῖσθαι θεοφρόνως, τὸν τῶν ὅλων Δεσπότην, Θεὸν ἤλπισεν ἐν πνεύματι, καὶ εὐαρέστως βιώσας ἐν γῇ, κλέος ἀπηνέγκατο.

Ἱερολογίαις, Ἱεραῖς τὸν Ἐνὼχ μακαρίσωμεν. εὐαρεστήσας γὰρ Κυρίῳ, μετετέθη ἐν δόξῃ, ὀφθεὶς κρεῖττον καθὼς γέγραπται, θανάτου οἷα Θεοῦ πεφυκὼς, δοῦλος γνησιώτατος. Θεοτοκίον.

Νῦν ἡ προσδοκία, τῶν Ἐθνῶν ἐκ Παρθένου προέρχεται, καὶ Βηθλεὲμ τὴν κεκλεισμένην, ὑπανοίγει προσφόρως, Ἐδὲμ Λόγον σωματούμενον, εἰσδεδεγμένη καὶ φάτνῃ σαρκὶ, ἐπανακλινόμενον. Καταβασ.

„Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ, τῷ Θεῷ βοήσωμεν, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ἡ ὑπακοή. Ἦχος β΄.

Εἰς δρόσον τοῖς παισὶ, τὸ πῦρ μετεβάλλετο. ὁ θρῆνος εἰς χαρὰν, ταῖς γυναιξὶν ἐνηλλάττετο. Ἄγγελος γὰρ, ἐν ἀμφοτέροις διηκόνει τοῖς θαύμασι. τοῖς μὲν εἰς ἀνάπαυσιν μεταποιήσας τὴν κάμινον. ταῖς δὲ τὴν ἀνάστασιν καταμηνύσας τριήμερον. ὁ ἀρχηγὸς τῆς ζωῆς ἡμῶν Κύριε δόξα σοι.

Ἰστέον, ὅτι ἐν πᾶσι τοῖς Τυπικοῖς εὕρομεν, ὅτι μετὰ τὴν Ὑπακοὴν, Κάθισμα οὐ λέγομεν. ἀλλὰ δὴ καὶ ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ, καὶ ἐν πάσαις ταῖς σεβασμίαις Μοναῖς. ἀλλὰ μετὰ τὴν Ὑπακοὴν, εὐθὺς τὴν ἀνάγνωσιν τοῦ Χρυσοστόμου τὴν εἰς τὸν Ἀβραὰμ, εἰς δόσεις δύω. καὶ πάλιν ὡς δόξει τῷ προεστῶτι.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τιμήσωμεν πιστοὶ, τοὺς Προπάτορας πάντας, προδήλως ὡς Χριστοῦ, χρηματίσαντας ὄντως. δοξάζοντες ἐν ᾄσμασι, τὸν αὐτοὺς θαυμαστώσαντα, ὡς τὴν ἔλευσιν, προτυπώσαντας ταύτην, καὶ τὴν γέννησιν, τὴν ἐκ Παρθένου ἀφράστως, τῷ Κόσμῳ ἐκλάμψασαν.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Δανιὴλ ὁ σοφώτατος, ἐνθεαστικῶς τὸν νοῦν φωτιζόμενος, τὰ ἐνύπνια διέλυσε, τῇ Αὐτοκρατόρων θείᾳ χάριτι.

Ἐξαστράπτει τοῖς θαύμασιν, ἡ ἐν τῇ καμίνῳ τῶν παίδων ἄθλησις. τὸν γὰρ Τύραννον ἐζώγρησε, πρὸς ἐπίγνωσίν σου Παντοδύναμε.

Συμφωνίας τὰ ὄργανα, καὶ τῆς μουσικῆς μέλη παναρμόνια, τοὺς γενναίους οὐ κατέφλεξαν, καὶ χρυσῇ εἰκόνι οὐχ ὑπέκυψαν.

Θεοτοκίον.

Ὑμνῳδίαις Πανύμνητε, οἱ ἐν Βαβυλῶνι Παῖδες γεραίρουσι, τὸν Υἱόν σου τὸν ὑπέρθεον, ὃν ἐν τῇ καμίνῳ ἐπεγίνωσκον.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὕμνον προσαγάγωμεν Θεῷ, τιμῶντες μελῳδήμασι, Νῶε τὸν ὄντως ὄντα δίκαιον. ἐν πάσαις γὰρ ἐντολαῖς, θείαις καλλυνόμενος, ὤφθη, τῷ Χριστῷ εὐαρεστήσας. ᾧ μελῳδοῦμεν πιστῶς, δόξα τῇ δυνάμει σου Κύριε.

Ἰδών σου Θεὸς τὸ εὐγενὲς, τῆς γνώμης τὸ ἀκέραιον, καὶ κατὰ πάντα Νῶε τέλειον, δευτέρου Κόσμου σαφῶς ἀρχηγόν σε δείκνυσι, σώσαντα αὐτῷ παντὸς ἐκ γένους, κατακλυσμοῦ αἰσθητοῦ, σπέρμα ὡς αὐτὸς διετάξατο.

Νῶε τὸν φυλάξαντα Θεοῦ, τὸν νόμον ἀπαράτρωτον, καὶ εὑρεθέντα τὸν δίκαιον, τῇ γενεᾷ ἑαυτοῦ, καὶ ξυλίνῃ σώσαντα, πάλαι Κιβωτῷ ἀλόγων γένη, προσάξει παντουργικῇ, ὕμνοις εὐσεβῶς μακαρίσωμεν.

Οἶνον κατανύξεως ἡμῖν, πηγάζει τοῖς τιμῶσί σε, Νῶε μακάριε ἡ μνήμη σου, εὐφραίνουσα καὶ ψυχὰς, καὶ καρδίας πάντοτε, τῶν εἰλικρινῶς μακαριζόντων, τοὺς τρόπους σου τοὺς σεμνοὺς, καὶ τὴν πολιτείαν τὴν ἔνθεον.



Digitized by Google

Θεοτοκίον.

Νῦν ἡ ἀπολυτρώσεως ἡμῶν, ἐν φάτνῃ ἀνακλίνεται, καὶ σπαργανοῦται ὥσπερ νήπιον, καὶ Μάγοι ἀνατολῶν, Βασιλεῖς ἀφίκοντο, τοῦτον ὡς Θεὸν καὶ Βασιλέα, τεχθέντα ἐπὶ τῆς γῆς, βλέψαι προσκυνῆσαι σὺν δώροις πιστῶς. Καταβασία.

„ Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ Ἄν„ θος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρ„ θένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς, „ κατασκίου δασέως. ἦλθες σαρκωθεὶς ἐξ „ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. δόξα τῇ „ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Μυηθέντες τὸν νόμον, Σῶτερ οὐκ ἠρνήσαντο οἱ σοὶ θεράποντες, Δανιὴλ ὁ μέγας, σὺν τρισὶ νεανίαις θεόφροσιν. ἀλλ᾽ ἰσχὺν λαβόντες, τὴν παρὰ σοῦ τοῦ εὐεργέτου, τοὺς Τυράννους ἀνδρείως ἐτρέψαντο.

Νοερῶς ἐμυεῖτο, Δανιὴλ φιλάνθρωπε τὰ σὰ μυστήρια. ἐπὶ γὰρ νεφέλης, ὡς Υἱόν σε ἀνθρώπου καθήμενον, τῶν Ἐθνῶν ἁπάντων, οἷα Κριτὴν καὶ Βασιλέα, ἐθεώρει νοὸς καθαρότητι.

Ὡραιώθητε Παῖδες, ὑπὲρ λίθον σάπφειρον, ὑμῶν τὰ σώματα, ὡς αὐγὴ χρυσίου, εὐσεβείας τῷ ζήλῳ πυρσεύετε, ἐμπεριπατοῦντες, χαρμονικῶς ἐν τῇ καμίνῳ, καὶ κροτοῦντες χορείαν παγκόσμιον. Θτ.

Δανιὴλ σε Παρθένε, Ὄρος προδιέγραφε σαφῶς ὁ ἔνθεος. οἱ τριττοὶ δὲ Παῖδες, καθορῶντες τὴν φλόγα δροσίζουσαν, τὸν σὸν θεῖον τόκον, μελῳδικῶς ἀνυφημοῦσιν, ὡς Σωτῆρα καὶ Κτίστην καὶ Κύριον.

Ἄλλος Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν.

Ἐντίμοις τιμάσθω, ἐνθέοις ὁ Σὴμ, πατρικὴν εὐλογίαν καρπούμενος, καὶ ἐνάρετος, δεικνύμενος Θεοῦ, καὶ τοῖς τῶν Προπατόρων, χοροῖς καταλεγόμενος, καὶ ἐν χώρᾳ τῶν ζώντων, περιχαρῶς ἀναπαυόμενος.

Ἰδεῖν ἠξιώθη, ὡς φίλος Θεοῦ Ἀβραὰμ, τὴν ἡμέραν τοῦ Κτίστου αὐτοῦ. καὶ ἔμπλεως γενόμενος, χαρᾶς Πνευματικῆς. τοῦτον οὖν διανοίας, εὐθύτητι τιμῶντες, μακαρίσωμεν πάντες, ὡς τοῦ Θεοῦ πιστὸν θεράποντα.

Κατεῖδες ὡς θέμις, ἀνθρώπῳ ἰδεῖν, τὴν Τριάδα, καὶ ταύτην ἐξένισας, ὡς φίλος γνησιώτατος, παμμάκαρ Ἀβραάμ. ὅθεν μισθὸν κομίζῃ, τῆς ξένης ξεναγίας, τοῦ γενέσθαι ἀπείρων, Ἐθνῶν Πατὴρ διὰ τῆς πίστεως. Θεοτοκίον.

Ὁ Πλήρης κενοῦται, σαρκὶ δι᾽ ἡμᾶς, καὶ ἀρχὴν ὁ προάναρχος δέχεται. πτωχεύει δὲ ὁ πλούσιος, καὶ Λόγος ὢν Θεοῦ, ἐν φάτνῃ τῶν ἀλόγων, προσκλίνεται ὡς βρέφος, τὴν ἀνάπλασιν πάντων, τῶν ἀπ᾽ αἰῶνος ἐργαζόμενος. Καταβασία.

„ Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς „ μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰ„ ρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν. „ ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέν„ τες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦ„ μέν σε φιλάνθρωπε.

Ὠδὴ ϛ΄. Ἄβυσσος ἁμαρτιῶν.

Ἄρξαντες τῶν ψυχικῶν, παθημάτων τῇ δυνάμει τοῦ Λόγου, χώρας Ἐθνῶν Χαλδαίων, ἡγεμόνες γεγόνατε. οἷδε γὰρ ἡ ἀρετὴ, γέρα χαρίζεσθαι, κεκτημένοις, ὡς τοῦ Δαβὶδ σοφοὶ ἀπόγονοι.

Νέκρωσιν ὁ Δανιὴλ. ζωηφόρον ἐνδυσάμενος πάλαι, τὸν ὡς Θεὸν Χαλδαίοις, δυσσεβῶς νομιζόμενον, ἀναιρεῖ διὰ τροφῆς, δράκοντα κάκιστον, ἱερεῖς δὲ τοὺς δυσμενεῖς, σοφῶς ἀπέκτεινεν. Θεοτοκίον.

Ἵλεών μοι τὸν Κριτὴν, τὸν Υἱόν σου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτὴν τε τῶν δεινῶν, μήτηρ δυσώπησον, σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Τύπωσις Χριστοῦ, τοῦ πάθους γεγένησαι, σαφῶς Ἰσαὰκ μακαριώτατε, ἀναγόμενος, πατρικῇ ὑπακοῇ τοῦ θύεσθαι. διὰ τοῦτο μεμακάρισαι, καὶ φίλος Θεοῦ, ὤφθης ὄντως γνησιώτατος, μετὰ πάντων Δικαίων σκηνούμενος.

Ὤφθη Ἰακὼβ, θεράπων πιστότατος, τοῦ πάντων Θεοῦ. ὅθεν ἐπάλαισε,

μετ᾽

Digitized by Google

μετ' Ἀγγέλου μῦς, καθορῶν τὸν Θεὸν μετωνόμασται, καὶ καθεύδων θείαν κλίμακα τεθέαται, ἧσπερ Θεὸς ἐπεστήρικτο, ὁ σαρκὶ προσπλακεὶς ἀγαθότητι.

Στέργων Ἰωσὴφ, πατρὸς τὴν ἀπείθειαν, ἐν λάκκῳ βληθεὶς, προσαπεμπώληται, εἰς προτύπωσιν, τοῦ τυθέντος καὶ λάκκῳ βληθέντος Χριστοῦ, σιτοδότης τε Αἰγύπτου ἐσχημάτισε, σώφρων γεγονὼς καὶ δίκαιος, Βασιλεύς τε παθῶν ἀληθέστατος.

Θεοτοκίον.

Νέον ἐπὶ γῆς, παιδίον γνωρίζεται, ὁ ὢν σὺν Πατρὶ ἀεὶ καὶ Πνεύματι. σπαργανοῦται δὲ, ὁ τὴν γῆν σπαργανώσας ὁμίχλῃ σαφῶς, καὶ ἐν φάτνῃ τῶν ἀλόγων ἀνακέκλιται. τούτου νῦν προεορτάσωμεν, γεγηθότες τὴν ἄσπορον γέννησιν.

Καταβασία.

„ Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμε-
„ σεν, ἐνάλιος θὴρ, οἷον ἐδέξατο. τῇ
„ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος καὶ σάρ-
„ κα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφ-
„ θορον. ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τε-
„ κοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον. Ἦχος βʹ.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε. Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ὁ Οἶκος.

Ἔκτεινόν σου τὴν χεῖρα, ἧς πάλαι ἔλαβον πεῖραν Αἰγύπτιοι πολεμοῦντες, καὶ Ἑβραῖοι πολεμούμενοι. μὴ καταλίπῃς ἡμᾶς, καὶ καταπίῃ ἡμᾶς θάνατος, ὁ διψῶν ἡμᾶς, καὶ Σατὰν ὁ μισῶν ἡμᾶς. ἀλλ' ἔγγισον ἡμῖν, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν Παίδων σου, τῶν ἐν Βαβυλῶνι ἀπαύστως ἀνυμνούντων σε, καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον, καὶ ἐκ ταύτης κραυγαζόντων σοι. Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Καὶ ἀναγινώσκομεν τὸ συναξάριον τῆς ἡμέρας τοῦ μηνὸς, εἶτα τῶν Ἁγίων Προπατόρων.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακὴ τῶν Ἁγίων Προπατόρων.

Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ, ἀπὸ τῆς Βίβλου τῆς Γενέσεως τῷ θεσπεσίῳ ἱστορηθείσης Μωσεῖ, καὶ σοφοῖς καὶ ἰδιώταις γινώσκονται. εἰς ἐπήκοον γὰρ κατὰ τὰς ἀναστασίμους ἀναγινώσκομεν ἡμέρας. Οὐκ ἀγνοοῦμεν γὰρ, ὅτι ἐκ τῆς Χαλδαίων χώρας ὡρμᾶτο, καὶ ὅτι ἐθνικός. (Ἔθνος γὰρ πρὸ τῶν Ἰουδαίων οἱ Χαλδαῖοι,) καὶ ὅτι Πατέρα εἶχεν εἰδωλολάτρην. ἀλλ' ὅμως καὶ ἀπὸ τοῦ τοιούτου τὸ γένος κατάγων, οὐδὲν ἔσχε κώλυμα πρὸς θεογνωσίαν. ἀλλ' ἔτι δεῖ καὶ παράδοξον εἰπεῖν, ἐντεῦθεν πρὸς τὴν τοῦ ὄντος κατάληψιν μᾶλλον ἐχειραγωγήθη. Καταμονήσας γὰρ ὡς οὐδὲν τῶν κτισμάτων Θεὸς, καὶ τὴν εὐταξίαν τῶν ὄντων συνιδὼν, ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔγνω, καὶ Θεὸν τοῦτον προσεκύνησε, διακρατοῦντα καὶ κυβερνῶντα τὰ πάντα, καὶ τοῖς οὕτω τὴν φαινομένην ἁρμονίαν καὶ τάξιν ἐπιθέντα. Ὃς σχηματισθεὶς, καὶ τὴν οἰκίαν καταλιπεῖν κελευσθεὶς, τοῦτο δὴ καὶ ποιεῖ, μηδὲν τῇ πίστει διακριθεὶς, καὶ γέρας τῆς ὑπακοῆς ἐν βαθεῖ γήρᾳ τὸν Ἰσαὰκ λαμβάνει, καὶ τὸ, πολλῶν Ἐθνῶν γενέσθαι Πατέρα. ἐξ αὐτοῦ γὰρ γενέσθαι τὸν Ἰακὼβ, καὶ ἀπὸ τούτου τὸν Ἰούδαν, (ἀφ' οὗ καὶ ὁ Χριστὸς, καὶ τοὺς λοιποὺς αὐτοῦ ἀπογόνους κτᾶται.) Τοῦτον ὡς Χριστοῦ προπάτορα γεγονότα, μνήμης ἀξιοῦντες οἱ θεοφόροι Πατέρες ἡμῶν καὶ Διδάσκαλοι, παρέδωκαν ἡμῖν ταύτην ποιεῖν ἐγγύς που, καὶ οὐ κατὰ διάστασιν ἡμερῶν πολλῶν, τῆς κατὰ σάρκα Γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τάχα κατὰ τὴν τοῦ θείου Πνεύματος ἔμπνευσιν τοῦτο, καὶ οὐχ ἁπλῶς διαταξάμενοι καὶ τυπώσαντες. Ἐπεὶ γὰρ ὑπὸ φιλανθρωπίας ὁ Ὑπεράγαθος καὶ Φιλάνθρωπος Σωτὴρ, γενάρχην αὐτὸν καὶ τοὺς ἐξ αὐτοῦ σχεῖν κατηξίωσεν, ἐδικαίωσαν τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀναδείξεως, οὐ πόῤῥω πάνυ τὴν τούτων μνήμην πανηγύρεως ἄγειν ἡμέ-



Digitized by Google

ἡμέραν, ὡς γεννάρχου τε καὶ προπάτορος.

Ὠδὴ ζ'. Παῖδες Θεοσεβεῖς.

Ἦχος θεοσεβὴς ἐμελῳδεῖτο, ἐκ μέσου πυρὸς τῷ παντοκράτορι. Ἀζαρίας γὰρ θεῖον χορὸν συστησάμενος, τὴν ᾠδὴν ἀνέμελπον λέγοντες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Λύρα νεανίων ἐθεολόγει, τὸν πάντων Θεὸν καὶ παντοκράτορα, τὸν αὐτοῖς ἐν καμίνῳ, τρανῶς ὀπτανόμενον, καὶ ᾠδὴν ἀνέμελπον λέγοντες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τρεῖς τοὺς ἐν τῇ καμίνῳ βεβλημένους, εἰδὼς ὁ κρατῶν ὡς ἐθεάσατο, τοῦ τετάρτου τὴν θέαν, Υἱὸν προαιώνιον, τοῦ Θεοῦ τοῖς πᾶσιν ἐτράνωσεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἔχων λελαμπρυσμένον θείᾳ αἴγλῃ, τὸν νοῦν Δανιὴλ θεομακάριστε, τῆς Παρθένου τὸν τόκον, σαφῶς προτεθέασαι, μυστικαῖς εἰκόσι τυπούμενον, εὐλογητὸς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ.

Ὑμνείσθω Ἀνανίας, Ἀζαρίας Μισαὴλ σὺν τῷ Δανιὴλ, κάμινον σβέσαντες πυρὸς, καὶ λεόντων χαλινώσαντες, τὰς ὁρμὰς καὶ τῷ Χριστῷ, συμφώνως ψάλλοντες. ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Νομίμως ἐναθλήσας, πειρασμοῖς καὶ ἀνενδότοις θλίψεσι, θεράπων κέκληται Ἰὼβ, τοῦ Θεοῦ πανεληθέστατος, πρᾶος ἄκακος εὐθὺς, τέλειος ἄμεμπτος, ἀναβοῶν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐν πίστει Μωϋσέα Ἀαρών τε, καὶ τὸν Ὢρ τιμήσωμεν, ἀνευφημοῦντες Ἰησοῦν, καὶ Λευὶ τὸν ἱερώτατον, Γεδεών τε καὶ Σαμψὼν, καὶ ἀνακράζοντες· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἰδοὺ καθὼς προεῖπεν ὁ Προφήτης, ἐν γαστρὶ συνέλαβεν, ἡ ἀπειρόγαμος, Θεὸν καὶ τεκεῖν σαφῶς ἐπείγεται, ἐν Σπηλαίῳ Βηθλεέμ. ᾧ πάντες ψάλλομεν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Καταβασία.

„Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες, δυσ-
„σεβοῦς προστάγματος, καταφρονήσαν-
„τες πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν,
„ἀλλ' ἐν μέσῳ τῆς φλογὸς, ἑστῶτες ἔψαλ-
„λον· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Τὴν Ἀβραὰμ εὐγένειαν, διασώζειν σπουδάζοντες, τὴν οἰκειοτάτην, πρὸς αὐτὸν ἐκτήσασθε. κρηπῖδα τῆς Πίστεως, καὶ τῆς Ἐλπίδος ὅσιοι καὶ ὑπομονῆς τε; πειρασμῶν καρτερίας, βοῶντες ἀνενδότως, Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οἱ ὡς φωστῆρες λάμποντες, καὶ τὴν γῆν οὐρανώσαντες, καὶ τῆς εὐσεβείας, φωτισμῷ πυρσεύοντες, παγκόσμιον στήσαντες, χοροστασίαν ᾄδουσι, σὲ τὸν εὐεργέτην, καὶ δεσπότην τῶν ὅλων. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νεανικῶς οἱ σβέσαντες, ἐπηρμένην τὴν κάμινον, καὶ τὰς τῶν λεόντων, ἀκοὰς πεδήσαντες, Δαβὶδ οἱ ἀπόγονοι, νῦν γεγηθότες ψάλλουσι· τὸν ἐκ πειρασμῶν, νῦν σεσωκότα Δεσπότην, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μυσταγωγεῖται πάναγνε, Δανιὴλ ὁ σοφώτατος, καὶ προζωγραφοῦσι, Παῖδες τρεῖς τὴν γέννησιν, τὴν σὴν οἱ θεόφρονες, διὰ συμβόλων βλέποντες, τὸν ἐκ τῆς γαστρός σου, προελθόντα ἀφράστως, ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, Λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Σήμερον τῶν ἀπ' αἰῶνος θείαν μνήμην, ἐκτελέσωμεν θείων Πατέρων, τοῦ Ἀδὰμ τοῦ Ἄβελ τε, Σὴθ καὶ Νῶε καὶ τοῦ Ἐνὼς, καὶ Ἐνὼχ καὶ Ἀβραὰμ Μελχισεδὲκ καὶ Ἰὼβ, καὶ τοῦ Ἰσαὰκ σὺν τῷ πιστῷ Ἰακὼβ, εὐλογείτω ἡ Κτίσις βοῶντες τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Φάλαγγα θεοτερπῆ θείων Πατέρων, εὐφημήσωμεν Βαρὰκ καὶ Νάθαν, καὶ τὸν Ἐλεάζαρον, Ἰωσίαν καὶ τὸν Δαβὶδ, Ἰεφθάε Σαμουήλ τε τὸν τὰ ἔμπροσθεν, ὁρῶντα

σεπτῶς

Digitized by Google

σεπτῶς ἐ ἀνακράζοντα· εὐλογείτω ὁ Κτίσις πᾶσα τὸν Κύριον.

Ἔπαινον μελῳδικῶς Θεοῦ Προφήταις, προσαγάγωμεν ἀνευφημοῦντες, Ὠσηὲ, Μιχαίαν τε, Σοφονίαν ἐ Ἀββακοὺμ, Ζαχαρίαν Ἰωνᾶν, Ἀγγαῖόν τε ἐ Ἀμμώς, ἐ σὺν Ἀβδιοὺ ἐ Μαλαχίαν Ναοὺμ, Ἡσαΐαν καὶ Ἱερεμίαν καὶ Ἰεζεκιὴλ, ἅμα Δανιὴλ, Ἠλιοὺ ἐ Ἐλισσαῖον. Δόξα.

Ῥήμασι τριαδικοῖς τὴν παναγίαν, ἀνυμνήσωμεν πιστοὶ Τριάδα, τὸν Πατέρα ἄναρχον, τὸν Υἱόν τε ἐ τὸ εὐθὲς, Πνεῦμα ἅγιον, Τριάδα ὁμοούσιον. ἣν πᾶσα πνοὴ δοξάζει κράζουσα· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, ἐ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ὤφθης ἐκ παρθενικῶν Χριστὲ αἱμάτων, σωματούμενος ἀρρήτῳ λόγῳ, ἐ ὡς βρέφος τέλειον, ἐν Σπηλαίῳ ὑπερβολῇ, εὐσπλαγχνίας Ἰησοῦ ἀποτικτόμενος. ἀστὴρ δέ σε πόῤῥωθεν ἐμήνυσεν, ἀστρολόγοις ὑμνεῖτε πίστει κραυγάζουσι, ἐ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία.

Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν Κύριον.

„ Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο, φλέγει νέους ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἐφθάσατε τὸ τέλος, τὸ πεποθημένον, ἐ ὀρεκτῶν ἀκροτάτῳ παρέστητε, ἐν οὐρανίοις θαλάμοις Παῖδες πανόλβιοι.

Ἠνθόμενοι τὸ δράγμα, τῆς μετὰ δακρύων, καλῆς ὑμῶν γεωργίας κομίζεσθε, τῆς ἀφθαρσίας τὸν στάχυν καρποφορήσαντες.

Μετεῖλε λαμπρότης, μιᾷ ὑμῖν ἀξίως, ἐ εὐφροσύνη καρδίας ἐξηλώθησεν. ὅθεν ἀπέδρα γὰρ λύπη κατεσκηνώσατε.

Θεοτοκίον.

Νομικὴν τὴν τοῦ θανάτου, ἔστησας Παρθένε, τὸν ζωοδότην τεκοῦσα ἐ Κύριον, ζωοποιοῦντα τοὺς πίστει σε μεγαλύνοντας.

Ἄλλος. Μυστήριον ξένον.

Ἰσχύϊ σου πάλαι, δυνάμεις ἐποίησαν, θυγατέρες Κύριε, Ἄννα ἐ Ἰουδὴθ ἐ Δεβόῤῥα, Ὀλδὰ Ἰαὴλ τε, Ἐσθὴρ, Σάῤῥα Μαριὰμ Μωσέως ἐ Ῥαχὴλ, ἐ Ῥεββέκα ἐ ἡ Ῥοὺθ, αἱ μεγαλόφρονες.

Ὡς σβέσαντας Παῖδας, Ἁγίους τὴν κάμινον, ἱερῶς τιμήσωμεν, ἅμα τῷ Δανιὴλ τῷ Προφήτῃ, πᾶσι δικαίοις σαφῶς, τοῖς πρὸ νόμου διαλάμψασι καλῶς, καὶ ἐν νόμῳ, τὸν Δεσπότην θεραπεύσασιν.

Σοφώτατοι θεῖοι, Προφῆται γεγένηνται, Ἀβραὰμ ἀπόγονοι, τὸν ἐκ τοῦ Ἀβραὰμ, ἐ Ἰούδα, τικτόμενον Λόγον, θερμῶς προαναγγείλαντες ἐν Πνεύματι. αὐτοῦ ἱκεσίαις Ἰησοῦ, πάντας οἰκτείρησον.

Ἡγίασται πᾶσα ἡ Κτίσις, τῇ μνήμῃ ὑμῶν, ἐ πανηγυρίζουσα, κράζει ἱκετικῶς ἐκβοῶσα. δέησιν Κυρίῳ, ἀεὶ προσαγάγετε μακάριοι, τυχεῖν αἰωνίων ἀγαθῶν τοὺς εὐφημοῦντας ὑμᾶς. Θεοτοκίον.

Φορέσας με ἐκ τῆς Παρθένου προέρχεται, καὶ Σπηλαίῳ τίκτεται, Λόγος ὁ τοῦ Πατρὸς ἀσυγχύτως. χόρευε ἡ Κτίσις, φωναῖς εὐχαρίστοις μεγαλύνουσα, αὐτοῦ τὴν δι' οἶκτον, παναγίαν συγκατάβασιν.

Καταβασία.

„ Μυστήριον ξένον, ὁρῶ ἐ παράδοξον, οὐρανὸν τὸ Σπήλαιον, Θρόνον Χερουβικὸν τὴν Παρθένον, τὴν Φάτνην χωρίον. ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Πατέρων μνήμην σήμερον, σκιρτῶντες φιλοπάτορες, τοῦ Ἀβραὰμ συνελθόντες, ἐ Ἰσαὰκ κατὰ χρέος, ἐ Ἰακὼβ ὑμνήσωμεν. ἐξ ὧν Χριστὸς ὁ Κύριος, τὸ κατὰ σάρκα ὡράθη, διὰ πολλὴν εὐσπλαγχνίαν.

Ἀδὰμ ἀνευφημήσωμεν, Ἄβελ Σὴθ ἐ τὸν Ἐνὼς, Ἐνὼχ ἐ Νῶε Ἀβραὰμ, Ἰσαὰκ ἐ τὸν Ἰακὼβ, Μωσῆν Ἰὼβ ἐ τὸν Ἀαρὼν, Ἐλεάζαρ Ἰησοῦν, Βαρὰκ Σαμψὼν

Digitized by Google

ψων Ἰεφθάε, Δαβὶδ καὶ τὸν Σολομῶντα. Θεοτοκίον. Ὅμοιον.

Ἁγνὴ Παρθένε ἄχραντε, Μαρία θεονύμφευτε, ἐν ὥρᾳ τῇ φοβερᾷ μοι πρόστηθι καὶ μεσίτις, πρὸς τὸν Υἱόν σου φάνηθι, τῷ ταπεινῷ καὶ ῥῦσαί με, τῆς καταδίκης ἐκείνης, καὶ τῶν κολάσεων πάντων.

Εἰς τοὺς Αἴνους, στιχ. Ἀναστάσιμα τῆς Ὀκτωήχου τέσσαρα, καὶ τῶν ἁγίων Προπατόρων δ΄. Ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Πάντες τὴν τῶν σεπτῶν, νῦν Προπατόρων μνήμην, τελέσωμεν ὑμνοῦντες τὴν τούτων πολιτείαν. δι᾽ ἧς ἐμεγαλύνθησαν.

Ἔσβεσαν τοῦ πυρὸς, τὴν δύναμιν οἱ Παῖδες. χορεύοντες ἐν μέσῳ, καμίνου καὶ ὑμνοῦντες, Θεὸν τὸν παντοδύναμον.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Λάκκῳ κατακλεισθεὶς, θηρσὶ συνῳκισμένος, Δανιὴλ ὁ Προφήτης, ἀμέτοχος τῆς τούτων, ἐδείκνυτο κακώσεως.

Στίχ. Καὶ ἐπὶ τὴν Πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων.

Δευτεροῦμεν τὸ πρῶτον.

Δόξα ἰδιόμελον. Ἦχος Βαρύς. Γερμανοῦ.

Δεῦτε ἅπαντες, πιστῶς πανηγυρίσωμεν, τῶν πρὸ νόμου Πατέρων, Ἀβραὰμ καὶ τῶν σὺν αὐτῷ, τὴν ἐτήσιον μνήμην. τοῦ Ἰούδα τὴν φυλὴν, ἀξίως τιμήσωμεν. τοὺς ἐν Βαβυλῶνι Παῖδας, τοὺς σβέσαντας τὴν ἐν καμίνῳ φλόγα, ὡς τῆς Τριάδος τύπον, σὺν τῷ Δανιὴλ εὐφημήσωμεν. τῶν Προφητῶν τὰς προῤῥήσεις, ἀσφαλῶς κατέχοντες, μετὰ τοῦ Ἡσαΐου, μεγαλοφώνως βοήσωμεν. Ἰδοὺ ἡ Παρθένος, ἐν γαστρὶ λήψεται, καὶ τέξεται Υἱὸν τὸν Ἐμμανουήλ. ὅ ἐστι μεθ᾽ ἡμῶν ὁ Θεός.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη ὑπάρχεις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, οἱ Μακαρισμοὶ, καὶ ἀπὸ τοῦ Κανόνος τῶν Προπατόρων. ᾠδὴ ς΄.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Καὶ, Εἰς μνημόσυνον αἰώνιον.

## Τῷ αὐτῷ Μηνὶ ΙΔ΄.

Τῶν Ἁγίων Μαρτύρων, Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, Ἀπολλωνίου, καὶ Ἀρειανοῦ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Θυρεῷ εὐσεβείας σε, θωρακίσας ὁ Κύριος, δυνατὸν εἰργάσατο πρὸς παράταξιν, τοῦ δυσμενοῦς ἐξερχόμενον, Θύρσε πανοίδιμε. ὃν τῇ λόγχῃ τῆς ἐν σοὶ, καρτερίας κατέαξας, καὶ ἠφάνισας, τὰς αὐτοῦ μυριάδας, καὶ τῆς νίκης, τοῖς στεφάνοις ἀνεδήσω, μεγαλομάρτυς πολύαθλε.

Τῆς ψυχῆς τὴν λευκότητα, τῷ ὡραίῳ τοῦ σώματος, τῆς ὁμολογίας τε καθαρότητι, Μάρτυς ὑπέφερες Λεύκιε. διὸ φερωνύμως σε, κλήσει ἔνδοξε Χριστὸς, ἐπὶ γῆς κατελάμπρυνεν. ὃν ἐκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Καλλινίκως διήνυσας, τοὺς ἀγῶνας Καλλίνικε, προκληθεὶς ὃ ἔμελλεν ἔργοις ἔσεσθαι. καὶ ἐκμιμούμενος Λεύκιον, ψυχὴν κατελάμπρυνας, ταῖς τῶν ἄθλων καλλοναῖς, καὶ βασάνων λευκότητι, καὶ τὴν ἄθεον, ἐστηλίτευσας γνώμην τῶν ἀνόμων, καὶ τὸν ζόφον τῆς ἀπάτης, θείᾳ δυνάμει ἐμείωσας.

Τὸν φιλοῦντά σε Κύριον, ὑπὲρ φύσιν ἐφίλησας, καὶ σαρκὸς ἐμίσησας ἡδυπάθειαν, καὶ δυσσεβείας κακόνοιαν, καὶ χαίρων ἐχώρησας, πρὸς δεσμὰ πρὸς αἰκισμοὺς, πρὸς τὸν βίαιον θάνατον, γενναιότατε, ἀθλοφόρε Φιλήμων παραδόξως, τὴν καλὴν ἐν ἐπιγνώσει, ἠλλοιωμένος ἀλλοίωσιν.

Ἕτερα στιχ. προσόμοια. Ἦχος ὁ αὐτός.

Ἔδωκας σημείωσιν.

Θύρσος ὁ θαυμάσιος, καὶ ὁ θεόφρων Καλλίνικος, καὶ ὁ ἔνδοξος Λεύκιος, Τριάδα τὴν ἄκτιστον, καθομολογοῦντες, πόνους βαρυτάτους, καὶ ἀφειδῶς αἰκισμοὺς, ἀνδρειοτάτῃ γνώμῃ ὑπέμειναν, καὶ νίκης τὸ διάδημα, ὡς νικηφόροι ἀπέλαβον, συμπολῖται γενόμενοι, τῶν ἀΰλων δυνάμεων.

Φι-

Digitized by Google

Φιλήμων ὁ μέγιστος, Ἀρειανὸς ὁ παμόλβιος, ὁ σοφὸς Ἀπολλώνιος, αἱμάτων τοῖς ῥεύμασι τῆς πολυθεΐας, ἔσβεσαν τὴν γῆν, πᾶσαν κατήρδευσαν τὴν γῆν, θεογνωσίας, τοῖς θείοις ῥεύμασι, καὶ ὄμβροις τῶν ἰάσεων, τῶν παθημάτων ξηραίνουσι, ποταμοὺς θείᾳ χάριτι, οἱ Καλλίνικοι Μάρτυρες.

Ἄνθη ὡραιότατα, ἐν τῷ λειμῶνι ἐξηνθήσαν, τῶν Μαρτύρων οἱ ἔνδοξοι, τοῦ Πνεύματος πέμποντες, θείαν εὐωδίαν, καὶ τὰς διανοίας, εὐωδιάζοντες πιστῶς, τῶν ἐτησίαις μνήμαις τιμώντων αὐτῶν, τοὺς ἄθλους τὰ παλαίσματα, τὴν μακαρίαν τελείωσιν, δι᾿ ἧς φῶς τὸ ἀνέσπερον, κατοικοῦσι γηθόμενοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Σὲ τὸ καθαρώτατον, τοῦ Βασιλέως παλάτιον, δυσωπῶ πολυύμνητε, τὸν νοῦν μου καθάρισον, κατεσπιλωμένον, πάσαις ἁμαρτίαις, καὶ καταγώγιον τερπνὸν, τῆς ὑπερθέου Τριάδος ποίησον. ὅπως τὴν δυναστείαν σου, καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω σωζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον βλέπουσα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, ὑπὸ λόγχης ἡ πάναγνος, Χριστὸν τὸν φιλάνθρωπον, ἔκλαιε βοῶσα. τί τοῦτο υἱέ μου; τί σοι ἀχάριστος λαὸς, ἀνταποδίδει, ἀνθ᾿ ὧν πεποίηκας, καλῶν αὐτοῖς καὶ σπεύδεις με, ἀτεκνωθῆναι πανφίλτατε; καταπλήττομαι εὔσπλαγχνε σὴν ἑκούσιον σταύρωσιν.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων.

Θεοφάνους. Ὠδὴ α΄. Ἦχος Πλ. α΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Μαρτυρικαῖς ἀγλαΐαις τῷ θεϊκῷ, θρόνῳ παριστάμενοι, καὶ ταῖς θείαις ἀστραπαῖς, ἀθληταὶ λαμπόμενοι ἡμᾶς, τοὺς ὑμνοῦντας τὴν ὑμῶν μνήμην φωτίσατε.

Κάλλος τὸ θεῖον ποθοῦντες βίου τερπνὰ, εἰς οὐδὲν ἡγήσασθε, ἀθλοφόροι τοῦ Χριστοῦ, καὶ θανόντες σώματι ζωὴν, ἀτελεύτητον, εὑρεῖν κατηξιώθητε.

Τῆς ἀθεΐας τὴν πλάνην θεοπρεπῶς ἀθλοφόροι Μάρτυρες, στηλιτεύσαντες πολλῶν, πόνων ὑπεμείνατε πυρὰν, καὶ τὴν ἄπονον ζωὴν, νῦν ἀπειλήφατε.

Ταῖς ὑπερφώτοις ἀκτῖσι τοῦ παντουργοῦ, ἐλλαμφθεὶς σοῦ Πνεύματος, ἀθεΐας τὰ βαθὺ, σκότος ἐξηφάνισας Χριστοῦ, ἀθλοφόρε θαυμαστὲ, Θύρσε μακάριε.

Τὸν ἀπερίγραπτον Λόγον περιγραπτὸν, γεγονότα σώματι, ἀπεκύησας ἁγνή. ὃν δυσώπει ῥύσασθαι φθορᾶς, καὶ παθῶν ἐπαγωγῆς, τοὺς σὲ δοξάζοντας.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Τὸ σῶμα ξέοντες δεινῶς, οἱ τοῦ σκότους προστάται, λογισμοῦ σου τὸν τόνον, οὐκ ἐχαύνωσαν στοργῇ, τῇ θεϊκῇ δυνατῶς, ἐν ἀγάπῃ, Θύρσε κρατυνόμενον.

Ὑπῆρξε μάρτυς θαυμαστὲ, ἡ ἀθρόα σου ὄντως, πρὸς τὸν Κύριον πίστις. δι᾿ ἧς ἤσχυνας ἐχθρῶν, κακοπιστίαν βοῶν, ὦ Φιλήμων, δοῦλος Χριστοῦ πέφυκα.

Πρὸς πάλην Μάρτυς τοῦ ἐχθροῦ, θαρσαλέως ἐξῆλθες, οὐκ ἀσπίδα οὐ δόρυ, ἀλλὰ πίστιν ἀρραγῆ, ἐνθέως θωρακισθεὶς, καὶ ἀνδρείως, τοῦτον κατηδάφισας.

Ἐφέσει θείᾳ κρατυνθεὶς, τὴν θεογνωσίαν, οὐρανόθεν κομίζει, δι᾿ ὕδατος μυστικῶς, Φιλήμων μάρτυς Χριστοῦ, πρὸς ἀγῶνας, θείους δυναμοῦσάν σε. Θεοτ.

Ἐν δύω φύσεσιν ὁ εἷς, τῆς Ἁγίας Τριάδος, ἐξ ἁγνῶν σου αἱμάτων, σαρκωθεὶς θεοπρεπῶς, προῆλθε τοὺς ἐξ Ἀδὰμ, διασώζων, πάναγνε χρηστότητι.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Εὐσεβείας θυρεῷ, περισκεπόμενοι καλῶς καὶ τὸ ὅπλον τοῦ Σταυροῦ, ἀναλαβόμενοι στεῤῥῶς, τὰς παρατάξεις κατέβαλον τοῦ Τυράννου, Μάρτυρες Χριστοῦ οἱ ἀξιάγαστοι. καὶ στέφος παρ᾿ αὐτοῦ ἀναδυσάμενοι, νικητικῶς χορεύουσιν ἀπαύστως, μετὰ τῶν ἄνω δυνάμεων, καὶ τὸν Σωτῆρα, ἐκδυσωποῦσι, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Τεῤῥῶς ἐναθλοῦντες οἱ ἱεροὶ, ἀθλοφόροι Κυρίου τοὺς αἰκισμοὺς, τὰς ξέσεις τοῦ σώματος,

Digitized by Google

ματος, καὶ τὸν βίαιον θάνατον, ἀδιςάκτῳ πίςει, ἀνδρείως ὑπεμείνατε, καὶ τοῦ ἐχθροῦ τὸ θράσος, τελείως κατεβάλον. ὅθεν ἰαμάτων, δωρεὰν εἰληφότες, ἰῶνται τοὺς κάμνοντας, καὶ λυτροῦνται κακώσεως, τοὺς βοῶντας ἑκάστοτε, πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, καὶ πταισμάτων ἄφεσιν.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, ἀπὸ βρέφους μολύνας ὁ μιαρὸς, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα. καὶ οὐκ ἔχω τί πράξαι, ἢ ποῦ καταφεύξασθαι. ἀλλ' οὐδ' ἄλλην ἐλπίδα, πλὴν σοῦ Κόρη ἐπίςαμαι. φεῦ μοι ὁ ἀχρεῖος, διὰ τοῦτο οἰκέτης, πρὸς σὲ τὴν παναχράντον, νῦν προςρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον. πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, εἰς σὲ γὰρ πᾶσαν μου ἐλπίδα ἀνέθηκα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Θεὸν καὶ Δεσπότην καὶ λυτρωτὴν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἀδίκως κρεμάμενον, θρηνῳδοῦσα ἐβόα σοι. οἴμοι Υἱὲ πῶς πάσχεις, καὶ φέρεις μακροθύμως, παρὰ τῶν ἀγνωμόνων, ἐπειδὴ καὶ θάνατον, σῶσαι τῶν ἀνθρώπων, πεπτωκυῖαν τὴν φύσιν, καὶ ῥύσασθαι κακώσεως, καὶ πταισμάτων συμπτώσεως. διὸ σὺν τούτοις κραυγάζω σοι· ἀνάςηθι ἐκ τῶν νεκρῶν, λύτρωσαι τὴν ποίμνην σου, ἐκ πάσης περιςάσεως.

Ὠδὴ δ'. Χριςός μου δύναμις.

Τὸν μόνον εὔσπλαγχνον, τὸν μόνον Κύριον, καὶ Θεὸν τῶν ἁπάντων ὁμολογεῖν, Μάρτυρες ποθήσαντες, διὰ βασάνων τὴν αὐτοῦ, Βασιλείαν ἀπειλήφατε.

Στρεβλώσεις σώματος, πυρὸς ὁρμήματα, καὶ θηρῶν καὶ θαλάσσης νεανικῶς, ἤνεγκας πανόλβιε, καὶ δυναςείαν τοῦ ἐχθροῦ, Μάρτυς Θύρσε καταβέβληκας.

Ἐχθρὸν ἀλάςορα, τῷ ἐκνευρίζεσθαι, ἐξενεύρισας μάκαρ καὶ τὴν ὁδὸν, Μάρτυς Ἀπολλώνιε, τοῦ μαρτυρίου ἀσφαλῶς, ἐπορεύθης θείῳ Πνεύματι.

Στιγμῶν ςίγμασι, καλλωπιζόμενος, τὴν ψυχὴν φαιδροτέραν ἡλιακῆς, φέγγους ἀπετέλεσας, ὡς ἀθλοφόρος τοῦ Χριςοῦ, ςρατιῶτα Μάρτυς Λεύκιε. Θεοτοκίον.

Μητέρα ἄνανδρον, Παρθένον ἄμωμον, ἀδιάφθορον Κόρην ἐν γυναιξὶ, μόνην σε γινώσκομεν, εὐλογημένη Μαριὰμ, τῶν ἀνθρώπων ἡ βοήθεια.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ταῖς θειοτάταις θεολαμπῶς, καὶ τῷ ποιητῇ ὡς ἀληθῶς, πεπυρσωμένοι διήλθετε, τὸ τῆς ἀθεΐας ἄςακτον πέλαγος, καὶ θείαν πρὸς γαλήνην διεβιβάσθητε.

Περισυρόμενοι ἐν τῇ γῇ, Μάρτυρες πανεύφημοι δεινῶς. καὶ ταῖς αἰκίαις βαλλόμενοι, τῶν ἐπουρανίων γερῶν ἐτύχετε, Ἀγγέλων συμπολῖται νῦν χρηματίζοντες.

Καταπειρόμενος καὶ πολλαῖς. Θύρσε προσβολαῖς τῶν δυσχερῶν, περικυκλούμενος ἔφερες, θείαις συμμαχίαις ἀναδεικνύμενος, ἀνώτερος παντοίου εἴδους κολάσεων.

Θεοτοκίον.

Τοὺς Θεοτόκον σε ἐκ ψυχῆς, Δέσποινα τοῦ Κόσμου ἀγαθὴ, ὁμολογοῦντας διάσωσον. σὲ γὰρ προςασίαν ἀκαταμάχητον, κεκτήμεθα τὴν ὄντως Θεογεννήτριαν.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Ταῖς αὔραις κινούμενοι, θείου Πνεύματος σοφοὶ, τὰ τῆς ψυχῆς ἀγώγιμα, εἰςάγοντες λιμένας περιχαρῶς, ἐσώσατε Μάρτυρες. ἀπολαύοντες ἅμα τῆς Θεώσεως.

Βαφαῖς ταῖς τοῦ αἵματος, σωτηρίου ἑαυτοῖς, περιποιοῦνται ἔνδυμα, τῇ ἀπεκδύσει Μάρτυρες τῆς σαρκὸς, τὴν θείαν εὐπρέπειαν, ἐςολίζεσθε δόξῃ καλλυνόμενοι.

Φιλήμων καὶ Λεύκιος, Ἀπολλώνιος ὁμοῦ, καὶ Θύρσος ὁ ἀοίδιμος, ἡ τετρακτὺς ἡ θεία καὶ φωταυγὴς, Τριάδος τὴν ἔλλαμψιν, ἐν μεθέξει ἀΰλῳ κατεπλούτησαν.

Θεοτοκίον.

Ὁ πάσης ἐπέκεινα, νοουμένης ὡς Θεὸς, καὶ ὁρωμένης Κτίσεως, σωματωθεὶς προῆλθε σοῦ ἐκ γαςρὸς, τηρήσας σε ἄφθορον, ὥσπερ ἦς πρὸ τοῦ τόκου Μητροπάρθενε.

Ὁ Εἱρμός.

„ Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι,



Digitized by Google

„ τῷ ἀιδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι
„ ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε.

Τῷ αὐτῷ Μηνὶ ΙΔ'. Ἄθλησις τῶν Ἁγίων Μαρτύρων, Θύρσου, Λευκίου, καὶ Καλλινίκου.

Οὐ δένδρινόν σε Θύρσε κλάδον ὁ πρίων,
Πρὸ τῆς τελευτῆς εὗρεν ὡς ῥᾷστα πρίσαι.
Ὁ πνεῦμα λευκὸς Λεύκιος τμηθεὶς ξίφει,
Τὸ σῶμα βάπτει φοινικοῦν ἐξ αἱμάτων.
Ὁ Καλλίνικος ἐκκοπεὶς τὸν αὐχένα,
Ὑπῆρξε Καλλίνικος ἐκ τῶν πραγμάτων.
Πρίσαν ἀλύξας Θύρσε θάνες δεκάτῃ γε τετάρτῃ.

Οὗτοι ὑπῆρχον ἐπὶ Δεκίου Βασιλέως, καὶ Κουμβρικίου ἡγεμόνος διωγμὸν κατὰ Χριστιανῶν κινοῦντος, ἐν τοῖς μέρεσι Νικομηδείας καὶ Νικαίας καὶ Καισαρείας τῆς κατὰ Βιθυνίαν. Αὐτομολήσας δὲ ὁ Ἅγιος Λεύκιος, προῆλθεν αὐτῷ τὸν Χριστὸν ὁμολογῶν, καὶ τὴν τῶν εἰδώλων ματαιότητα ἐκφαυλίζων. Κρεμασθεὶς οὖν προστάξει τοῦ Ἡγεμόνος, καὶ καταξανθεὶς τὰς σάρκας δεινῶς, καὶ στερρῶς ἐπιμένων τῇ εὐσεβεῖ τῶν Χριστιανῶν πίστει, ἀπετμήθη τὴν κεφαλήν. Εἶτα ποιουμένου τοῦ ἡγεμόνος ἐπὶ τὴν Ἑλλήσποντον τὴν πορείαν, ὁ μέγας ἐν ἀθληταῖς Θύρσος ὑπήντησεν αὐτῷ, παρρησίᾳ τὸν Χριστὸν Θεὸν εἶναι ἀνακηρύττων, καὶ τὸν Τύραννον διελέγχων, ὅτι τοῖς μὴ οὖσι θεοῖς ἀλόγως τὸ σέβας προσνέμει. Ὅθεν πὺξ παίεται, καὶ τὰ σφυρὰ συνθλᾶται, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας δεσμεῖται καὶ συντρίβεται, καὶ τῶν ὀφθαλμῶν διαπερονᾶται βλέφαρα, καὶ αὐτοὺς τοὺς ὀφθαλμοὺς ἐκκεντᾶται, καὶ στροβίλοις χαλκοῖς συνθλᾶται τοὺς πόδας, καὶ κατὰ τοῦ νώτου μόλιβδον ἐπιχέεται ζέοντα. Ὃς ἐπιχυθεὶς, μᾶλλον τοὺς ὑπηρέτας, ἢ τὸν Ἅγιον ἔβλαψεν. Ἐπεὶ δὲ τῇ τοῦ Χριστοῦ χάριτι ἐκ πάντων τῶν προσενεχθέντων αὐτῷ δεινῶν ἀσινὴς διεφυλάχθη, μεσολαβεῖται καὶ τέμνεται σιδήροις. Καταστρέφει δὲ διὰ προσευχῆς πάντα τὰ τῶν εἰδώλων σεβάσματα. Εἶτα ἐν ἀγγείῳ τινὶ πλήρει ὕδατος κατὰ κεφαλῆς βάλλεται, ὅπερ διεῤῥάγη εὐθέως. καὶ ἀπὸ ὀξυγωνίου τείχους ῥίπτεται, ὑποστρωθέντων τῷ ἐδάφει, ἐν ᾧ κατενεχθῆναι ἔμελλεν, ἥλων ὀξέων καὶ σιδήρων ἀκμῶν, καὶ ἐκ τούτων τῇ τοῦ Χριστοῦ δυνάμει ἀβλαβὴς διεφυλάχθη. Μετὰ ταῦτα τοῦ Κουμβρικίου καὶ Σιλβανοῦ τὴν ἑαυτῶν ζωὴν κακῶς ἀποῤῥηξάντων, διαδέχεται τὴν ἡγεμονίαν Βάβδος. ὃς τὸν Ἅγιον τῆς εἰς Χριστὸν πίστεως ἀντεχόμενον, εἰς σάκκον ἐμβαλὼν, ἐν τῇ θαλάσσῃ ἀπέῤῥιψε. Τοῦ δὲ σάκκου διαῤῥαγέντος, Ἀγγέλων ἐπιστασίᾳ, ἀπεκομίσθη πρὸς τὴν χέρσον ὁ Ἅγιος. Εἶτα αἰκίζεται σφοδρῶς, καὶ αὖθις διὰ προσευχῆς τὰ ξόανα καθαιρεῖ, καὶ τοῖς ἀγρίοις θηρσὶν εἰς βορὰν προσετέθη· ὃς ἀπήμαντος διέμεινε. Καὶ αὖθις τύπτεται ἐπὶ τοσοῦτον, ὡς διαιρεθῆναι τὰς σάρκας αὐτοῦ, καὶ εἰς γῆν ἀποπίπτειν, ἔνθα καὶ τὸν Ἅγιον Καλλίνικον ἐπισπᾶται πρὸς τὴν εἰς Χριστὸν πίστιν, ἱερέα τῶν εἰδώλων ὑπάρχοντα, διαλογισάμενον, ὅτι μείζων πάντων ἐκεῖνος Θεὸς, οὗ τῇ ἐπικλήσει τὰ εἴδωλα καταπίπτουσιν. Ἐν γὰρ Ἀπολλωνίᾳ γενόμενος ὁ Ἅγιος Θύρσος, τὰ τῶν ματαίων Θεῶν ἀφιδρύματα διὰ προσευχῆς κατέσεισε, καὶ εἰς γῆν κατέβαλε. ταὐτὸ δὲ τοῦτο θαυματουργήσας καὶ ὁ Ἅγιος Καλλίνικος, καταβαλὼν τὸ εἴδωλον ὅπερ ἐσέβοντο, τὴν διὰ ξίφους δέχεται τελευτήν. Ὁ δὲ Ἅγιος Θύρσος ἐν κιβωτίῳ βληθεὶς ὥστε διατμηθῆναι πρίονι, καὶ τῶν ὑπηρετῶν μὴ δυνηθέντων μετακινῆσαι τὸν πρίονα, ἀβλαβὴς ὁ Ἅγιος διέμεινεν. ἔνθα τὴν ψυχὴν παρέθετο τῷ Θεῷ, ἄνωθεν αὐτῷ προσγενομένης φωνῆς, καὶ παραδηλούσης τὰ ἀποκείμενα αὐτῷ ἀγαθά. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Μαρτυρείῳ αὐτῶν, τῷ ὄντι πλησίον τῶν Ἐλαιωνῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Φιλήμονος, καὶ Ἀπολλωνίου, Ἀρριανοῦ, καὶ τῶν σὺν αὐτοῖς.

Στίχος. Ἔτερπεν αὐλοῖς πρὶν Φιλήμων τοὺς φίλους.
Ταμὼν δὲ τμηθεὶς, τέρπεται τέρψιν ξένην.

Ἀπολ-

Digitized by Google

Ἀπολλώνιον υἱὸν ὑψίστου θέσει,
Κτείνουσιν υἱοὶ τῆς ἀπωλείας ξίφει.
Τὸν Ἀριανὸν ἐργάται πονηρίας,
Ἔργον Θαλάσσης δεικνύουσιν ἀφρόνως.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ Βασιλέως, καὶ Ἀριανοῦ Ἡγεμόνος τῆς Θηβαΐδος ἐν Αἰγύπτῳ, τῆς μητροπόλεως Τητιμόων. Ὁ δὲ τῆς Μαρτυρίας αὐτῶν τρόπος γέγονε τοιοῦτος. ἑπτὰ καὶ τριάκοντα τινῶν Χριστιανῶν συσχεθέντων, καὶ προσαχθέντων τῷ Ἡγεμόνι, εἷς ἐξ αὐτῶν Ἀπολλώνιος τοὔνομα, τῇ τάξει τῆς Καθολικῆς Ἐκκλησίας ἀναγνώστης ὤν, ἀπειλουμένας βασάνους καταπλαγείς, χρυσίνους ἐπέδωκε τέσσαρας Φιλήμονι τῷ χοραύλῃ, τοῦ ἐνσκευασάμενον ὑποκριθῆναι τὸν Ἀπολλώνιον, καὶ ἀντ' αὐτοῦ θυσίαν προσενεγκεῖν τοῖς εἰδώλοις, ἐπιδοὺς αὐτῷ ἅμα καὶ τὰ οἰκεῖα ἱμάτια. Ὁ δὲ τῇ περιβολῇ τῶν ἱματίων τοῦ Ἀπολλωνίου, καὶ τὴν εἰς Χριστὸν πίστιν περιεβάλλετο, καὶ συγκαλυψάμενος εἰσῆλθεν εἰς τὸ στάδιον, καὶ θῦσαι ἐπιτραπείς, τὸν Χριστὸν ὡμολόγησε. Τοῦ δὲ Ἡγεμόνος κελεύσαντος ἀχθῆναι τὸν Φιλήμονα αὐλῆσαι, ὅπως διὰ τῆς μελῳδίας γοητευθεὶς ὁ ἀντιλέγων, καὶ τὰ παρόντα νομίσας καλά, τὴν πίστιν μετάθηται, τοῖς δαίμοσιν ἐπιθύσῃ, ἐγνώσθη ὁ Φιλήμων, ὅτι αὐτὸς ἦν ὁ τὸν Ἀπολλώνιον ὑποκρινόμενος. Ὡς δὲ πολλὰ παραινούντων αὐτῷ, καὶ πρὸς ἄρνησιν ἐκκαλουμένων τοῦ Χριστοῦ, οὐκ ἐπείσθη, ἀλλ' ὠνειδίσθη παρὰ τοῦ Ἡγεμόνος, ὅτι μάτην ποιεῖ μὴ πρότερον προσελθὼν τῷ Βαπτίσματι τῶν Χριστιανῶν. ἀπείργεται γὰρ Χριστιανοῖς συναριθμεῖν ἑαυτόν, τὸν μὴ τοῦ Βαπτίσματος μετέχοντα, δεξαμένου αὐτοῦ, ὑετὸς κατηνέχθη ἐπὶ μόνον αὐτοῦ. ὡς πάντας μὲν θαμβηθῆναι τοὺς παρεστῶτας, αὐτὸν δὲ τὸν Ἅγιον Φιλήμονα πληροφορίαν λαβεῖν, ὅτι μηδενὸς τολμῶντος διὰ τὸν φόβον τοῦ Ἡγεμόνος τοῦ Βαπτίσαι αὐτόν, ἄνωθεν αὐτῷ κατηνέχθη τὸ Βάπτισμα. Ἀλλὰ καὶ περὶ τῶν αὐλῶν ηὔξατο, (οὓς τῷ Ἀπολλωνίῳ ἐπιδέδωκεν ὅτε τοὺς χρυσίνους ἐδέξατο παρ' αὐτοῦ, τὰ ἀλλήλων ὑποδυσάμενοι πρόσωπα,) καὶ πυρὸς κατελθόντος οὐρανόθεν, ἐν ταῖς χερσὶ τοῦ Ἀπολλωνίου κατεφλέχθησαν καὶ ἀπώλλοντο οἱ αὐλοί. Συνεσχέθη δὲ καὶ Ἀπολλώνιος, ὡς αἴτιος γενόμενος τῆς εἰς Χριστὸν πίστεως τῷ Φιλήμονι, καὶ ἀχθεὶς πρὸς τὸν Ἡγεμόνα, τὴν εἰς Χριστὸν πίστιν ἀνεκήρυξε. Διὸ τέμνεται τὰ νεῦρα τῶν ποδῶν αὐτοῦ, καὶ καθ' ὅλης τῆς Πόλεως σύρεται. Ὁ δὲ Φιλήμων εἰς φυτὸν ἐλαίας κρεμασθείς, τοξεύεται. Τὰ δὲ βέλη, αὐτοῦ οὐχ ἥπτοντο, ἓν δὲ ἐνεχθὲν πρὸς τὸν Ἡγεμόνα, ἐξεκέντησεν αὐτοῦ τὸν ὀφθαλμόν. ὃν ὁ ἅγιος Φιλήμων κατέστησεν ὑγιῆ, προειπὼν αὐτῷ, ὅτι μετὰ τὸ Μαρτύριον αὐτοῦ, χοῦν ἐκ τῆς σοροῦ λαβών, ὑγιῆ τὸν ὀφθαλμὸν ἀπολήψεται. Τὰς κεφαλὰς οὖν ἀμφοτέρων τμηθέντων, τοῦ τε ἁγίου Φιλήμονος καὶ Ἀπολλωνίου, ὁ Ἡγεμὼν μεθ' ἡμέρας ἔνθα κατετέθησαν οἱ Ἅγιοι παραγενόμενος, κατὰ τὴν τοῦ ἁγίου πρόρρησιν, γέγονεν ὑγιής. ὅθεν αὐτὸς καὶ οἱ σὺν αὐτῷ πιστεύουσι τῷ Χριστῷ, καὶ Βαπτίζονται. Τοῦτον δὲ μεταπεμψάμενος ὁ Βασιλεὺς Διοκλητιανός, καὶ πεδήσας σιδήροις, καὶ λίθον ἐν τῷ τραχήλῳ αὐτοῦ περιθείς, ἐν χάσματι κατέχωσε γῆς. Ὃν παραδόξως σωθέντα ἐπὶ τῆς κλίνης αὐτὸν θεασάμενος ἐν τοῖς Βασιλείοις, μάγον εἶναι οἰηθείς, ἐν τῇ Θαλάσσῃ ἀπέρριψε μετὰ τῶν Πρωτικτόρων, πιστευσάντων καὶ αὐτῶν τῷ Χριστῷ. Συνεκομίσθη δὲ τὸ τοῦ ἁγίου Ἀριανοῦ λείψανον ὑπὸ τῶν παίδων αὐτοῦ ἐπὶ νώτου δελφῖνος ἐποχούμενον κατὰ τὴν τοῦ Ἁγίου πρόρρησιν, καὶ ἐτάφη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν τεσσάρων Πρωτικτόρων, τῶν συναθλησάντων τῷ Ἁγίῳ Ἀριανῷ.

Βάπτισμα πόντος τοῖς Πρωτίκτορσι ξένως.
Φοροῦσι σάκκους ὡς στολὰς ἐμφωτίους.

Μετὰ τὸ βασανίσαι τοὺς ἁγίους διαφόροις τιμωρίαις ὁ Διοκλητιανός, ἔρριψε καὶ τὸν Ἅγιον Ἀριανὸν εἰς βαθὺν βόθρον τῆς γῆς δεδεμένον, καὶ ἐσκέπασε τὸν βόθρον μετὰ τοῦ χώματος, καὶ ἔστησεν ἐπάνω

τὴν

Digitized by Google

τὸν δρόμον αὐτοῦ, καὶ ἐπέτρεψε παίζειν τοὺς στρατιώτας, λέγων· εἴδομεν εἰ ἔλθῃ ὁ Θεὸς τοῦ Ἀρειανοῦ, καὶ ἐκβάλλῃ αὐτὸν τοῦ βόθρου τούτου. Καὶ ἀπελθὼν πρὸς τὰ βασίλεια, ἀπῆλθε πρὸς τὴν κλίνην αὐτοῦ, καὶ βλέπει τὰ σίδηρα καὶ τὸν λίθον, ὃν ἐφόρει ὁ Ἅγιος Ἀρειανὸς, ἀπῃωρημένα ἐν τῇ κλίνῃ αὐτοῦ, καὶ τὸν Ἀρειανὸν κείμενον ἐπ' αὐτῆς, καὶ ἐφοβήθη, ὑπολαβὼν αὐτὸν μάγον εἶναι. Τότε ἔρριψεν αὐτὸν ἐν τῇ Θαλάσσῃ μετὰ τῶν πιστευσάντων σὺν αὐτῷ Προτικτόρων, καὶ οἱ δελφῖνες λαβόντες τὰ λείψανα εἰς πέντε σάκκους ἐμβληθέντα, ἐξήγαγον εἰς τὸν αἰγιαλὸν Ἀλεξανδρείας. Καὶ γνωρίσαντες αὐτὰ οἱ δοῦλοι τοῦ Ἀρειανοῦ, κατέθηκαν ἐν Ἀλεξανδρείᾳ, κηδεύσαντες ἐν ἐπισήμῳ τόπῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς μετὰ φιλανθρωπίας ἐπενεχθείσης ἡμῖν φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ. ἧς παρ' ἐλπίδα πᾶσαν ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Κύριος.

Στ. Ἔσεισας ἀλλ' ἔστησας αὖθις γῆν Λόγε. Τῆς σῆς γὰρ ὀργῆς, οἶκτος ἦν τὸ πλέον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἐπομβρήσεσιν ἐνθέοις κατεσβέσατε, πολυθεΐας κάμινον, ἀναπτόμενοι, θεϊκῇ στοργῇ περιχαρῶς, καὶ νῦν μελῳδεῖτε ἐκτενῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸν διώκοντα τῇ θείᾳ συλλαβόμενοι, σαγήνῃ ἀξιάγαστοι, ἀνειλκύσατε, ἐκ βυθοῦ τῆς πλάνης καὶ Χριστῷ, προσήξατε ψάλλοντα θερμῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Συνεσείσατε τῆς πλάνης τὰ θεμέλια, ἀσάλευτον προαίρεσιν, ἐνδεικνύμενοι, τῇ πίστει πᾶσι τὸν Χριστόν. καὶ νῦν μελῳδεῖτε εὐσεβῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὑπὲρ λόγον σου ἡ σύλληψις Θεόνυμφε. Θεὸν γὰρ Λόγον τέτοκας, τὸν ῥυόμενον ἀλογίας πάσης τοὺς βροτοὺς, καὶ λόγον παρέχοντα βοᾷν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Θυρεῷ εὐσεβείας περισκεπόμενοι, καὶ Σταυρὸν ὥσπερ δόρυ ἀναλαβόμενοι, φάλαγγας ἐχθροῦ ἀοράτους ἐκόψατε, Μάρτυρες ἐνθέως, Χριστὸν ὑπερυψοῦντες.

Ἐκκαιόμενος φίλτρῳ τοῦ Παντοκράτορος, ὑπεισῆλθες ἀνδρείως Μαρτύρων στάδιον, καὶ καρτερικῶς ἐναθλήσας κατέρραξας, δράκοντα τὸν μέγαν, Φιλήμων ἀθλοφόρε.

Ὑποβρύχιον δείξας ἐχθροῦ τὴν δύναμιν, τῷ βυθῷ τῆς ἀνδρείας καὶ καρτερίας σου, ὦ Ἀρειανὲ Βασιλείας ἠξίωσαι, ἀπαρασαλεύτου, εἰς πάντας τοὺς αἰῶνας. Θεοτ.

Ἀληθῆ Θεοτόκον ὁμολογοῦντές σε, τοῦ Ἀγγέλου τὸ χαῖρε πίστει βοῶμέν σοι· μόνη τὴν χαρὰν ἐπὶ γῆς γὰρ ἐκύησας, Κεχαριτωμένη, ἀεὶ εὐλογημένη.

Ὁ Εἱρμός.

„ Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς Χριστὲ μόνῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Χριστοῦ τὸ πάθος ἐξεικονίζοντες, πεῖραν πολλῶν ὑπέστητε βασάνων μακάριοι. κεφαλὰς δὲ τμηθέντες συνήφθητε, τάξεσιν οὐρανίαις, δόξῃ λαμπόμενοι, καὶ ταῖς θεϊκαῖς μαρμαρυγαῖς, ὡραϊζόμενοι.

Ἐκ σῶν αἱμάτων πορφύραν ἔβαψας, Θύρσε σοφὲ καὶ ταύτην εὐκλεῶς στολισάμενος, καὶ ὡς σκῆπτρον κατέχων τὸν θεῖον Σταυρὸν, πᾶσι σὺν ἀθλοφόροις, ἐπαγαλλόμενος, νῦν συμβασιλεύεις, τῷ Χριστῷ Θεομακάριστε.

Ὑμῶν μακάριοι ἀξιάγαστοι, ἀγγελικαὶ Δυνάμεις τοὺς ἀγῶνας ἐθαύμασαν, τὰς ἐνστάσεις, τὸν βίαιον θάνατον· οἷς συμπεριπολοῦντες, μνείαν ποιήσασθε, τῶν ἐπιτελούντων τὴν ὑμῶν, μνήμην πανεύφημοι.

Θεοτοκίον.

Σαρκὸς ἀνθρώπων ἐν ὁμοιώματι, σοῦ ἐκ γαστρὸς ὁ Λόγος καθωράθη τικτόμενος,



Digitized by Google

ρος, καὶ Μαρτύρων πληθὺν ἐπεσπάσατο, πάθη καθυπομείνας, ὁ ὑπεράγαθος, ἄχραντε Παρθένε, Μαριὰμ Θεοχαρίτωτε.

Ὁ Εἱρμός.

„ Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ „ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τά„ γματα. διὰ σοῦ δὲ Πάναγνε ὡράθη βρο„ τοῖς, λόγος σεσαρκωμένος. ὃν μεγαλύ„ νοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς, σὲ „ μεγαλύνομεν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΕ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμ. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Σκεῦος ἱερώτατον, Πνεύματος θείου γεγένησαι, τὴν ψυχὴν καθηράμενος, παθῶν ἱερώτατε. ἔνθα χρίσμα θεῖον, ἅγιον ἐδέξω, Ἀρχιεράρχης γεγονώς, καὶ ποδηγέτης λαοῦ θεόφρονος, καὶ μάρτυς ἀπαράτρωτος, τοῦ δι' ἡμᾶς πάθη φέροντος, καὶ ἀπάθειαν βλύσαντος, ἀθλητὰ Ἐλευθέριε.

Σώματος ἠλόγησας, αἰκιζομένου ταῖς μάστιξι, καὶ πυρὶ προσεγγίζοντος. τὸν νοῦν γὰρ προσήλωσας, ἀνεικάστῳ πόθῳ, τῷ ὡραιοτάτῳ, κάλλει τοῦ θείου ἐραστοῦ. οὗ τῷ γλυκείῳ ἐτρώθης ἔρωτι, Μαρτύρων ἐγκαλλώπισμα, Ἀρχιερέων ἀγλάϊσμα, ἀθλητὰ Ἐλευθέριε, πρέσβευε τῶν ψυχῶν ἡμῶν.

Καλῶς τὸν ἀγῶνά σε, τεθεαμένη τελέσαντα, ἡ καλῶς σε κυήσασα, τὸν ἴσον ποθήσασα, διανύσαι δρόμον, σοὶ περιπλακεῖσα, μέσον τοῦ σκάμματος σοφέ, καθάπερ δάμαλις ἀποσφάττεται. μεθ' ἧς ἐκδυσωποῦμέν σε, ὑπὲρ ἡμῶν Ἐλευθέριε, τὸν Σωτῆρα καὶ Κύριον, ἐκδυσώπει πανόλβιε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε καταφύγιον, Χριστιανῶν καὶ κραταίωμα. χαῖρε Κλίμαξ οὐράνιε. χαῖρε τὸ Κειμήλιον, τὸ τῆς Παρθενίας. χαῖρε Θεοτόκε, καὶ κιβωτὸς ἡ λογική. τῆς θείας δόξης χαῖρε τὸ καύχημα, τοῦ κόσμου τὸ κραταίωμα, τῶν πεπτωκότων ἀνάκλησις, ἡ Κιθάρα τοῦ Πνεύματος, ἡ ἁγία καὶ πάγκαλλος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρούμενον βλέπουσα, καὶ τὴν πλευρὰν ἐκκεντούμενον, ὑπὸ λόγχης ἡ Πάναγνος, Χριστὸν τὸν φιλάνθρωπον, ἔκλαιε βοῶσα· τί τοῦτο Υἱέ μου; τί σοι ἀχάριστος λαός, ἀνταποδίδει, ἀνθ' ὧν πεποίηκας, καλῶν αὐτοῖς καὶ σπεύδεις με, ἀτεκνωθῆναι παμφίλτατε; καταπλήττομαι Εὔσπλαγχνε, σὴν ἑκούσιον Σταύρωσιν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. ὁ Κανὼν τῆς Ὀκτωήχου εἷς, καὶ τοῦ Ἁγίου, δύω.

Ὠδὴ α΄. Ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Παθῶν ἀμαυρότητι, δεδουλωμένον, φαιδραῖς ἱκεσίαις σου, μάρτυς Ἐλευθέριε, νοῦν ἐλευθέρωσον, ὅπως ὡς δοῦλόν σε Χριστοῦ, θείαις ὑμνήσω ᾠδαῖς.

Ἀθλήσεως ἔλαμψας, καθαρωτάταις, αὐγαῖς ἱερώτατε, ἐπιχρώσας αἵματι, τὴν ἱεράν σου στολήν, καὶ γέγονας φωτοειδής, διὰ τοῦ Πνεύματος.

Θεῷ προσκολλώμενος, καθαρωτάτῳ, νοῒ ἐκ νεότητος, σαρκικοῦ φρονήματος, ψυχὴν ἐμάκρυνας, καὶ τῶν θαυμάτων δαψιλῆ, χάριν ἐπλούτησας.

Ὡς θρόνος πυρίμορφος, τὸν Κτίστην φέρεις, ὡς ἔμψυχος Θάλαμος, καὶ τερπνὸν Παλάτιον, τὸν Βασιλέα χωρεῖς, γενάμενον ὅπερ ἡμεῖς, Θεοχαρίτωτε.

Ἕτερος Κανών. οὗ ἡ ἀκροστιχίς.
Θεῖον Ἐλευθέριον ἱερῆα τιμάω Πάτερ.

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Θρόνῳ τῆς δόξης Κυρίου παρεστηκώς, σὺν Ἀγγέλων τάγμασιν, Ἐλευθέριε σοφέ, τοὺς ὑμνοῦντας πόθῳ σε ἀεί, ἐλευθέρωσον παθῶν, ταῖς ἱκεσίαις σου.

Ἐκλελεγμένος ἐκ βρέφους σὺ τῷ Θεῷ, ἀρετῆς ἔνδοξε, ὥσπερ πάλαι Σαμουήλ, καὶ τῷ θείῳ Πνεύματι χρισθείς, ὡς σοφὸς Ἀρχιερεύς, λαὸν ἐποίμανας.

Ἱερουρ-

Digitized by Google

Ἱερουργὸς μυστηρίων τῶν τοῦ Χριστοῦ, γεγονὼς ἐλάμπρυνας, τὴν στολὴν τὴν ἱεράν, μαρτυρίου αἵματι σοφέ, ἐν σταδίῳ καρτερῶς, ἀγωνισάμενος. Θεοτοκίον.

Ὁ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, Θεὸς Λόγος πάναγνε, ἐξ ἀπορρήτου σου γαστρός, ὑπὲρ νοῦν σεσάρκωται διό, Θεοτόκον οἱ πιστοί, ἀεὶ δοξάζομεν.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Ὑπὲρ Χριστοῦ παθεῖν ἑλόμενος, ἀλγεινὰ προσφέρει τοῦ σώματος, ἐνηδυνόμενος σοφέ, ταῖς ὀδύναις καὶ θλίψεσι. διὰ τοῦτο τὴν ἀνώδυνον, ζωὴν νῦν ἀπείληφας.

Θερμῷ τῷ πόθῳ τοῦ ποιήσαντος, ἀθλητὰ θεόφρον κρατυνόμενος, τῷ πυρωθέντι σεαυτόν, ἐπιρρίπτεις τεχνάσματι, δροσιζόμενος τοῦ Πνεύματος, πυρὶ Ἐλευθέριε.

Ἐν ἱερεῦσιν ἱερώτατος, καὶ ἐν Μάρτυσι Μάρτυς στερρότατος, ἀναδειχθεὶς στέφος διπλοῦν, ἐκομίσω μακάριε, τῷ προσώπῳ τοῦ Θεοῦ, διὰ παντὸς ὀπτανόμενος.

Θεοτοκίον.

Ῥάβδον δυνάμεως ἐβλάστησας, τὸν Χριστὸν ἐν ᾧ στηριζόμεθα. σὲ γὰρ ἐτύπου Ἀαρών, Ῥάβδος ποτὲ βλαστήσασα, ἀγεώργητε ἁγνή, Πανάχραντε ἀειπάρθενε.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Νόος στερρότητι σοφέ, ὁπλισάμενος χαίρων, τὴν ὁδὸν διανύεις, τοῦ μαρτυρίου σεαυτὸν, ἐθελουσίως προδοὺς, τοῖς ζητοῦσι, Μάρτυς ἱερώτατε.

Ἐκ τοῦ Θεοῦ Πνεῦμα λαβών, τῆς σοφίας τὸν πλοῦτον, μιμητὴς ἀνεδείχθης, τῶν Ἀποστόλων σοφέ, σαγήνῃ μαρτυρικῇ, σαγηνεύων, λαοὺς πρὸς εὐσέβειαν.

Λαμπρύνας θείαις ἀρεταῖς, τὴν ἀρχιερωσύνην, λαμπροτέραν εἰργάσω, τῇ πορφυρίδι τῶν σῶν, αἱμάτων καρτερικῶς, ἐναθλήσας, μάρτυς Ἐλευθέριε. Σταυρ.

Ἐκπλήττει νοῦν καὶ ἀκοήν, τὸ μυστήριον ὄντως, τῆς λοχείας σου Κόρη. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρί, καὶ τεκοῦσα, μένεις ἀειπάρθενος. Ὁ Εἱρμός.

„Οὐκ ἔστιν Ἅγιος ὡς σύ, Κύριε ὁ Θεός „μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν „σου ἀγαθέ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ Πέ„τρᾳ, τῆς ὁμολογίας σου.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἐλεύθερον τὸν νοῦν, ἐκ παθῶν κεκτημένος, ἐγένου τοῦ Θεοῦ, γνησιώτατος δοῦλος, καὶ πλάνης ἠλευθέρωσας, τοὺς καλῶς σοι πεισθήσαντας. ἐναθλήσας δέ, ὡς Ἱερεύς τε καὶ Μάρτυς, Ἐλευθέριε, διπλοῦν ἐδέξω τὸ στέφος, πρεσβεύων σωθῆναι ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἄσπιλος Ἀμνάς, τὸν Ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον γυμνόν, ἐπὶ ξύλου ὁρῶσα, θρηνοῦσα ἐφθέγγετο, μητρικῶς ὀλολύζουσα, πῶς ὑμνήσω σου, τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, καὶ τὰ ἑκούσια πάθη, Θεὲ ὑπεράγαθε;

Ὠδὴ δ'. Ἐν Πνεύματι προβλέπων.

Οὐ χάσματα λεόντων, οὐ βράσματα πυρός, οὐ δεινῶν ἐπιτάσεις, τὸ εὔτονον τῆς σῆς, ἱερομύστα ἐχαύνωσε καρτερίας, ἀλλ' ὡς ἀδάμας ταῖς βασάνοις ἐνετρύφας, ζήλῳ θεϊκῷ πυρπολούμενος.

Ναμάτων ζωηρρύτων, τὸ στόμα σου πλῆθον, Ποταμοὺς ἤρξατο, ἐνθέων διδαχῶν, ἱερομάρτυς βυθίζοντας ἀνομούντων, ἐρεσχελίας καὶ ἀρδεύοντας καρδίας, τῶν ἐπεγνωκότων Χριστὸν τὸν Θεόν.

Μεγάλως σε δοξάζων, ὁ σὸς δημιουργός, ὑπὲρ οὗ προῄρησο, τὸ πάσχειν ἀθλητά, Περιστερὰν σοι ἐκπέμπει κομιζομένην, τροφὴν Ἀγγέλων Ἰσαγγέλῳ γεγονότι, ἄθλων φανοτάταις λαμπρότησιν.

Θεοτοκίον.

Ἐξέστησαν ὁρῶσαι, Ἀγγέλων στρατιαί, πῶς ὁ ἀθεώρητος, μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σοῦ ὡράθη Παρθένε θεοκυῆτορ. ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι, πάντας τοὺς πιστῶς σε δοξάζοντας.



Digitized by Google

Ἄλλος. Χριστός μου δύναμις.

Ὑπῆρξε πρότερον, καταυχώμενος, ὁ πανώλεθρος δράκων ἀλλ' ἀναιδής, ἤλεγκται ὁ ἄθλιος, τοῦ Ἱεράρχου τοῖς ποσίν, ἐν σταδίῳ συμπατούμενος.

Θωρακισάμενος, Σταυροῦ τὴν δύναμιν, ἱερώτατε Μάρτυς ὡς νικητής, ἄριστος εἰσέδραμες, ἐν πυριφλέκτῳ κραββάτῳ, ὡς ἐν δρόσῳ ἀγαλλόμενος.

Ἐπὶ τοῦ σκάμματος, ἑστὼς διήλεγξας, τοῦ Τυράννου τὸ θράσος εἰδωλικόν, Μάρτυς προπωσάμενος, Ἱερομάρτυς ἀθλητά, ἀνδρεικῶς ἀγωνιζόμενος. Θεοτοκίον.

Ῥημάτων ἄκουσον, ἐμῆς δεήσεως, Παναγία Παρθένε. σὺ γὰρ ἐλπίς, πάντων καὶ βοήθεια, τῶν ἐν ποικίλοις πειρασμοῖς, ἐκτενῶς προσκαλουμένων σε.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Δολίαις μηχανώμενος, συλᾶν σε λαλιαῖς, Μάρτυς ὁ ἐχθρὸς ὁ παμπόνηρος, γέλως ὁρᾶται τῇ σοφίᾳ σου, ὁ σοφιστὴς κακίας, κατασεσοφισμένος.

Ἐν ἅρματι αἰρόμενος, τῶν θείων ἀρετῶν ἔνδοξε τὸ ὕψος ἐπέφθασας, τοῦ Μαρτυρίου καὶ κατέῤῥαξας, τῶν πονηρῶν δαιμόνων, τὸ ἐπηρμένον θράσος.

Ἰδεῖν τὴν ὡραιότητα, ποθῶν τοῦ Ἰησοῦ, ὅθεν σαυτὸν καθωραΐσας, τοῖς μαρτυρίου ὡραιότησι, καὶ πρὸς αὐτὸν μετέβης, στεφθεὶς λαμπρῷ στεφάνῳ. Θεοτοκίον.

Ξενίζει πᾶσαν ἔννοιαν, τὸ θαῦμά σου ἁγνή. τίκτεις γὰρ Θεὸν μετὰ σώματος, καὶ τὸν τροφέα τρέφεις γάλακτι, πέραν ἀνδρὸς μὴ γνοῦσα, αὐτὸς ὡς οἶδε μόνος.

Ἄλλος. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ἰδὼν τὸ εὔτονον ὁ Χριστός, καὶ ἀκαταγώνιστον ὄντως, τῆς καρτερίας σου πάνσοφε, σοὶ ὡς τῷ Προφήτῃ τροφὴν οὐράνιον, ἐκπέμπει δι' ὀρνέου, σὲ ἐπισχύουσαν.

Οὐδειλιάσασα ἡ σεμνή, καὶ ἱερωτάτη σου μήτηρ, τὴν τῶν Τυράννων ὠμότητα, σοῦ περιχυθεῖσα Μάρτυς τοῖς μέλεσι, τῷ ξίφει τελειοῦται, ὡς συναθλοῦσά σοι.

Νικήσας πᾶσαν τοῦ δυσμενοῦς, τὴν κεκινημένην κατὰ σοῦ, Μάρτυς παράταξιν ἔφραξας, στόματα λεόντων εἰς ἡμερότητα, αὐτῶν μεταποιήσας, τὴν ἀγριότητα.

Θεοτοκίον.

Τὴν ὄντως Μητέρα σε τοῦ Θεοῦ, πάντες οἱ πιστοὶ θεοπρεπῶς, ὁμολογοῦντες Θεόνυμφε, λύσιν τῶν πταισμάτων καθικετεύομεν, παράσχου λαῷ σου, μόνη Πανύμνητε.

Ὠδὴ ς΄. Τὸν Προφήτην Ἰωνᾶν.

Ὁ ἐπίσημος κριός, τῶν θρεμμάτων τοῦ Χριστοῦ, ὁ Ποιμὴν ὁ λογικός, τῶν ἀγώνων ἡ τρυφή, δοξάζεται, Θεὸν δοξάσας, οἰκείοις μέλεσιν.

Νευρωθεὶς ταῖς πρὸς Θεόν, ἀναβάσεσι σοφέ, ἐξεμάρανας ἐχθρόν, πολυμήχανον στεῤῥῶς, ἀοίδιμε, μαρτύρων κλέος, ἱερωσύνης Κανών.

Πρὸς αἰκίσεις καρτερῶν, πρὸς τὸ πῦρ αὐτομολῶν, κατεκοίμισας θηρῶν, τῶν ἀγρίων τὰς ὁρμάς, ἀκοίμητον, τὴν πρὸς τὸν Κτίστην, ἔχων διάθεσιν. Θεοτοκίον.

Ἁγιάσματος Σκηνή, δεδειγμένη Μαριάμ, μιανθεῖσαν ἡδοναῖς, τὴν ἀθλίαν μου ψυχήν, ἁγίασον, καὶ θείας δόξης, μέτοχον ποίησον.

Ἄλλος. Τοῦ βίου τὴν Θάλασσαν.

Ἐδείχθης παράδεισος, καὶ στεῤῥὸς ἀγωνιστής, Ἱερομάρτυς ἔνδοξε, οὐ δειλιῶν βασάνων τὰς προσβολάς, τὸ πῦρ δὲ ὑπεῖξέ σοι, καὶ σιδήρου ὀξύτης νῶτα δέδωκεν.

Ῥοαῖς τῶν αἱμάτων σου, Ἐλευθέριε σοφέ, εἰδωλικὴν κατέκλυσας, δεισιδαίμονα πλάνην τῶν διωκτῶν, τὴν νίκην ἀράμενος, κατὰ τοῦ ἀρχεκάκου πολεμήτορος.

Ἡ γῆ μὲν τοῖς αἵμασιν, ἐφοινίσσετο τοῖς σοῖς, ὁ δὲ ἀὴρ ἡγίασται, τῷ καθαρῷ σου πνεύματι ἀληθῶς, πρὸς λῆξιν οὐράνιον, ἀνιόντι, παμμάκαρ Ἐλευθέριε.

Θεοτοκίον.

Ἡ πάναγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινόν, κατάπαυσον τάραχον, καὶ γαλήνην, παράσχου τῇ καρδίᾳ μου. Ὁ Εἱρμός.

„Τοῦ βίου τὴν Θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι,

„ τῷ

Digitized by Google

„ τῷ ἀϊδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι
„ ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πο-
„ λυέλεε.

Κοντάκιον. Ἦχος β΄.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους.

Ὡς καλλονὴν τῶν ἱερέων Ὅσιε, καὶ προστροπὴν τῶν ἀθλοφόρων ἅπαντες, εὐφημοῦμεν καὶ αἰτοῦμέν σε, Ἱερομάρτυς Ἐλευθέριε, τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας, κινδύνων πολυτρόπων ἐλευθέρωσον, πρεσβεύων ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Ἔπιδε Εὔσπλαγχνε ζωοδότα, ὡς Φιλάνθρωπος μόνος καὶ οἰκτίρμων Θεὸς, τὴν τῆς ψυχῆς μου σκοτόμαιναν, καὶ πανσθενεῖ δεξιᾷ σου Λόγε, τῶν παθῶν ἐλευθέρωσον τῆς αἰσχύνης, ὅπως τὸν σὸν Ἱεράρχην ὑμνήσω Ἐλευθέριον. αὐτὸς γὰρ ὄντως ἐκ μήτρας ἐγνωρίσθη σοι, καὶ καθηγίασται, καὶ ἀνετέθη σοι ὡς Σαμουὴλ, ἀπὸ μητρὸς ἱερᾶς σοὶ τῷ Κτίσαντι, Πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ ΙΕ΄. Ἄθλησις τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου.

Στιχ. Ἐλευθέριος ὡς ἀδούλωτος φύσει,
Σπάθας θεωρῶν, οὐκ ἐδουλοῦτο πλάνῃ.

Θεῖον Ἐλευθέριον δεκάτῃ πέφνε φάσγανα πέμπτῃ.

Οὗτος ἦν ἐκ Πόλεως Ῥώμης, πάνυ νέος τὴν ἡλικίαν, ἐκ Πατρὸς ὀρφανὸς, μητέρα δὲ μόνην ἔχων, ᾗ ὄνομα Ἀνθία, τὴν εἰς Χριστὸν πίστιν ὑπὸ τοῦ Ἁγίου Παύλου τοῦ Ἀποστόλου κατηχηθεῖσα. Προσήχθη δὲ ὑπ' αὐτῆς τῷ Ἐπισκόπῳ Ἀνικήτῳ ὁ Ἅγιος Ἐλευθέριος, καὶ παρ' αὐτοῦ τὰ ἱερὰ γράμματα μανθάνει, καὶ τῷ τῶν κληρικῶν καταλέγεται τάγματι. Τῷ δὲ πεντεκαιδεκάτῳ τῆς ἡλικίας αὐτοῦ χρόνῳ, χειροτονεῖται Διάκονος. τῷ ὀκτὼ καὶ δεκάτῳ, Πρεσβύτερος, εἰς δὲ τὸν εἰκοστὸν ἐλάσας ἐνιαυτὸν, Ἐπίσκοπος προχειρίζεται τοῦ Ἰλλυρικοῦ, πολλὰ πρότερον διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον κατεργασάμενος θαύματα. Ἐπεὶ δὲ διδάσκων πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπέστρεφε πίστιν, μεταπέμπεται τοῦτον Ἀδριανὸς ὁ Βασιλεύς. καὶ τὸν Χριστὸν ἐνώπιον αὐτοῦ Θεὸν τῶν ὅλων ἀνακηρύξαντα, προστάσσει τεθῆναι αὐτὸν ἐπὶ κραββάτου χαλκοῦ, καὶ σώρευμα πυρὸς ὑποστρωθῆναι κάτωθεν. Εἶτα ἐν ἐσχάρᾳ δαψιλῶς ἐκκαυθείσῃ τεθῆναι, καὶ αὖθις ἐν τηγάνῳ ἐκπυρωθέντι, πλήρει ἐλαίου καὶ στέατος καὶ πίσσης. τῇ δὲ Χριστοῦ χάριτι καὶ δυνάμει ἐκ πάντων φυλάττεται ἀβλαβής. Εἶτα κατασκευάζεται κλίβανος τῇ συμβουλῇ τοῦ Ἐπάρχου Κορέμμονος, ἔχων ἑκατέρωθεν ὀβελίσκους ὀξεῖς. Ἐν ᾧ πρῶτος αὐτὸς ὁ Κορέμμων Πνεύματος Ἁγίου πλησθεὶς, καὶ τὸν Χριστὸν Θεὸν εἶναι ὁμολογήσας εἰσέρχεται. Ἐξ οὗ ἀβλαβὴς ἐξελθὼν, τὴν κεφαλὴν ἀποτέμνεται. Ὁ δὲ Ἅγιος Ἐλευθέριος ἐβλήθη ἐν τῷ τηγάνῳ, καὶ σβεσθείσης τῆς φλογὸς, ἐξῆλθε σῶος. Εἶτα φρουρεῖται, καὶ δεσμεῖται ἐν ἅρματι, ὑπὸ πώλων ἀγρίων ἑλκόμενος, καὶ ὑπὸ Ἀγγέλων λυθεὶς, εἰς ὄρος ὑψηλὸν καθίσταται, ἔνθα λοιπὸν μετὰ τῶν ἀγρίων ζώων συνδιαιτώμενος, ἃ καὶ ἐξημεροῦντο, τὰ τοῦ Θεοῦ λόγια διεξιόντος αὐτοῦ. Εἶτα τοὺς εἰς τὴν σύλληψιν αὐτοῦ σταλέντας στρατιώτας μαθητεύσας, βαπτίζει. μεθ' ὧν καὶ ἑτέρους ὡσεὶ πεντακοσίους πιστεύσαντας τῷ Χριστῷ. ἀχθεὶς δὲ πρὸς τὸν Βασιλέα, καὶ θηρίοις εἰς βορὰν βληθεὶς, καὶ σῶος διαφυλαχθεὶς, ὑπὸ δύω στρατιωτῶν ἀναιρεῖται, προστάξει τοῦ Ἡγεμόνος, συμπεσόντων αὐτῷ. Ἡ δὲ μήτηρ αὐτοῦ Ἀνθία, περιπλακεῖσα τῷ τοῦ ἁγίου νεκρῷ, καὶ ἀσπαζομένη, ξίφει καὶ αὐτὴ ἐξαναιρεῖται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρίῳ αὐτοῦ, πλησίον τοῦ Ξηρολόφου.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Ἀνθία, ἡ μήτηρ τοῦ Ἁγίου Ἐλευθερίου, περιχυθεῖσα τῷ τοῦ υἱοῦ νεκρῷ, ξίφει τελειοῦται.

Στ. Δίδωσι μήτηρ νεκρικὸν κόσμον τέκνῳ,
Αὐτὴν ἑαυτὴν συγκεκομμένην σπάθαις.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Κορέμμων, ὁ Ἔπαρχος, πιστεύσας τῷ Χριστῷ καὶ Βαπτισθεὶς, ξίφει τελειοῦται.

Στ. Ἀθλήσεως οὐκ εἶχε Κορέμμων κόρον,
Ἕως ἐτμήθη τὸν αὐχένα τῷ ξίφει.



Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ δύω Δήμιοι οἱ πιςεύσαντες τῷ Χριςῷ, ξίφει τελειοῦνται.

Στ. Θεὸν σε γνόντας δημίους δύω Σῶτερ,
Ἄλλοι κατακτείνουσι δήμιοι ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἄθλησις τῆς Ἁγίας μάρτυρος Σωσάννης.

Αὕτη ἦν ἐπὶ τῆς Βασιλείας Μαξιμιανοῦ ἐκ Παλαιςίνης, ἐκ πατρὸς Ἕλληνος, μητρὸς δὲ Ἰουδαίας. Ὧν ἀμφοτέρων φυγοῦσα τὴν ἀσέβειαν, προσέδραμε τῷ Χριςῷ, καὶ τοῦ θείου Βαπτίσματος μετέχειν ὑπὸ Σιλβανοῦ τοῦ Ἐπισκόπου. Τῶν οὖν γεννητόρων αὐτῆς, τέλει χρησαμένων τοῦ βίου, διαδοῦσα πάντα τὰ ὑπάρχοντα αὐτῆς πένησι, καὶ τοῦ τῆς δουλείας ζυγοῦ τοὺς παῖδας καὶ τὰς παιδίσκας ἐλευθερώσασα, καὶ ἀνδρῴαν περιθεμένη ςολὴν, σεμνείῳ τινὶ προσφοιτᾷ, καὶ τὴν κόμην κειραμένη, Ἰωάννης μετονομάζεται. Εἰκοσὸν δὲ χρόνον ἐκεῖσε διαπεράσασα, συκοφαντίαν ὑφίςαται. Ἀσκητρίας γάρ τινος εἰσελθούσης ἐν τῷ Μοναςηρίῳ, καὶ λογισαμένης ἄνδρα εἶναι αὐτὴν, καὶ πρὸς ἀσέλγειαν ἐκκαλουμένης, ἐπεὶ ταύτην ἀπώσατο, διαβάλλεται παρ' αὐτῆς, ὡς ἐπιχειρήσασα ταύτην βιάσασθαι. Ἡ δὲ τὴν συκοφαντίαν καταδέχεται, καὶ μετάνοιαν αἰτεῖ, ἐφ' οἷς δῆθεν ἐκλήθη. Τοῦ δὲ Ἐλευθερουπόλεως Ἐπισκόπου μαθόντος περὶ τούτου, καὶ παραγενομένου ἐν τῷ Μοναςηρίῳ, καὶ τὸν Ἡγούμενον ἐπιπλήττοντος, ἆραι ἀπ' αὐτῆς τὸ σχῆμα ὁ Ἡγούμενος ἐβουλήθη. Εἰς ἀνάγκην δὲ καταςᾶσα ἡ μακαρία, ᾐτήσατο δύω Παρθένους εἰσελθεῖν, καὶ δύω διακόνους γυναῖκας, μεθ' ὧν κατὰ μόνας ἐλθοῦσα, πράγματι πεπληροφόρηκε τὰ καθ' ἑαυτήν. Τούτου δὲ γνωσθέντος, θάμβει ληφθεὶς ὁ Ἐπίσκοπος, κεχειροτόνηκεν αὐτὴν Διάκονον. καὶ τῶν λοιπῶν ἡγεῖσθαι προσέταξε. Πολλὰ δὲ κατεργασαμένη θαύματα ἐν τῷ ὀνόματι τοῦ Χριςοῦ, ἐπιδημήσαντος Ἀλεξάνδρου τοῦ Ἡγεμόνος ἐν Ἐλευθερουπόλει, καὶ θυσίαν τοῖς εἰδώλοις προσάγοντος, αὐτόκλητος αὕτη προσελθοῦσα, προσευχῇ μόνῃ εἰς γῆν τὰ ξόανα καταςπᾷ. Ὅθεν διαβληθεῖσα παρίςαται τῷ Ἡγεμόνι, καὶ τοὺς μαςοὺς ἐκτέμνεται. Ὧν γενομένων αὖθις σφῶν, οἱ τούτους ἐκτεμόντες δήμιοι ἐπίςευσαν τῷ Χριςῷ, καὶ τὰς κεφαλὰς ἀπετμήθησαν. Ἡ δὲ μακαρία Σωσάννα, μόλιβδον πυρὶ λυθέντα, διὰ χώνης ἐν τῷ ςόματι τεθείσης, τοῖς ἐγκάτοις ἐπιχέεται. καὶ ἀβλαβὴς διαφυλαχθεῖσα, μαςίζεται. καὶ εἰς πῦρ ἐμβληθεῖσα, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἐλευθερίου τοῦ Κουβικουλαρίου.

Στ. Ἐλευθέριος ἐλευθερωθεὶς Κόσμου.
Ὑπερκόσμιον εὗρεν ἐλευθερίαν.

Οὗτος τὸ Βυζάντιον ἔσχε Πατρίδα, ὀρθοδοξίᾳ διαλάμπων. Ἐν γοῦν ταῖς τῶν Βασιλείων αὐλαῖς παιδιόθεν ἀνατραφεὶς, κἀκεῖθεν καὶ τὰς πρώτας εἴληφε τιμὰς, πλούτῳ καὶ δόξῃ πάντας τοὺς κατ' ἐκεῖνο καιροῦ ὑπερβάλλων. Ἀλλ' ἔρωτι θείῳ τῶν ἀφθάρτων καὶ αἰωνίων ληφθεὶς, καὶ πάντα τὰ γήϊνα ὡς οὐδὲν λογισάμενος, αὐλαῖς Κυρίου παραῤῥίπτεσθαι καὶ προσμένειν, ἢ σκηνώμασιν ἁμαρτωλῶν εἵλετο. Πρὸς τὸν Θεὸν οὖν τὸ ὄμμα τοῦ νοὸς συντείνας, ἦν ἐν ὕμνοις σχολάζων ὁσημέραι, καὶ πᾶσαν ἀρετὴν μετερχόμενος. Ταῦτα δὲ ὁ τῶν ἡμετέρων ψυχῶν φθορεὺς οὐχ ὑπέφερεν, ἀλλ' ὀργάνῳ χρησάμενος τῷ δούλῳ τοῦ μακαρίου, ὑποβάλλει προσελθὼν τῷ Βασιλεῖ κατὰ τοῦ ἰδίου δεσπότου. Τὸ γοῦν δοῦλον ὥς φησί που τὶς σοφὸς, ἐχθρὸν τοῖς δεσπόταις. Οὗτος πρόσεισι τῷ Βασιλεῖ λέγων, ὅπως τε τῷ θείῳ προσηλθε λουτρῷ, καὶ ναὸν ἐδείματο, καὶ τῷ Ἐςαυρωμένῳ προσανέχων, τοὺς βασιλικοὺς βδελύττεται θεσμοὺς καὶ τύπους, προσθέμενος, ὅτι καὶ κρυπτὸν οἴκημα ὑπὸ γῆν κεκτημένος, πανύχους λατρείας τῷ τῶν Χριςιανῶν προσάγει Θεῷ, μηςείᾳ καὶ κλαυθμῷ καὶ χαμευνίᾳ τὸ σῶμα κατατρύχων. Τοιαῦτα κατὰ τοῦ ἰδίου δεσπότου τοῦ δούλου διηγησαμένου, ὁ Βασιλεὺς εἰς θυμὸν ἀναφθεὶς, τὸν Ἅγιον μετεκαλέσατο. Ὧ καὶ παραςὰντι, εἰρωνικὰς τὰς πεύσεις, καὶ δοκοῦσας σαίνειν προσάγει, οὕτως εἰπών. Πῶς ἡμᾶς ἀφεὶς

ἀφεὶς Ἐλευθέριε, τὸν τοσοῦτον χρόνον ἀπεδήμησας τοῦ ἡμετέρου πόθου, καταφρονήσας τῶν Βασιλείων αὐλῶν, καὶ τῆς πρὸς σὲ μου γνησίας διαθέσεως καὶ μεγίστης; καὶ ὁ μέγας· ταῖς ἀλλεπαλλήλοις νόσοις ὦ Βασιλεῦ τὸ σῶμα φέρων τετρυχωμένον, ἀκράτοις αὔραις ἐνδιατρίψας πρὸς ἀνάκτησιν ᾑρετισάμην. Καὶ ὁ Βασιλεύς. Τί δῆτα καὶ μόνος τῆς εὐσεβείας ἀπολαύων, τῶν ἐξ αὐτῆς ἀγαθῶν κατατρυφᾷς, ἡμεῖς δὲ οὐ συντρυφήσωμεν συνελθόντες; Μηδ᾽ ὅλως τοῦ μακαρίου πρὸς ταῦτα καταμειάσαντος, εὐθὺς πρὸς ἑσπέραν τὸν Σαγγάριν διαβὰς, (Ποταμὸς δὲ οὗτος, ἐν οἷς ὁ μακάριος τὰς οἰκήσεις εἶχεν,) ἀφίκετο. Καὶ σκοπήσας τὴν κρυπτὴν θύραν, ὁρᾷ ὡς ἐν φρέατος εἴδει χάσμα φανέν. ἐν ᾧ καὶ κατελθὼν, καὶ ναὸν ὡραϊσμένον εὑρὼν, καὶ συνταραχθεὶς τῇ ὁράσει, τὴν ἀπειλὴν ἀφεὶς, κολακεύειν ἤρξατο ῥήμασι θωπευτικοῖς, πειρώμενος ἐκλύειν τοῦ μακαρίου τὸ εὔτονον. Ἀλλ᾽ ἐπειδὴ ἀέρα δέρων, καταπεῖσαι τοῖς αὐτοῦ λόγοις οὐκ εἶχε τὸν Ἅγιον, ξίφει τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι κελεύει, καὶ τὸ τίμιον αὐτοῦ σῶμα, κυσὶ καὶ ὀρνέοις βορὰν ἀπορριφῆναι. Καὶ τοῦ μακαρίου οὕτω παραθεμένου τὴν ψυχὴν τῷ Θεῷ, καὶ τοῦ τιμίου αὐτοῦ σώματος ἠμελημένου κειμένου, τὶς τῶν εὐλαβῶν Χριστιανῶν καὶ Θεῷ φίλων ἀνελόμενος, τῷ τῆς ἱερωσύνης χαρίσματι κεκοσμημένος, μύρῳ εὐωδιάσας τοῦτο, ἀξίως ἐν ἐπισήμῳ τόπῳ κατέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βάκχου τοῦ νέου.

Στίχ. Μὴ δεύτερόν τις, μηδὲ Βάκχον τὸν νέον,
Ἐν τοῖς ἀθληταῖς ταττέτω διὰ ξίφος.

Οὗτος ὥρμητο ἐκ Παλαιστίνης, ἐν τοῖς χρόνοις Εἰρήνης καὶ Κωνσταντίνου τῶν εὐσεβῶν Βασιλέων Ῥωμαίων. Ἦν δὲ ὁ τούτου πατὴρ, Χριστιανὸς ἐκ προγόνων, Χριστιανικωτάτῃ συζῶν γυναικί. Τῇ ματαίᾳ δὲ δόξῃ τοῦ Κόσμου τούτου καὶ τῇ ἀπάτῃ δελεασθεὶς, τὴν ἀληθῆ καὶ πατροπαράδοτον πίστιν ἐξομοσάμενος, τῇ μιαρᾷ τῶν Ἀγαρηνῶν θρησκείᾳ ἐλεεινῶς ηὐτομόλησεν. Ἐγένοντο τοίνυν τούτῳ παῖδες ἑπτά· οὓς ἐπὶ τῇ ὁμοίᾳ πλάνῃ ἀνέθρεψε. Τούτου δὲ τὴν ζωὴν ἐν τῇ ἀσεβείᾳ καταστρέψαντος, οἱ ἑπτὰ παῖδες ἅμα τῇ μητρὶ κατελείφθησαν. Ὧν ὁ τρίτος κατὰ τὴν τῆς γεννήσεως τάξιν Δαχὰκ ὀνομαζόμενος, (ὅπερ ἑρμηνεύεται ἑλληνιστὶ Γελάσιος,) ἄζυγα ἑαυτὸν ἐτήρει. ἀλλὰ καὶ πρὸ τῆς πατρὸς τελευτῆς, τὰ Χριστιανῶν ἑλέσθαι ἐβούλετο, ὅπερ ἀποθανόντος αὐτοῦ κατεπράξατο. Ἀναθέμενος γὰρ τῇ Μητρὶ τὰ περὶ τούτου, καὶ παρορμῶσαν αὐτὴν ἐπὶ τούτῳ καὶ διεγείρουσαν οἷα πιστὴν ἀρνηκὼς, ἀπῆρε τῆς ἐνεγκαμένης. καὶ τὰ Ἱεροσόλυμα καταλαβὼν, ἐκεῖθεν τε παρὰ Μοναχοῦ τινὸς ὁδηγηθεὶς, ἦλθεν εἰς τὴν Λαύραν τοῦ Ἁγίου Σάββα, ἔνθα τοῦ θείου Βαπτίσματος καταξιοῦται. Εἶτα δεηθεὶς, τὸ τῶν Μοναχῶν περιβάλλεται σχῆμα. ἐν ᾧ καλῶς πολιτευσάμενος, καὶ ἐγκρατείᾳ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς στομώσας ἑαυτὸν, κατὰ πρόσταξιν τοῦ Ἡγουμένου τῆς Μονῆς ἐξέρχεται, δεδοικότος μὴ φωραθείη τὰ κατ᾽ αὐτὸν τοῖς Ἀγαρηνοῖς. ἐκράτουν γὰρ οὗτοι τῆς χώρας. Κατὰ τύχην δὲ, ἢ μᾶλλον θείαν οἰκονομίαν, ἐν Ἱεροσολύμοις γενόμενος, καὶ τῇ οἰκείᾳ μητρὶ περιτυχὼν, τὰ καθ᾽ ἑαυτὸν ἐξαγγέλλει, καὶ πάνυ ἔλεγε λυπεῖσθαι περὶ τῶν ἀδελφῶν, ὅτι ἐν ἀπιστίᾳ εἰσί. Τοῦτο δὲ οἱ ἀδελφοὶ αὐτοῦ ἀκούσαντες παρὰ τῆς Μητρὸς, τῇ τοῦ Χριστοῦ πίστει προσέρχονται, ἑνὸς μόνου περιλειφθέντος ἐν τῇ ἀσεβείᾳ. Ὃς δῆλα τὰ κατὰ τὸν Ἅγιον Βάκχον, (τοῦτο γὰρ ἐκ τοῦ θείου Βαπτίσματος, ἀντὶ Δαχὰκ ὠνομάσθη,) τοῖς Ἀγαρηνοῖς ἐπεποιήκει. Οἱ δὲ ἀμεριμνησάμενοι, καὶ συλλαβόντες αὐτὸν, πρὸς τὸν Ἀμηρᾶν τῆς Ἁγίας Πόλεως ἤγαγον. Ὁ δὲ, τῷ ὀνομαζομένῳ στρατηγῷ παρ᾽ αὐτοῖς, καὶ τοῖς κριταῖς ἐκπέμπει αὐτόν. Ὧν ἐνώπιον τὸν Χριστὸν ὁμολογήσας, καὶ τὴν τῶν Ἀγαρηνῶν πίστιν ὡς ματαίαν διαβαλὼν, καὶ μυκτηρίσας, τὴν κεφαλὴν ἀποτέμνεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύ-



Digitized by Google

Παύλου τοῦ νέου, ἀσκήσαντος ἐν τοῖς χρόνοις τοῦ Πορφυρογεννήτου, ἐν τῷ ὄρει Λάτρου.

Ἰστέον, ὅτι ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος, ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐχειροτονήθη Πατριάρχης Κωνσταντινουπόλεως, ἐν ᾗ καὶ ἡ ἑορτὴ τῶν Χριστοῦ γεννῶν ἀπήρξατο ὑπ' αὐτοῦ τελεῖσθαι, ἕως τῆς εἰκοστῆς πέμπτης τοῦ Μηνός, τινῶν ἐκ τῶν Ἑσπερίων ἐλθόντων, καὶ ἀπαγγειλάντων. Διὸ καὶ λόγος ἀπολογητικὸς ἐξεφωνήθη παρ' αὐτοῦ, κάλλιστός τε καὶ ὠφελιμώτατος. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ'. Τῶν ἐν καμίνῳ παίδων σου.

Μεγαλυνέσθω ἔκραζες σοφέ, στρεβλούμενος, νῦν ἐν τῇ σαρκί μου ὁ Χριστός. οὐ δειλιῶ τὰς πυρακτώσεις τῶν λεβήτων, οὐ πτοοῦμαι θάνατον, οὐ τῶν θηρῶν τὰς ὁρμάς, διὰ τὴν πάντων ζωήν.

Μόνου Θεοῦ τὸ κάλλος ἐκζητῶ, μόνης αὐτοῦ δόξης τε τυχεῖν ἐπιποθῶ. στρεβλούσθω μου καὶ πυρακτούσθω μου πᾶν σῶμα, ἀνεβόας ἔνδοξε, ἐλευθερίαν ζητῶν, καταδουλοῦσαν Χριστῷ.

Ἀποσκοπῶν τὴν μένουσαν ζωὴν, μακάριε, Κόσμῳ ἐνεκρώθης ἀληθῶς, καὶ ὡς χρυσὸς τῶν αἰκισμῶν δοκιμασίᾳ, πυρωθεὶς ἐξέλαμψας, ἀποτεθεὶς θησαυροῖς, ἐπουρανίων μονῶν. Θεοτοκίον.

Καθαρωτάτην μόνην σε ἁγνῶν, πανάμωμε, Λόγος καθαρώτατος Θεοῦ, σοῦ ἐκ γαστρὸς ἀποτεχθεὶς, πιστοὺς καθαίρει, μολυσμοῦ Θεόνυμφε, προσγενομένου ἡμῖν, ἐξ ἀκρασίας παθῶν.

Ἄλλος. Οἱ παῖδες ἐν Βαβυλῶνι.

Τυράννων ἤλεγξας θράσος, καὶ Βασιλέων ὠμότητα. καὶ γὰρ μέσον πυρὸς ἡπλωμένος, παμμάκαρ ἀνέμελπες. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἐξέστησαν καθορῶντες, τὰ τῶν Ἀγγέλων στρατεύματα, Ἱεράρχα τὴν σὴν καρτερίαν. δι' ἧς καταβέβληκας, στεῤῥῶς ἀγωνιζόμενος, τὸν δεινὸν κοσμοκράτορα.

Μαρτύρων χοροστασίαι, ἀρχιερέων σύλλογος, καὶ Ἀγγέλων πληθύς, εὐφροσύνης πλησθέντες ἀγάλλεσθε, ἐπὶ τῇ θείᾳ μνήμῃ νῦν, τοῦ Ἱεράρχου καὶ Μάρτυρος.

Ἁγίας ῥίζης ὡς ἄνθος, ἐλευθερίας φερώνυμε, ἀπὸ θείας Μητρὸς, ἀνεβλάστησας καρπὸς ἱερώτατος. μαρτυρικοῦ δι' αἵματος, τῷ Χριστῷ προσενήνεξαι. Θτ.

Ἁγίων ἁγιωτέρα, τῶν ἐπουρανίων δυνάμεων, Χερουβὶμ ἀνεδείχθης, μητροπάρθενε Δέσποινα. Χριστὸν κυήσασα, τὸν Δεσπότην τῆς Κτίσεως.

Ὠδὴ η'. Ὃν φρίττουσιν Ἄγγελοι.

Ἀθλήσει ἠνθήσατε, φυτὰ ὡς εὐθαλῆ, βασάνοις κοσμούμενοι, μαρτύρων καλλονή. καὶ νῦν Παραδείσου ἄνθη ὤφθητε, θείαν εὐοσμίαν, ἐκπέμποντες ἐνθέως.

Ῥανίσιν αἱμάτων σου, τεχθέντος ἐξ αὐτῆς, τὸ αἷμα τὸ ἴδιον, ἡ μήτηρ προσκιρτᾷ. τῷ σῷ γὰρ λειψάνῳ, συμπλακεῖσα σεμνῶς, ξίφει τελειοῦται, καὶ ζῇ εἰς τοὺς αἰῶνας.

Ἰάσεων νάματα, θαυμάτων Ποταμοὺς, προχέει τοῖς χρήζουσιν, ἡ θήκη σου σοφὲ, ἐκπλύνοντα ῥύπον, ψυχοφθόρων παθῶν, μάρτυς ἱεράρχα, διό σε εὐφημοῦμεν. Θεοτοκίον.

Ὡς ὄμβρος ἐν μήτρᾳ σου, κατῆλθεν ὁ Χριστὸς, καὶ πᾶσαν κατήρδευσε, τὴν Κτίσιν ἀληθῶς, ξηράνας Παρθένε, θολεροὺς Ποταμοὺς, εἰδωλομανίας, ὁ μόνος εὐεργέτης.

Ἄλλος. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ὡς δεκτὸν ἱερεῖον ὁλοκαυτούμενον, τῷ πυρὶ τῶν βασάνων, Πάτερ ἀοίδιμε, θείαν ὡς ὀσμὴν, πρὸς ὕψος τὸ οὐράνιον, τὴν εὐχαριστίαν, ἀνέμελπες ἐνθέως.

Πεποιθὼς ὥσπερ λέων ἀνόμους ἤλεγξας, καὶ πολλῇ παρρησίᾳ στόματα ἔφραξας, τῶν εἰς τὸν Θεὸν, τὸν ἁπάντων καὶ Κύριον, πάλαι δυσφημούντων, ἐχθρῶν ἀθεωτάτων.

Ἀμυνῶν ἱεράρχα, πιστῶν τὸ φρόνημα, ἐταπείνωσας θράσος καὶ καταβέβληκας, τῶν εἰς τὸν Θεὸν, ἀσεβούντων κραυγάζων σὺ, σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ὁ καρπὸς τῆς κοιλίας, τῆς σῆς πανύμνητε, τὴν τοῦ ξύλου κατάραν ὑλομανήσασαν, πρόρριζον ἐξήρανε καὶ ἀνεβλάστησε, τὴν τῆς εὐφροσύνης, Παρθένε εὐλογίαν.

Ὁ Εἱρμός.

„Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς Χριστὲ μόνῳ τῷ βούλεσθαι, σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὴν ζωοδόχον πηγήν.

Στόμα Θεοῦ γεγονὼς ἐκ τοῦ στόματος, τοῦ ἀλλοτρίου λαὸν ματαιόφρονα, ἀφαρπάσας ἔδειξας, κληρονόμον χάριτος, ἐναθλήσας στερρῶς σὺν ἱερεῦσι, καὶ ἀθληταῖς κατοικεῖς Ἐλευθέριε.

Ἡ καθαρὰ μυροθήκη τοῦ Πνεύματος, τῶν ἀρετῶν τὸ τερπνὸν καταγώγιον, ὁ ἀμνὸς ὁ ἄκακος, λαμπτὴρ ὁ ἄδυτος, Ἱεραρχῶν ἡ κρηπὶς καὶ τῶν δογμάτων, ἀνευφημείσθω πιστῶς Ἐλευθέριος.

Φῶς κατοικεῖς ἀληθῶς τὸ ἀνέσπερον, φῶς χρηματίσας Ἡλίου φαιδρότερον. διὸ τοὺς τὴν μνήμην σου, τὴν φωσφόρον σήμερον, ἐπιτελοῦντας παθῶν ἀχλύος ῥῦσαι, ταῖς πρὸς Θεόν σου λιταῖς Ἐλευθέριε.

Θεοτοκίον.

Φεῖσαι ἡμῶν τῶν ὑμνούντων σου Κύριε, τὴν ἐκ Παρθένου ἀνέκφραστον γέννησιν, πειρασμῶν ῥυόμενος, καὶ παθῶν καὶ θλίψεων, ταῖς ἱκεσίαις αὐτῆς τοὺς σοὺς οἰκέτας, ὡς εὐεργέτης καὶ μόνος φιλάνθρωπος.

Ἄλλος. Θεὸν ἀνθρώποις, ἰδεῖν ἀδύνατον.

Τεμὼν μαχαίρᾳ τῶν θείων λόγων σου, τὴν κεφαλὴν τοῦ ψεύδους Ἐλευθέριε ὅσιε, τοῦ Χριστοῦ παρέσχες τὰ νικητήρια, πίστει καὶ ἀληθείᾳ. ὅθεν τιμῶμέν σε, ὡς τροπαιοφόρον οἱ πιστοί, καὶ θεῖον κήρυκα.

Ἐκ γῆς ἀπάρας σοφὲ τὸ φρόνημα, τὸ τῆς ψυχῆς πρὸς μόνην τοῦ Δεσπότου τὴν ἔφεσιν, τοῦτο νοητῶς Πάτερ ἀνύψωσας. ὅθεν σαρκὸς ἠρνήσω, πᾶσαν εὐπάθειαν, καὶ ἐγκαρτερῶν ἐν τοῖς δεσμοῖς, στερρῶς ἐνήθλησας.

Ῥοαῖς αἱμάτων, τῆς σῆς ἀθλήσεως, τὴν ἱερὰν κοσμήσας στολὴν ἱερώτατε, εἰς τὴν ἐπουράνιον σκηνὴν τοῦ Χριστοῦ, μετὰ τέλος εἰσέδυς, τοῦ μαρτυρίου σου. ἔνθα μνημόνευε καὶ ἡμῶν, τῶν εὐφημούντων σε. Θτ.

Ὑμνεῖν τὸν τρόπον, τὸν ὑπερθαύμαστον, τῆς ὑπὲρ νοῦν καὶ ξένης σου κυήσεως, Πάναγνε, ἀπορεῖ ἀνθρώπων τὰ συστήματα. πάντα γὰρ ὑπερέχει, νοῦν καὶ διάνοιαν, καὶ νοήσεις πάντων λογισμῶν, καὶ τὴν τῶν λόγων ἰσχύν. Ὁ Εἱρμός.

„Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. διὰ σοῦ δὲ Πάναγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος, ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις στρατιαῖς, σὲ μακαρίζομεν.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Χριστῷ προσήγαγες πάτερ, πιστῶν ἀγέλας ὡς ποιμήν. σοὶ δὲ ἡ οὖσα τῷ μόσχῳ δάμαλις ἡ τεκοῦσα, συναπηρέθη μεθ' ἧς σε, νῦν Ἐλευθέριε μέλπω.

Θεοτοκίον. Ὅμοιον.

Καὶ σὲ μεσίτειαν Κόρη, προβάλλομαι Παναγία, πρὸς τὸν ἐκ σοῦ γεννηθέντα, ὅπως κολάσεως πάσης, ἀπαλλαγῶ καὶ βασάνων, τῶν αἰωνίων ὁ τάλας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ ἁγνῶν σου αἱμάτων, σωματωθέντα Παρθένε, ἐν τῷ Σταυρῷ καθορῶσα, νεκρούμενον ἐνεβόας· πῶς πάσχεις ταῦτα Υἱέ μου, ὑπὲρ βροτῶν σωτηρίας;

Εἰς τὸν Στίχ. Στιχ. τῆς Ὀκτωήχου.

Δόξα. Τοῦ Ἁγίου ἰδιόμελον. Ἦχος β'.

Ὡς τῆς θείας ἐλευθερίας ἐπώνυμος, τῆς ἱερᾶς διπλοΐδος, Πάτερ κατηξιώσαι. καὶ νεανικῶς τὴν εὐσέβειαν διδάσκων, τῶν πρακτέων τοὺς λόγους, ἡμᾶς ἐξεπαίδευσας. ὅθεν τὴν μαρτυρικὴν ἔνστασιν ἐκτελέσας, ἐν ἀμφοτέροις Ἐλευθέριε, τὸ καύχημα ἐκληρώσω Χριστόν. μὴ ἐλλείπῃς πρεσβεύων, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ὡσεὶ ἐλαία κατάκαρπος, ἡ Παρθένος ἐβλάστησε, σὲ τὸν καρπὸν τῆς ζωῆς,

καρ-

Digitized by Google

καρποφορεῖν τῷ Κόσμῳ, τὸ μέγα καὶ πλούσιον ἔλεος.

Σταυροθεοτοκίον. Ἦχος ὁ αὐτός.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε ἐν σταυρῷ σε ἡ Ἀμνάς, Ἄρνα τὸν οἰκεῖον ἑώρα, λόγχῃ νυττόμενον, δάκρυσι κατέβρεχε, πικροῖς τὸ πρόσωπον. καὶ στενάζουσα ἔλεγε· βαβαὶ τῶν ἀρρήτων. Δέσποτα κριμάτων σου, πῶς ὑπ' ἀνόμων ἀνδρῶν, πάσχεις ἐπονείδιστα πάθη, θέλων τὸ χειρόγραφον ῥῆξαι, τοῦ Ἀδὰμ καὶ σῶσαι τὸ ἀνθρώπινον.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙϚ'.

### Τοῦ Ἁγίου Προφήτου Ἀγγαίου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια. Ἦχος Πλ. δ.

Οἱ Μάρτυρές σου Κύριε.

Σκήνωμα θεῖον ἔνδοξε, καὶ ναὸς ἔμψυχος γεγενημένος, βίου λαμπρότητι καὶ πολιτείᾳ, ἄψυχον ἤγειρας ναόν, τὸν πάλαι πεσόντα πανσεβάσμιε, τῷ τῆς οἰκουμένης βασιλεύοντι. διὸ ταῖς σαῖς πρεσβείαις, αἴτησαι πᾶσι δοῦναι, τὸ μέγα ἔλεος.

Σκεῦος ὤφθης τοῦ Πνεύματος, τὰς οὐρανόθεν τοι χορηγουμένας, ὑποδεχόμενον φωτοχυσίας, καὶ λαμπηδόνων δεκτικόν. ὅθεν προφητεύεις, τὴν σωτήριον, πᾶσι τοῖς ἀνθρώποις ἀπολύτρωσιν. αὐτὸν ταῖς σαῖς πρεσβείαις, αἴτησαι πᾶσι δοῦναι, τὸ μέγα ἔλεος.

Αἴγλῃ τῇ σελασφόρῳ σου, περιεχόμενος καὶ θεωρίας, κατηξιωμένος καθαρωτέρας, καὶ ἀνεσπέρου φωτισμοῦ, ἀναδεδειγμένος μάκαρ ἔμπλεως, τοὺς σὲ ἀνυμνοῦντας περιφρούρησον, αἰτούμενος τὸν μόνον, Κύριον πᾶσι δοῦναι, τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Παρθένε παναμώμητε, Θεοχαρίτωτε Κυρία μόνη, σύ μου κατὰ [illegible] ἐσκοτισμένην, νῦν τὴν καρδί[illegible] δεινοῖς, ὅπως θεωρήσω φῶς ἐν [illegible], θεῖον τοῦ Υἱοῦ σου τὸ γλυκύτατον. ὅθεν ἀνυμνῶ σε καὶ δοξάζω, τὴν ἐλπίδα μόνην, ἡμῶν καὶ καύχημα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Οὐ φέρω τέκνον βλέπειν σε, τὸν τὴν ἐγρήγορσιν πᾶσι διδοῦντα, ξύλῳ ὑπνώσαντα, ὅπως τοῖς πάλαι, ἐν παραβάσεως καρπῷ, ὕπνῳ ὀλεθρίῳ ἀφυπνώσασι, θείαν καὶ σωτήριον ἐγρήγορσιν, παράσχῃς ἡ Παρθένος, ἔλεγε θρηνῳδοῦσα, ἣν μεγαλύνομεν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Προφήτου.

Οὗ ἡ ἀκροστιχίς.

Θεοδότως ὑμνῶμεν Ἀγγαίου λόγους.

Θεοφάνους. Ὠδὴ α'. Ἦχος βαρύς.

Τῷ ἐκτινάξαντι.

Θεοειδέστατος Θεῷ, παρεστηκὼς ὡς Προφήτης ἀληθής, τῶν ὑμνούντων τὴν σεπτήν, μνήμην σου μάκαρ μνημόνευε.

Ἐπὶ κρηπῖδος ἀσφαλοῦς, τῶν ἀρετῶν σεαυτὸν οἰκοδομῶν, ἀνατέθεικας ναόν, ἔμψυχον θεομακάριστε.

Ὁ καθαρώτατός σου νοῦς, ἀεὶ Θεὸν καθορῶν ὡς ἐφικτόν, τὰς ἐκεῖθεν τηλαυγῶς, χάριτας μάκαρ ἀπέστιλβεν. Θεοτ.

Σὲ τὸν ἀμήτορα τὸ πρίν, Λόγον Θεοῦ ἡ Παρθένος, ἐν γαστρὶ συλλαβοῦσα, σαρκικῶς τέτοκεν Υἱὸν ἀπάτορα.

Ὠδὴ γ'. Ἐστερεώθη τῇ πίστει.

Δυνάμει θείᾳ δαιμόνων, δεινῆς αἰχμαλωσίας, ἡμᾶς λυθέντας, ναοὺς σοὺς σεπτοὺς Σῶτερ δεικνύεις, ἅγιος εἶ κράζοντας, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πληρῶν τὴν Οἰκουμένην, ἁγιωσύνης Προφῆτα ναόν σε δεικνύει, ἅγιος εἶ κράζοντα, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Τὸ θεῖον Πνεῦμα τὸ πᾶσι, τὴν χάριν διανέμον, τὴν σὴν καρδίαν, οἰκῆσαν βοᾶν σε ἐκδιδάσκει. ἅγιος εἶ Κύριε, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ὁ λόγῳ πᾶσαν τὴν κτίσιν, σοφῶς δημιουργήσας, δημιουργεῖται, ἐκ σοῦ καθ' ἡμᾶς Θεομήτορ, ἄνθρωπος γενόμενος, δι' οἶκτον ὁ Φιλάνθρωπος.

Ὁ

Digitized by Google

Ὁ Εἱρμός.

„ Ἐστερεώθη τῇ πίστει, Χριστοῦ ἡ Ἐκκλη-
„ σία. καὶ γὰρ ἀπαύστως. ἐν ὕμνοις βοᾷ
„ μελῳδοῦσα, ἅγιος εἶ Κύριε, ὁ σώζων τὰς
„ ψυχὰς ἡμῶν.

Κα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁ πάντα ὡς Θεός, ἐφορῶν καὶ γινώσκων, ψυχῆς τὸ καθαρόν, καταυγάσας σου ὄμμα, Προφῆτα πανεύφημε, ὁδηγὸν Κόσμῳ ἔδειξεν. ὅθεν μνήμην σου, τὴν ἱερὰν ἐκτελοῦντες, πρέσβιν ἄριστον, καὶ πρὸς Θεόν σε μεσίτην, Ἀγγαῖε προσάγομεν.

Ἕτερος. Θείας πίστεως ὁμολογία.

Θείῳ Πνεύματι πεφωτισμένος, τὴν διάνοιαν μορφωθεὶς Προφῆτα, τὰ τοῦ Θεοῦ προφητεύεις μυστήρια, ἀνακαλῶν τῶν μελλόντων τὴν δήλωσιν, καὶ σαφηνίζων πραγμάτων τὴν ἔκβασιν. Ἀγγαῖε πανόλβιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Τὴν ὡραιότητα.

Τὸ ἀπερίγραπτον, τὸ τῆς συλλήψεως, καὶ ἀνερμήνευτον, τὸ τῆς κυήσεως, ὁ Ἡσαΐας κατιδών, θεοφθόγγως ἐκραύγαζε. Πνεῦμα γὰρ ἐπέστη σοι, Θεοτόκε πανάγιον, Βάτον σε ὡς πρόπαλαι, ἐκτηροῦν ἀκατάφλεκτον. διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμεν· Χαῖρε Θεοῦ οἰκητήριον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Προσηλωθέντα σε, ὡς ἐθεάσατο, ἐν ξύλῳ Δέσποτα, ἡ ἀπειρόγαμος, δακρυρροοῦσα καὶ συχνά, στενάζουσα ἀνεφώνει. οἴ μοι δόξης Ἥλιε, παρθενίας μου κύημα. πῶς σε ἀνομώτατος, ξύλῳ δῆμος ἀνήρτησε, τὸν πάντων Ποιητὴν καὶ Δεσπότην; ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.

Ὠδὴ δ΄. Ἀκήκοα τὴν ἀκοήν.

Ὑπέδειξας, τὸν ἐκ Παρθένου ἔμψυχον προσληφθέντα σοι ναόν, τῷ σῷ Προφήτῃ Χριστέ, μεθ' οὗ βοῶμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἐπανήγαγες, τοὺς ἀπωσμένους Κύριε, δουλείας τοῦ ἐχθροῦ, ἐλευθερώσας ἡμᾶς, ὡς ὁ Προφήτης, λέγει ὁ Θεόληπτος.

Ὑπέφηνας, τὴν ἐσομένην ὕστερον, σωτηρίαν τῶν ἐθνῶν, τῷ σῷ Προφήτῃ Χριστέ, τῷ σοὶ βοῶντι· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Μετήγαγες, πρὸς εὐλογίαν Δέσποινα, τὴν κατάραν τοῦ Ἀδάμ, ἡμῖν τεκοῦσα Χριστόν. πρὸς ὃν βοῶμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Πρὸς σὲ ὀρθρίζω.

Ναὸς γενέσθαι, Θεοῦ τοῦ ζῶντος, μάκαρ ἀξίωσον, τοὺς τὴν φωσφόρον σου, τελοῦντας ἑορτήν, ἐπὶ πέτραν ἑδράσας, τῶν σῶν δογμάτων ταῖς πρεσβείαις σου.

Ὡς εὐεργέτης τὴν σὴν εἰρήνην, δὸς ἡμῖν Κύριε, τὴν περιποίησιν, εἰρήνην τῆς ψυχῆς. ἣν ὁ θεῖος Ἀγγαῖος, Πνεύματι Θείῳ προηγόρευσε.

Μεγάλη ἔσται, τῆς Ἐκκλησίας ἡ εὔκλεια ὑπὲρ τὴν προτέραν, Ἰσραὴλ συναγωγήν, σαρκωθέντος τοῦ Λόγου, καὶ τοῖς ἀνθρώποις ὁμιλήσαντος. Θεοτ.

Εὐλογημένη, δεδοξασμένη μήτηρ ἀπείρανδρε, τὴν νενεκρωμένην, ἁμαρτίαις μου ψυχήν, καὶ παθῶν κεχωσμένην, ταῖς ἀκρασίαις ζωοποίησον.

Ὠδὴ ϛ΄. Ὁ Ἰωνᾶς, ἐκ κοιλίας.

Νεανικῶς, τὴν εὐσέβειαν μάκαρ διδάσκων, ἀνήγειρας τῷ Δεσπότῃ τῶν ὅλων, ναὸν ἡγιασμένον, ἀφθονίαν ἀγαθῶν ὑπισχνούμενος.

Ἀνήγαγες, τῆς μακρᾶς Σωτὴρ αἰχμαλωσίας, τὸν ἄνθρωπον ἐκ βυθοῦ κατωτάτου, καὶ πρὸς τὴν ἄνω Πόλιν, ἐπανήγαγες αὐτὸν ὡς φιλάνθρωπος.

Γηθόμενος, τῇ τοῦ Πνεύματος αἴγλῃ, Προφῆτα, ἐθέασαι τῶν πρακτέων τοὺς λόγους, καὶ τῆς εὐσεβείας, ἐξεπαίδευσας ἡμᾶς δικαιώματα. Θεοτοκίον.

Γνώμῃ πεσών, ἐξεβλήθη Ἀδὰμ τοῦ Παραδείσου. ὁ Λόγος δέ, σαρκωθεὶς ἐκ Παρθένου, τοῦτον ἀνακαλεῖται, καὶ πρὸς τὴν ἄνω τρυφὴν μετηγάγετο.

Ὁ Εἱρμός.

„ Ὁ Ἰωνᾶς, ἐκ κοιλίας ᾅδου ἐβόα. ἀνά-
„ γαγε, ἐκ φθορᾶς τὴν ζωήν μου. ἡ-

„ μεῖς

Digitized by Google

„ μεῖς δέ σοι βοῶμεν. παντοδύναμε Σωτὴρ,
„ ἐλέησον ἡμᾶς.

Τῷ αὐτῷ Μηνὶ ΙϚ. Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Προφήτου Ἀγγαίου.

Στίχ. Ἀγγαῖος ἄγγος πλῆρες ὤφθη χαρίτων,
Ὡς ὑλικὸν δὲ τῷ χρόνῳ συνετρίβη.
Ἕκτῃ καὶ δεκάτῃ Ἀγγαῖον γαῖα συνέσχεν.

Οὗτος ἦν ἐκ φυλῆς Λευΐ. ἐτέχθη δὲ εἰς Βαβυλῶνα ἐπὶ τῆς αἰχμαλωσίας. καὶ ἔτι νέος ὢν, ἦλθεν ἀπὸ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ, καὶ προεφήτευσε μετὰ Ζαχαρίου ἔτη τριάκοντα ἕξ. Προέλαβε δὲ καὶ οὗτος τὴν σάρκωσιν τοῦ Χριστοῦ, ἔτη τετρακόσια ἑβδομήκοντα, καὶ φανερῶς περὶ τῆς ἐπιστροφῆς τοῦ λαοῦ προεφήτευσε, καὶ εἶδεν ἐκ μέρους τὴν οἰκοδομὴν τοῦ ναοῦ, καὶ ἀποθανὼν ἐτάφη πλησίον τῶν ἱερέων ὡς αὐτοὶ ἐνδόξως. ἐπεὶ καὶ αὐτὸς ἐκ γένους ἱερατικοῦ ἦν. Ἦν δὲ κομιδῇ γηραιὸς, στρογγύλον ἔχων τὸ γένειον, τὴν ἡλικίαν ἔντιμος, τὴν ἀρετὴν περιφανὴς, ἀγαπώμενος ὑπὸ πάντων καὶ τιμώμενος, ὡς ἔνδοξος καὶ μέγας προφήτης. Ἑρμηνεύεται δὲ ἑορτὴ, ἢ ἑορταζόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Μαρίνου.

Στ. Κάραν Μαρῖνος ἐκτεμνίζεται ξίφει,
Ἧς ὁ Στέφανος ἐκπρεπὴς ἐν Κυρίῳ.

Οὗτος ἦν ἐπὶ Καρίνου τοῦ Βασιλέως, Ῥωμαῖος τὸ γένος, τῆς συγκλήτου μετέχων βουλῆς καὶ τιμῆς, ἀπὸ παιδικῆς ἔτι τῆς ἡλικίας. Δια[illegible]θεὶς δὲ ὡς χριστιανὸς, εἰς ἐξέτασιν ἀχθεὶς, καὶ θῦσαι μὴ βουληθεὶς, ἀναρτᾶται καὶ σπαθίζεται, καὶ ἐπ᾽ ἐσχάρας πυρὸς τίθεται, καὶ πηγανῷ ἐκκαυθέντι, καὶ ἐν χαλκῷ λέβητι βάλλεται. Ῥύεται δὲ παραδόξως, τοῦ πυρὸς εἰς δρόσον μεταληφθέντος. καὶ πολλῶν θηρίων διαβληθέντων, διαφυλάττεται ἄσινής. Εἶτα διὰ προσευχῆς καταβάλλει τὰ εἴδωλα, ἀπατήσας τὸν Βασιλέα, ὡς ἀφιξόμενος πρὸς τὸν βωμὸν, καὶ θυσίαν προσάξων. καὶ οὕτω τὴν διὰ ξίφους δέχεται τελευτὴν, προπεμπόντων αὐτὸν, τοῦ τε πατρὸς, καὶ τῆς μητρὸς, καὶ μακαριζόντων αὐτόν.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι Πρόβος, καὶ Ἱλαρίων, πυρὶ τελειοῦνται.

Στ. Χλόη τὶς ἐστιν ἡ φλὸξ εἶπον τὸ Πρόβῳ,
Ἱλάριος ναὶ φησὶ φίλτατε Πρόβε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχ. φέρει Μόδεστε παμμάκαρ καὶ σὸν τάφον, Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Καὶ τὰ Ἐγκαίνια τοῦ Ναοῦ τοῦ Ἁγίου Μάρτυρος Χριστοφόρου, πλησίον τοῦ Ἁγίου Πολυεύκτου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας καὶ Θαυματουργοῦ Θεοφανοῦς τῆς Βασιλίσσης, Συζύγου γενομένης Λέοντος τοῦ Σοφωτάτου Βασιλέως.

Στίχ. Ἐγγὺς Βασιλεῖ Θεοφανὼ Κυρίου.
Ταῖς ἀρεταῖς ἔστηκεν ἐστιλβωμένη.

Αὕτη ὑπῆρχε γέννημα καὶ θρέμμα Κωνσταντινουπόλεως, ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα, ἐκ τῶν περιβλέπτων Μαρτινακίων. θυγάτηρ Κωνσταντίνου, τὴν ἀξίαν Ἰλλουστρίου, καὶ μητρὸς Ἄννης, ἐκ τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν ὁρμωμένης. Οὗτοι καθ᾽ ἑκάστην ἤχαλλον καὶ ἠθύμουν, παῖδα μὴ ἔχοντες, καὶ τὴν Ἁγίαν Θεοτόκον εἰς βοήθειαν ἐπεκαλοῦντο, τὸν ἐκείνης πανσεβάσμιον Ναὸν τὸν ἐν τοῖς Φορακίου κατατρίβοντες, καὶ τὰς δεήσεις αὐτῶν ἐκεῖσε ἐκχέοντες, καὶ λυθήτω, Δέσποινα, λέγοντες ἡ τοῦ Κόσμου Κυρία, ἡ ἐκτήκουσα τοὺς δούλους σου ἀπαιδία. Καὶ ἐπεὶ πιστῶς ᾔτουν, ἔλαβον παιδίον θῆλυ. Τοῦτο δὲ ἀπογαλακτισθὲν καὶ περὶ ἑξαετίαν ἐλάσαν, γράμματα ἐκπαιδεύεται, καὶ πάσαις καλαῖς ἰδέαις ἀρετῶν περιφέρεται. Ταῦτα βλέποντες οἱ γονεῖς, ἔχαιρον καὶ ἐσκίρτων, καὶ τῆς ἀπαιδίας οὐκ εἰς μακρὰν ἀπολήψεσθαι τῆς καρποὺς ᾤοντο. Ἐπεὶ δὲ ὁ χρόνος τῆς ἡλικίας αὐτῆς προέβη, καὶ τοῖς ὁμοίοις, μᾶλλον δὲ τοῖς κρείττοσι προέκοπτε, ζήτησις γέγονε κόρης εὐόπτου καὶ ἐναρέτου. Εἰς ἣν πάντα τὰ κάλλιστα οἱ Βασιλεῖς εὑρηκότες, συνάπτουσι Λέοντι τῷ υἱῷ αὐτῷ καὶ Βασιλεῖ. Καὶ λοιπὸν χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπλη-

ρουν-

Digitized by Google

ρῶντο. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ πονηρὸς ζιζάνιον ἐνσπείρας τῇ ἀκοῇ Βασιλείου τοῦ Βασιλέως, διὰ γλώσσης τοῦ Σανταβαρηνοῦ ἀββᾶ, τὸν Βασιλέα Λέοντα ἐγκατάκλειστον ποιεῖται ἅμα τῇ γυναικὶ, χρόνοις τρισί. Τῶν ἐγκαινίων δὲ τοῦ Προφήτου Ἠλιοῦ καταλαβόντων, ὁ Βασιλεὺς τῷ υἱῷ καταλλάττεται, καὶ μετ' αὐτοῦ τὴν προέλευσιν ποιεῖται. Ἐπεὶ δὲ αὐτοκράτωρ ἀνηγορεύθη ὁ Βασιλεὺς Λέων ὑπὸ τοῦ πατρὸς, διὰ τὸ νοσήματι αὐτὸν περιπεπτωκέναι, τηνικαῦτα ἡ τιμία Βασίλισσα Θεοφανὼ, εἰς τὰ Βασίλεια περιμονοῦσα, τῆς ψυχικῆς σωτηρίας ἐπεμελεῖτο, τὴν δόξαν τῆς Βασιλείας εἰς οὐδὲν ἡγουμένη, καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ἀράχνην καὶ σκιὰν παραβλέπουσα, οὐκ ἔλειπε νυκτὸς καὶ ἡμέρας, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς τὸν Θεὸν θεραπεύουσα, καὶ ἐλεημοσύναις αὐτὸν ἐκμειλίσσουσα. Τὰ γὰρ ἄνθη τῆς ἀλουργίδος φοροῦσα, καὶ τὴν ἄλλην εὐπρέπειαν ἔξωθεν περιβεβλημένη, τοῖς ῥάκκεσιν ἔνδον τὸ σῶμα κρυπτῶς κατέτρυχε. Καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη, τῶν πολυτελῶν τραπεζῶν κατεφρόνει, καὶ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ἐτρέφετο πανδαισίᾳ. Τὰ δὲ ἐν ταῖς χερσὶν αὐτῆς παραρριπτόμενα χρήματά τε καὶ κτήματα τίμια, τοῖς βιωτικοῖς φαντάσμασι, πένησιν ἐδίδου, καὶ τῶν πέπλων τὰ πολύτιμα τοῖς δεομένοις παρεῖχε. Χήραις καὶ ὀρφανοῖς τὴν αὐτάρκειαν ἐχορήγει. Τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια χρήμασι καὶ κτήμασι κατεπλούτιζε. Τῶν οἰκετῶν ὡς ἀδελφῶν ἐπεμελεῖτο. Οὐ κέκληκε ποτὲ τινὰ ἁπλῷ ὀνόματι, ἀλλὰ πάντων ἐκυρολόγει τὰς κλήσεις. Οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώσσης, οὐ ψευδὲς ῥῆμα διὰ τῶν ταύτης χειλέων προῆλθεν, ἢ λοιδορία. Οὐκ ἐπαύσατο ποτὲ κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν, καὶ τὴν στρωμνὴν τοῖς δάκρυσι καταβρέχειν. Ἡ κλίνη δὲ αὐτῆς χρυσοῦφάντοις τάπησι κατεστρωμμένη, τοῖς οἰκείοις ὡρᾶτο. Ἡνίκα δὲ ἡ νὺξ κατέλαβεν, ἐκεῖθεν ἀνισταμένη, ψιαθίῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη, καὶ τῷ Θεῷ τὰς αἰνέσεις ἀναπέμπουσα. Διὸ ἐκ τῆς ἄγαν σκληραγωγίας, ἡ σωματικὴ αὐτὴν περιεστοίχησε νόσος. Αὕτη δὲ εἰς ἐγκρατείας ἀφορμὴν τὴν νόσον λαβοῦσα, οὐ διέλιπε τοῖς πεινῶσι διαθρύπτειν τὸν ἄρτον, τὸ δὲ στόμα αὐτῆς, ἐν τῇ μελέτῃ τῶν θείων νόμων, οὐκ ἐπαύσατο τὰ ἱερώτατα λόγια τοῦ Δαβὶδ κατεπᾴδειν. Οὐ παρεωρᾶτο δὲ αὐτῆς ἡ ἑπτάκις αἴνεσις τοῦ Κυρίου. Οὐδὲ ὕπνωσεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων, ταῖς τῶν ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα. Δάκρυσι τὸν Θεὸν ἐκλιπαροῦσα ὑπὲρ αὐτῶν, καταπονουμένοις χεῖρα βοηθείας ὀρέγουσα, τῶν χηρῶν καὶ ὀρφανῶν προϊσταμένη, τῶν ἐν θλίψεσι καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα εὐθυμία καὶ παράκλησις. Πάντα δὲ τὸν Κόσμον, καὶ τὰ ἐν Κόσμῳ διὰ τὸν Χριστὸν ἀπαρνησαμένη, καὶ τὸν χρηστὸν τοῦ Κυρίου ζυγὸν λαβοῦσα, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἀραμένη, τῶν ἐλπιζομένων οὐ διήμαρτεν ἀγαθῶν. Αὕτη αἰσθομένη τὴν ἐκ τοῦ σώματος καὶ τοῦ Κόσμου αὐτῆς ἐκδημίαν, ἀσπάσασθαι αὐτὴν πάντας προσετάξατο τὸν τελευταῖον ἀσπασμὸν, καὶ οὕτως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οἱ ἐν καμίνῳ.

Ἰρακαθάρας σου τὸν νοῦν, ὑπεδέξω τὰς λαμπηδόνας, σαφῶς Προφῆτα τοῦ Πνεύματος, ἐμφανῶς προφητεύων καὶ ἀνακράζων· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἱερωτάτην σε ζωήν, μετιόντα τεθεαμένος, Θεὸς Προφήτην προβάλλεται, τὴν αὐτοῦ παρουσίαν πᾶσι βοῶντα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁ ἐν καμίνῳ τοῦ πυρὸς, τοὺς τρεῖς Παῖδας σώσας Παρθένε, αὐτὸς σκηνώσας ἐν μήτρᾳ σου, τοὺς αὐτῷ πεποιθότας, σώζει βοῶντας· εὐλογημένος Πανάγνε, ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ

Digitized by Google

Ὠδὴ η'. Τὸν μόνον ἄναρχον.

Ὑμνολογοῦμέν σε, τὸν τῶν ὅλων Δεσπότην. ὃν ὁ Προφήτης ὁ θεόπτης Ἀγγαῖος, ὑπέδειξε προσκυνεῖν σε καὶ μέλπειν· ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Λόγον τὸν ἄναρχον, ἐπ' ἐσχάτων τῶν χρόνων, ἐπιφανήσεσθαι θεόπτα Προφῆτα, προηγγείλας ἐμφανῶς ἀνακράζων· ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὁ πρὶν ἀθέατος, καὶ ἀχώρητος φύσει, ἐν τῇ γαστρί σου χωρηθεὶς ἐθεάθη, Παμμακάριστε. ᾧ ἐν πίστει βοῶμεν· ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Παμμύμνητε τῶν Οὐρανῶν.

Λυσάμενος, τῆς ὑπὲρ λόγον θεοπτείας, ἀπεσείσω Προφῆτα, φροντίδας ἐπιγείους, καὶ δεδοξασμένῳ Θεῷ, παρέστης ἐπαξίως. διὸ πάντες σε πιστοὶ μακαρίζομεν.

Ὁ ἔνθεος, καὶ θαυμαστός σου μάκαρ βίος, παραστάτην Θεοῦ σε, ἀνέδειξε Θεόφρων, καὶ σὺν ἀσωμάτων χοροῖς, εὐφραίνῃ δι' αἰῶνος. διὸ πάντες σε πιστοὶ μακαρίζομεν.

Ὑπῆρξέ σοι, ὡς εὐσεβείας διδασκάλῳ, τῷ Θεῷ συγγενέσθαι, καὶ τούτου συγκραθῆναι, τῷ ἀκραιφνεστάτῳ φωτί. ὃν μάκαρ νῦν δυσώπει, λυτρωθῆναι πειρασμῶν τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Σὺ γέγονας, ὑπερφυῶς Θεογεννῆτορ, οἰκητήριον ὄντως, τοῦ πάντων Βασιλέως, καὶ χρυσοειδὴς Κιβωτὸς, τὸν Νόμου νομοθέτην, ἔχουσα Χριστὸν σωματούμενον.

Ὁ Εἱρμός.

„Παμμύμνητε, τῶν Οὐρανῶν ὑψηλοτέρα „ἡ τὸν ἄναρχον Λόγον, ἀσπόρως „συλλαβοῦσα, καὶ σεσαρκωμένον Θεὸν, τε„κοῦσα τοῖς ἀνθρώποις, πιστοὶ πάντες σε „ἀεὶ μεγαλύνομεν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΖ'.

Τοῦ Ἁγίου Προφήτου Δανιὴλ, καὶ τῶν Ἁγίων τριῶν Παίδων, Ἀνανίου, Ἀζαρίου, καὶ Μισαήλ.

Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν γ'. προσόμοια τοῦ Προφήτου. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὁ λαμπρότατος Ἥλιος, Προφητῶν ὁ περίδοξος, εὐφημείσθω σήμερον θείοις ᾄσμασι, τῶν χαρισμάτων τοῦ Πνεύματος, θεῖον ἐνδιαίτημα, ἡ ἀείρρυτος πηγὴ, ἡ διόπτρα τοῦ Πνεύματος, ὁ ὑπέρτιμος, καὶ παμμέγιστος στῦλος τῶν δογμάτων, ἡ κρηπὶς τῆς Οἰκουμένης, τὸ ἀκατάσειστον ἔρεισμα.

Ὡς ἀστέρα φανώτατον, ἑωσφόρον ὡς μέγιστον, ἐπιθυμιῶν τε ἄνδρα τιμῶμέν σε, τῶν ἀρετῶν ταῖς λαμπρότησι, φαιδρῶς ἀποστίλβοντα, καὶ φωτίζοντα πιστῶν, τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ βοῶμέν σοι· Δανιὴλ ὑποφῆτα τὸν Σωτῆρα, ἐκδυσώπει τοῦ σωθῆναι, τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Σοῦ ἡ γλῶσσα ὡς κάλαμος, γραμματέως πολύσοφε, ὀξυγράφου γέγονε ῥητορεύουσα. νόμος Θεοῦ γὰρ ἐγκάρδιος, ἐν σοὶ πεπολίτευται, καὶ τὸ στόμα σου λαλοῦν, κρίσιν ἔνδικον δέδεικται. ἐν οἷς ἤλεγξας, παρανόμους πρεσβύτας καὶ Σωσάνναν, ἐκ θανάτου ἐλυτρώσω, τῶν Προφητῶν τὸ ἀγλάϊσμα.

Ἕτερα γ'. προσόμοια τῶν Ἁγίων τριῶν Παίδων. Ἦχος ὁ αὐτός.

Ἔδωκας σημείωσιν.

Νόμων ἀντεχόμενοι, τῶν θεοσδότων πανόλβιοι, μιαραῖς οὐκ ἐχράνθητε, τροφαῖς ἀλλ' ἀκήρατον, τῆς ψυχῆς τὸ κάλλος, διασεσωκότες, διετηρήσατε σαφῶς, ἀδιαλώβητον καὶ ἀμάραντον, τὸ ἄνθος τὸ θαυμάσιον, καὶ τὴν τερπνὴν ὡραιότητα, τοῦ Δεσπότου δοξάζοντος, τοὺς αὐτὸν θεραπεύοντας.

Θείῳ πυρακτούμενοι, οἱ Νεανίαι πυρσεύματι, τοῦ πυρὸς κατεφρόνησαν, ἐν ᾧ δροσιζόμενοι, οἱ σεπτοὶ χορείαν, ἐκλελαμπρυσμένην, διατυπώσαντες ᾠδὴν, τὴν πολούμ-

Digitized by Google

λυμάντον ἦδον ψάλλοντες. τὴν ὄντως ἀδιάδοχον, ὁδὸν ἀνύσαντες πάνσοφοι, Βασιλείαν ποθήσαντες, τὴν οὐράνιον ἔνδοξοι.

Λόγον τῆς σοφίας σου, καταπλαγέντες οἱ Τύραννοι, Δανιὴλ ἀξιάγαστε, καὶ Παίδων τὴν σύνεσιν, τῆς Χαλδαίων χώρας, ἄρχειν καὶ δεσπόζειν, ὑμᾶς κατέστησαν σεπτοί. τὴν ἀρετὴν γὰρ οἶδε σαφέστατα, θαυμάζειν καὶ πολέμιος, καὶ πολιτείας λαμπρότητα. τῶν παθῶν γὰρ κρατήσαντες, ἡγεμόνες γεγόνατε.

Ἀσκήσει καθαιρόμενος, τὴν ἀρετὴν εἶχες σύνοικον, Δανιὴλ ἱερώτατε, Προφῆτα τρεφόμενος, ὡς Προφήτης μάκαρ, καὶ τὰς τῶν λεόντων, σαφῶς ἐπέδησας ὁρμάς, ὡς οἱ τρεῖς Παῖδες κάμινον ἔσβεσαν, τὴν δρᾶσιν τὴν οὐράνιον, παρὰ Θεοῦ εἰσδεξάμενοι, δι' Ἀγγέλου τοῦ ἄνωθεν, ἐκπεμφθέντος σοι ἔνδοξε.

Προφήτης παμμέγιστος, ἀνηγορεύθης καὶ πάντιμος, Δανιὴλ παναοίδιμε, τὴν δόξαν τὴν ἄφραστον, ἀποφήνας ὄντως, τηλαυγῶς παμμάκαρ, ὡς τοῦ ἁγίου γεγονώς, Πνεύματος σκεῦος τὸ χρυσαυγέστατον, προβλέπεις τε τὰ μέλλοντα, καὶ προκηρύττεις φανώτατα, τῶν κρυφίων τὴν δήλωσιν, πρεσβεύοντα τῶν ὑμνούντων σε.

Δόξα. Ἦχος β'. Ἀνατολίου.

Πνευματικῶς ἡμᾶς πιστοὶ συνήγαγε σήμερον, ὁ Προφήτης Δανιήλ. καὶ τράπεζαν προτίθησιν, ἀρετῶν δαψιλῶς, πλουσίοις καὶ πένησι, καὶ ξένοις καὶ αὐτόχθοσι. καὶ κρατῆρα νοητόν, προχέοντα νᾶμα εὐσεβείας, καὶ εὐφραίνοντα καρδίας πιστῶν, καὶ Πνεύματος ἁγίου χάριν παρέχοντα. Οὗτος γὰρ ὁ Προφήτης, ὁ φανώτατος λύχνος, ὁ λάμψας ἐν τῷ Κόσμῳ, τὰ σεβάσματα πάντα τῶν Ἀσσυρίων καθεῖλε, καὶ θηρῶν ἀντιθάσσων στόματα ἔφραξε. Σὺν τούτῳ καὶ οἱ τρεῖς Παῖδες εὐφημείσθωσαν, οὐ χρυσοὶ τῇ φύσει ὄντες, καὶ χρυσίου δοκιμώτεροι δεικνύμενοι, οὐ γὰρ ἐχώνευσεν αὐτοὺς τὸ πῦρ τῆς καμίνου, ἀλλ' ἐφύλαξεν ἀκεραίους. οὓς νάφθη καὶ πίσσα, καὶ κληματίδες ἔστεψαν. Ὁ δὲ ἀγαγὼν ἡμᾶς, εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος, ἀξιῶσαι ἡμᾶς φθάσαι, καὶ ἐπὶ τὴν κυρίαν καὶ σεβασμίαν ἡμέραν, τῶν γενεθλίων Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον.

Προεόρτιον. Ἦχος ὁ αὐτός.

Δεῦτε ἅπαντες, Χριστοῦ τὰ γενέθλια, πιστῶς προεορτάσωμεν. καὶ νοητῶς τὸν ὕμνον, ὡς ἀστέρα προβαλλόμενοι, μαγικῆς δοξολογίας, μετὰ Ποιμένων βοήσωμεν· ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ Παρθενικῆς νηδύος, βροτοὺς ἀνακαλούμενος.

Εἰς τὸν σ. π. τῆς Ὀκτωήχου. Εἰ δὲ βούλει, εἰπὲ ταῦτα. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Δανιὴλ ὁ θαυμάσιος, τὴν καρδίαν κτησάμενος, καθαρὸν τοῦ Πνεύματος καταγώγιον, καὶ παρ' αὐτοῦ φωτιζόμενος, μελλόντων τὴν δήλωσιν, προθεσπίζει προφανῶς, προφητείας λαμπρότητι, καλλυνόμενος, καὶ τρανῶς σαφηνίζων τῶν κρατούντων, παρανόμων Βασιλέων, τὰ κεκρυμμένα ἐνύπνια. Ὅμοιον.

Προσομώσας τὸ σῶμά σου, τῇ νηστείᾳ ἀμέθεκτον, τῶν λεόντων στόμασιν ἀπετέλεσας. μέσον γὰρ τούτων ἱστάμενος, Προφῆτα θεσπέσιε, καὶ Θεῷ τῷ ἀγαθῷ, ἀτενίζων διέμεινας, ἀπαράτρεπτος, ἀπορρήτῳ δυνάμει τοῦ τὰ πάντα, ἐνεργοῦντος παραδόξως, τοῦ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν. Ὅμοιον.

Ἐπὶ θρόνου καθήμενον, Δανιὴλ ἀξιάγαστε, τὸν ὑπὲρ κατάληψιν ἐθεώρησας, κριτὴν ὑπάρχοντα δίκαιον, Προφῆτα θαυμάσιε, ἐκπλαγεὶς δὲ τὸ φρικτόν, τῆς ἐμφόβου ὁράσεως, διεσήμανας, τοῖς μετέπειτα πᾶσιν ὑπογράψας, τὴν δευτέραν παρουσίαν, τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν.

Δόξα. τῶν Ἁγίων. Ἦχος Πλ. β'.

Ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, ἐν μέσῳ τῆς καμίνου τοῦ πυρός, τὸν παγκόσμιον ὕμνον ἐμελῳδήσατε, παῖδες τρισόλβιοι. καὶ τῆς φωνῆς ὑμῶν εἰσήκουσεν, ὁ ὢν ἐγγύς, Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς

τῷ

Digitized by Google

τῷ πράγματι σώζων. καὶ διατηρήσας ἀσινεῖς, προσεδέξατο ὑμᾶς, ὡς θυσίαν καθαράν. διὸ ἀπόγονοι Ἀβραὰμ τυγχάνοντες, παῖδες Θεοῦ γενέσθαι ἠξιώθητε. παῤῥησίαν οὖν ἔχοντες πρὸς αὐτὸν, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα, θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς, τεχθέντα προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Τροπάρ. Ἦχος β΄.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα. ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμὴν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Κανὼν τῆς Ὀκτωήχου, εἷς, καὶ τοῦ Προφήτου Δανιὴλ, καὶ τῶν ἁγίων τριῶν Παίδων. ὁ Κανὼν τοῦ Προφήτου Δανιήλ. Οὗ ἡ ἀκροστιχίς.

Σοφὸν Δανιὴλ ᾄσμασι περιστέφω.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄.
Ἆσμα ἀναπέμψωμεν λαοί.

Σῶτερ εὐεργέτα τοῦ παντὸς, τῶν ἀγαθῶν ὁ αἴτιος, τῇ φωτοφόρῳ σου, τὴν ἐννοιάν μου αἴγλῃ, φωτίζοις φιλάνθρωπε, ὅπως τοῦ σοῦ Προφήτου, εὐφημήσω τὴν ἔνδοξον μνήμην.

Ὄρθρος ἐξανέτειλας σοφὲ, τῆς σωφροσύνης σώφρονα, προκινδυνεύουσαν, διέσωσας Σωσάνναν. Θεὸς γάρ σε ἤγειρε, γνώστης ὁ τῶν κρυφίων, πρεσβυτέρους δεσμοὺς κατακρῖναι.

Φόβῳ στοιχειούμενοι Θεοῦ, Ἀβραὰμ οἱ ἀπόγονοι, τροφὴν παράνομον, ἀπώσαντο γενναίως, καὶ θείῳ τρεφόμενοι, πόθῳ τῆς εὐσεβείας, πρὸς μεγίστην ἐπήρθησαν δόξαν. Θεοτοκίον.

Ὄρος ἐθεώρεις νοητὸν, Δανιὴλ ἱερώτατε, τὴν μόνην ἄχραντον, ἀειπάρθενον Κόρην. ἐξ ἧσπερ ἐκτέτμηται, λίθος ὁ ἀκρογωνιαῖος, καὶ τὴν πλάνην συνέτριψε πᾶσαν.

Ἕτερος Κανὼν, τῶν ἁγίων τριῶν Παίδων. Οὗ ἡ ἀκροστιχίς.

Τρεῖς Παῖδας ὑμνῶ, Δανιὴλ τε τὸν μέγαν.

Ὠδὴ α΄. Ἦχος ὁ αὐτός. Ὑγρὰν διοδεύσας.

Τὸν ἄναρχον Λόγον τὸν ἐκ Πατρὸς, πρὸ πάντων αἰώνων, γεννηθέντα θεοπρεπῶς, τὸν ἐν τῇ καμίνῳ Νεανίαις, συμβολικῶς ὁραθέντα δοξάσωμεν.

Ῥημάτων Τυράννου τοῦ δυσσεβοῦς, οἱ εὐγενεῖς Παῖδες, καταπτύσαντες καρτερῶς, τροφαῖς παρανόμων μὴ χρανθῆναι, χαλδαϊκῶς οὐ κατηξίωσαν.

Ἐτρέφεσθε λόγῳ μὲν ψυχικῶς, τροφαῖς αὐτομάτοις, κεχρημένοι δὲ σαρκικῶς, τῶν ἁβροδιαίτων τὰς ἰδέας, τοῦ Βασιλέως ὡραιότεροι ἐδείκνυσθε. Θεοτοκίον.

Τὸν τὸν τοῦ ὄφεως ἀκοαῖς, πικρῶς ἐνσπαρέντα, ταῖς τῆς Εὔας ἡ ἐκ Δαβὶδ, βλαστήσασα Κόρη θεραπεύει, τὸν Λυτρωτὴν κυοφορήσασα.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νόησιν καὶ σύνεσιν, παρὰ Θεοῦ λαβὼν ἤγαγες, φωτοφανῶς, τὰ ἐσκιασμένα, τῶν κρατούντων ἐνύπνια.

Δράκοντα ἐνέκρωσας, διὰ τροφῆς βαλὼν ἔνδοξε, τὸν ἀνήττητον. τοὺς πρὶν ἀοράτους, ἐποπτεύσω γὰρ δαίμονας.

Αἴγλῃ φωτιζόμενος, τὸ ἐμφανὲς ὁρᾷς ἔνδοξε, Ὄρος Θεοῦ, τὴν Εὐλογημένην, τῶν βροτῶν ἐγκαλλώπισμα.

Ὁ αὐτός.

Σύνεσιν κτησάμενοι, τὴν θεοδίδακτον Δέσποτα, Παῖδες Δαβὶδ, Νόμους τοὺς πατρῴους, θεοφρόνως ἐτήρησαν.

Πῦρ οὐ κατεφλόγισε, τὰ καθαρώτατα σώματα, τῶν εὐσεβῶν. διὰ γὰρ νηστείας, ψυχοτρόφου ηὐδόκουν.

Ὕμνον τὸν παγκόσμιον, καὶ πολυύμνητον ᾄδουσι, Παῖδες οἱ τρεῖς, μέσον τῆς καμίνου, θαυμαστῶς δροσιζόμενοι.

Θεοτοκίον.

Ἴνα τόκον Δέσποτα, ἐκ παρθενεύοντος σώματος, δείξῃς ἡμῖν, σώζεις ἐν καμίνῳ, παρθενεύοντα σώματα.



Digitized by Google

Ὁ Εἱρμός.

„ Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων „ σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκο- „ τισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Προφήτης προδηλῶν, τῶν μελλόντων τὴν γνῶσιν, ἐδείχθης Δανιήλ. τῆς Παρθένου γὰρ πάλαι, τὸν τόκον προϋπέγραψας, καὶ Χριστοῦ τὴν ἔλευσιν. ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἐν εὐφροσύνῃ καρδίας, πιστῶς εὐφημοῦμέν σε.

Ἕτερον. Ἦχος Πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Προφητείας τὴν χάριν πεπλουτηκώς, τῆς Παρθένου τὸν Τόκον σκιαγραφῶν, λύεις ὀνείρατα, τῶν κρατούντων σαφέστατα. ἐμβληθεὶς δὲ λάκκῳ, ὡς Μάρτυς ἐδίδαξας, παραδόξως Μάκαρ, μὴ στέργειν τοὺς λέοντας. Ὅθεν καταστρέψας, τῶν ἀθέων τὸ σέβας, τὸν δράκοντα ἔκτεινας, ἀριστεύσας λαμπρότατα, Δανιὴλ ἀξιάγαστε. πρέσβευε Χριστῷ τῷ Θεῷ.

Ἕτερον τῶν τριῶν Παίδων.

Τῆς Τριάδος εἰκόνα προφητικῶς, ἐξ αὔλων χρωμάτων ἐν τῇ φλογί, οἱ Παῖδες διέγραψαν, τῷ καλάμῳ τῆς Πίστεως, καὶ τὴν τοῦ Λόγου ἄκραν, εἰς γῆν συγκατάβασιν, μυστικῶς κατεῖδον, καὶ πᾶσιν ἐκήρυξαν. Ὅθεν καὶ τὴν δρόσον, οὐρανόθεν λαβόντες, τοῦ Πνεύματος βρύουσι, τοῖς πιστοῖς τὰ χαρίσματα, καὶ συμφώνως βοῶσί σοι· δώρησαι Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν τοῖς δούλοις σου, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην αὐτῶν.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Θρόνε πυρίμορφε τοῦ Θεοῦ. Χαῖρε Κόρη Καθέδρα Βασιλική, Κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε Θάλαμε, Χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον Τέμενος, ἀστραπηφόρον Ἅρμα, Λυχνία πολύφωτε. Χαῖρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καὶ Πύλη χρυσήλατε, καὶ Παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε Τράπεζα, θεοκόσμητον Σκήνωμα. Χαῖρε ἔνδοξε Νύμφη ἡλιοστάλακτε. Χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμνάς σε ὡς εἶδεν ἐπὶ Σταυροῦ, τὸν Ἀμνὸν καὶ Ποιμένα σε μητρικῶς, ἐβόα σπαράττουσα, παρειάς, καὶ ἐφθέγγετο. πῶς ἀδίκως πάσχεις, Θεὲ ὑπεράγαθε, καὶ ἑκὼν τὰ πάθη, σαρκὶ καταδέδεξαι. ὅθεν μεγαλύνω, σοῦ τὴν ἄφατον ὄντως, καὶ θείαν μακρόθυμε, οἰκονομίαν τὴν ἄρρητον. δι' ἧς Κόσμον ἀνέπλασας, τῇ τιμίᾳ σταυρώσει σου, καὶ μεγαλύνει ἡ σύμπασα, σοῦ τὸ ἄπειρον πέλαγος.

Ὠδὴ δ'. Ἐξ ὄρους κατασκίου.

Νόμον εὐσεβῶς, φυλάξας ὦ Προφῆτα, ὄντως τῆς σοφίας, ἔγνως τὴν δοτῆρα, τὰ μυστικά σε διδάσκοντα καὶ βαθέα, καὶ τὰ ἐν σκότει σε φωτίζοντα.

Ἱερὰν ζωήν, βιώσας Θεοφάντορ, ἐπιθυμιῶν, ἀνὴρ ἀνηγορεύθης. ἀρρενωπῶς γὰρ τὰ πάθη καταπατήσας, πρὸς τὴν ἀγήρω μετετέθης ζωήν.

Ἡ ἐνοικοῦσα ἐν σοί, τοῦ Παρακλήτου χάρις, Δανιὴλ δεικνύει, ὅλον φωτοφόρον, καὶ νικητὴν τῶν Τυράννων καὶ Βασιλέων, καὶ τῆς σοφίας καταγώγιον.

Θεοτ.

Λίθον σε χειρός, τμηθέντα ἄνευ Λόγε, Ὄρους προορᾷ, Παρθένου Θεοτόκου, Δανιὴλ ὁ Προφήτης ἀνακραυγάζων, καὶ ἀνυμνῶν σου τὴν Θεότητα.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Δανιὴλ ὁ σοφώτατος, ἐνθεαστικῶς τὸν νοῦν φωτιζόμενος, τὰ ἐνύπνια διέλυσε, τῶν αὐτοκρατόρων Θείᾳ χάριτι.

Ἐξαστράπτει τοῖς θαύμασιν, ἡ ἐν τῇ καμίνῳ τῶν Παίδων ἄθλησις. τὸν γὰρ Τύραννον ἐξώγρησαν, πρὸς ἐπίγνωσιν σοῦ Παντοδύναμε.

Συμφωνίας τὰ ὄργανα, καὶ τῆς μουσικῆς μέλη παναρμόνια, τοὺς γενναίους οὐ κατέθελξαν, καὶ χρυσῇ εἰκόνι οὐχ ὑπέκυψαν.

Θεοτοκίον.

Ὑμνῳδίαις πανύμνητε, οἱ ἐν Βαβυλῶνι Παῖδες γεραίρουσι, τὸν Υἱόν σου τὸν ὑπέρθεον, ὃν ἐν τῇ καμίνῳ ὑπεγίνωσκον.



Digitized by Google

Ὠδὴ ε΄. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Ἀθλητικοὺς ἀγῶνας, τῆς προφητείας φαιδρύνας κηρύγματι, λάμπεις δι᾽ ἀμφοτέρων, θείας ἐπιπνοίας ἀνάπλεως.

Σοφὸς ἐδείχθης μάκαρ, ταῖς ὑπὲρ νοῦν τῆς σοφίας ἐλλάμψεσι, μέγιστε Θεορρῆμον, Δανιὴλ καὶ πάντας ἐφώτισας.

Θεοτοκίον.

Μυσταγωγεῖ τοὺς τύπους, τῆς ἀπορρήτου σαρκώσεως Ἄχραντε, τῆς ἐκ σοῦ τοῦ Ὑψίστου, Δανιὴλ ὁ Προφήτης ὁ ἔνδοξος.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Μυηθέντες τὸν νόμον, Σῶτερ οὐκ ἠρνήσαντο, οἱ σοὶ θεράποντες. Δανιὴλ ὁ μέγας, σὺν τρισὶ Νεανίαις θεόφροσιν. ἀλλ᾽ ἰσχὺν λαβόντες, τὴν παρὰ σοῦ τοῦ Εὐεργέτου, τοὺς Τυράννους ἀνδρείως ἐτρέψαντο.

Νοερῶς ἐμυεῖτο, Δανιὴλ φιλάνθρωπε, τὰ σὰ μυστήρια, ἐπὶ γὰρ νεφέλης, ὡς υἱόν σε ἀνθρώπου ἐρχόμενον, τῶν Ἐθνῶν ἁπάντων, οἷα Κριτὴν καὶ Βασιλέα, ἐθεώρει νοὸς καθαρότητι.

Ὡραι ὤθητε Παῖδες, ὑπὲρ λίθον σάπφειρον, ὑμῶν τὰ σώματα, ὡς αὐγὴ χρυσίου, εὐσεβείας τῷ ζήλῳ πυρσεύετε, ἐμπεριπατοῦντες, χαρμονικῶς ἐν τῇ καμίνῳ, καὶ κροτοῦντες χορείαν τρισαρίθμον.

Θεοτοκίον.

Δανιήλ σε Παρθένε, Ὄρος προδιέγραψε, σαφῶς ὁ ἔνθεος. οἱ τρισσοὶ δὲ Παῖδες, καθορῶντες τὴν φλόγα δροσίζουσαν, τὸν σὸν θεῖον τόκον, μελῳδικῶς ἀνευφημοῦσιν, ὡς Σωτῆρα καὶ κτίστην καὶ Κύριον.

Ὠδὴ ϛ΄. Ὡς τὸν Προφήτην.

Ἀγγελικὰς σὺ χορείας, ἐν φωτὶ λαμπροτάτῳ θεώμενος, μιμητὴς παμάριστος, τούτων ἐχρημάτισας, τοῦ παντάνακτος, ἐντρυφῶν ἐλλάμψεσιν.

Σωτηριώδη τοῦ Λόγου, παρουσίαν μηνύων προηγγείλας, καὶ Ναοῦ καθαίρεσιν, Νόμου τε τὴν πλήρωσιν, καὶ τῆς χάριτος, ὑπὲρ νοῦν δωρήματα. Θεοτοκίον.

δοὺ Παρθένος ἐν μήτρᾳ, ἐμφανῶς συλλαμβάνει Χριστὸν τὸν Θεόν, ἐλλαμφθεὶς τῷ Πνεύματι, ἧς περ τὴν προτύπωσιν, προεώρακε Δανιὴλ ὁ ἔνδοξος.

Ἄλλος. Ἄβυσσος ἁμαρτιῶν.

Ἄρξαντες τῶν ψυχικῶν παθημάτων, τῇ δυνάμει τοῦ Λόγου, χώρας ἐθνῶν Χαλδαίων, ἡγεμόνες γεγόνατε. οἶδε γὰρ ἡ ἀρετὴ γέρα χαρίζεσθαι, κεκτημένοις, οἱ τοῦ Δαβὶδ σοφοὶ ἀπόγονοι.

Νέκρωσιν ὁ Δανιήλ, ζωηφόρον ἐνδυσάμενος πάλαι, τὸν ὡς θεὸν Χαλδαίοις, δυσσεβῶς νομιζόμενον, ἀναιρεῖ διὰ τροφῆς, δράκοντα κάκιστον, ἱερεῖς τε τοὺς δυσμενεῖς, σαφῶς ἀπέκτεινε. Θεοτ.

Ἵλεών μοι τὸν Κριτήν, ὡς Υἱόν σου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτήν τε τῶν δεινῶν, Μῆτερ δυσώπησον. σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Ὁ Εἱρμός.

„Ἄβυσσος ἁμαρτιῶν, καὶ πταισμάτων „καταιγίς με ταράττει, καὶ πρὸς βυ„θὸν βιαίως, συνωθεῖ ἀπογνώσεως. ἀλ„λὰ σὺ τὴν κραταιὰν χεῖρά μοι ἔκτεινον, „ὡς τῷ Πέτρῳ, καὶ ἐκ φθορᾶς με ἀνακά„λεσαι.

Κοντάκιον. Ἦχος Πλ. β΄.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ᾽ ἀγράφῳ οὐσίᾳ θωρακισθέντες τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε. Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ὁ Οἶκος.

Ἔκτεινόν σου τὴν χεῖρα, ἧς πάλαι ἔλαβον πεῖραν Αἰγύπτιοι πολεμοῦντες, καὶ Ἑβραῖοι πολεμούμενοι. μὴ καταλίπῃς ἡμᾶς. καὶ καταπίῃ ἡμᾶς θάνατος ὁ διψῶν ἡμᾶς, καὶ σατὰν ὁ μισῶν ἡμᾶς. ἀλλ᾽ ἔγγισον ἡμῖν, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν παίδων σου, τῶν ἐν Βαβυλῶνι ἀπαύστως ἀνυμνούντων σε, καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν Κάμινον, καὶ ἐκ ταύτης κραυγαζόντων σοι. Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Digitized by Google

Τῷ αὐτῷ Μηνὶ, ΙΖ΄. Μνήμη τῶν Ἁγίων τριῶν Παίδων, καὶ Δανιὴλ τοῦ Προφήτου.

ἥ. Ὑπέρθεε βλέπει σε νοῦν ἐπὶ θρόνου.
Τμηθεὶς Δανιὴλ οὐκ ὄναρ καθὼς πάλαι.
Εἰ μὴ θανεῖν τρεῖς Παῖδες ἤρων ἐκτόπως,
Ὡς τοῦ πυρὸς πρὶν ἐκράτουν καὶ τοῦ ξίφους.
Ἑβδομάτῃ δεκάτῃ Δανιὴλ τάμον, ὃς βλέπεν μέλλον.

Οὗτος ὁ μακάριος Δανιὴλ ὁ Προφήτης, ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας, ἐγεννήθη δὲ ἐν Βυθαρῷ τῇ ἀνωτέρᾳ. ἀλλ᾽ ἔτι νήπιος ὤν, ἤχθη ἐκ τῆς Ἰουδαίας αἰχμάλωτος εἰς τὴν Χαλδαίων γῆν, καὶ προεφήτευσεν ἔτη ἑβδομήκοντα. Προέλαβε δὲ τὴν Σάρκωσιν τοῦ Χριστοῦ, ἔτη τετρακόσια ἑξήκοντα. Ἦν δὲ ἀνὴρ σώφρων, ὥς τε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τῆς γῆς, καὶ ἐν νηστείαις ἤσκησεν ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς. καὶ ἦν ξηρὸς ἐπὶ ἰδέαν, ἀλλὰ καὶ πάνυ ὡραῖος τῇ χάριτι τοῦ Ὑψίστου. Οἱ δὲ τρεῖς Παῖδες κατὰ τὴν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας Πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρὸς, καὶ μητρὸς Καλλιγόνης. Ὅστις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ, φυλάξαι τὰς ἀρετὰς ἐνώπιον αὐτοῦ, καὶ προσθήκην ἔλαβε τῆς ζωῆς ἔτη δεκαπέντε. Τῆς δὲ Ἱερουσαλὴμ ὑπὸ τοῦ Βασιλέως Ἀσσυρίων Ναβουχοδονόσ. πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ Δανιὴλ τοῦ Προφήτου, καὶ καθίστανται ἐπιστάται τῶν τοῦ Βασιλέως πραγμάτων διὰ τὴν ἀρετὴν αὐτῶν. Εἶτα ἐξουδενώσαντες τὴν εἰκόνα ἣν ἐποίησε καὶ ἔστησε, καὶ μὴ προσκυνήσαντες, βάλλονται ἐν τῇ ἑπταπλασίως ἐκκαυθείσῃ καμίνῳ. ἐν ᾗ τῇ τοῦ θείου Ἀγγέλου συγκαταβάσει δροσιζόμενοι, ἔψαλλον. Ἔνθα τὸ παράδοξον ὁ Βασιλεὺς ἰδὼν, ὡμολόγησε μέγαν εἶναι Θεὸν, τὸν ὑπ᾽ αὐτῶν ὑμνούμενον. Ἡ γὰρ κάμινος μετεποιήθη εἰς δρόσον, καὶ ἔμειναν ἀβλαβεῖς. Δανιὴλ δὲ καὶ τοι συμβιωτὴς ὢν αὐτοῖς, καὶ συναυλιζόμενός τε καὶ συνδιαιτώμενος, καὶ τῆς τιμῆς αὐτοῖς αἴτιος γενόμενος, τῇ καμίνῳ οὐ συνεβλήθη. οὐδὲ γὰρ τοῦτο μαθεῖν ἐστὶν ὑπὸ τῆς γραφῆς, ὡς σιωπηθὲν ταύτῃ, καὶ μεῖναν ἀπαρασήμαντον. τάχα ὡς ἐμοὶ δοκεῖ, καὶ τῇ ἀληθείᾳ τῶν εἰκότων λόγων οὐκ ἔξω, διὰ τὸ ἐπιτεθὲν Βαλτάσαρ ὄνομα, τῆς ὑπερεχούσης τιμῆς γνώρισμα. Ἵνα γὰρ παρὰ τοῖς θεοποιοῦσι τὸ πῦρ κατὰ λογισμὸν τῶν ἔσωθεν ἐκμοχλάσιν, μὴ τὸ παράδοξον τοῦ θαύματος δόξῃ πεποιηκέναι Βαλτάσαρ ὁ αὐτὸς Θεὸς οὕτω καλούμενος, οἰκονομεῖται Δανιὴλ τὴν τοῦ Θεοῦ προσηγορίαν λαβὼν, τὴν πρὸς τὸ πῦρ ἀπολειφθῆναι εἰσέλασιν καὶ διαδρᾶναι. οὔτε μὴν τοῖς περὶ τὴν κάμινον διηγήμασιν ἀναγράφεται. Οἱ δὲ ἅγιοι τρεῖς Παῖδες, μετὰ τὴν ὑπὲρ νοῦν ἐκ τοῦ πυρὸς σωτηρίαν, ἐφ᾽ οἷς εἶχον πάλιν ἀποκαταστάντες, καὶ πᾶσαν τὴν ζωὴν ἔνδοξον διαγαγόντες, ἐν εἰρήνῃ καὶ αὐτοὶ σὺν τῷ Δανιὴλ τελευτῶσι. Φασὶ δέ τινες, ὅτι μετὰ τὴν τελευτὴν τοῦ Ναβουχοδονόσορ, καὶ τῶν λοιπῶν Βασιλέων, οἳ διὰ τιμῆς εἶχον τὸν Δανιὴλ καὶ τοὺς τρεῖς Παῖδας, ἀνέστη Βασιλεὺς ἕτερος, τοὔνομα Ἀττικός. ὃς τοὺς ἁγίους ἐξετάσας, καὶ ἐλεγχθεὶς ὑπ᾽ αὐτῶν, κελεύει τὴν κεφαλὴν Μισαὴλ ἀποτμηθῆναι. οὗ τινος Ἀζαρίας ἁπλώσας τὸ φιβλατώριον, αὐτὴν ἐδέξατο. Ὡσαύτως καὶ Ἀνανίας τὴν κεφαλὴν τμηθεῖσαν Ἀζαρίου ἐκολπώσατο. Ἀνανίου δὲ τὸ περιβόλαιον ἁπλώσας Δανιὴλ, ἐδέξατο τὴν κάραν. Ὕστερον δὲ καὶ αὐτὸς τὴν κεφαλὴν ἐτμήθη. Λέγεται δὲ μετὰ τὴν ἐκτομὴν, κολληθῆναι τὰς κεφαλὰς τοῖς τούτων σώμασιν. Ἄγγελος δὲ Κυρίου ἄρας αὐτοὺς, ἤγαγεν αὐτοὺς ἐν τῷ ὄρει Γεβάλ. ἐν ᾧ τεθέντες ὑπὸ τὴν πέτραν ἔτη τετρακόσια, ἐπὶ τῇ ἀναστάσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ αὐτοὶ συνανέστησαν, καὶ πάλιν κεκοίμηνται. Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ὧν τὴν μνήμην ἄγειν ὑπὸ τῶν Πατέρων παρελάβομεν, πρὸ ἑπτὰ ἡμερῶν τῆς Δεσποτικῆς ἐπιφανείας, καὶ θείας διὰ σαρκὸς παρουσίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τὸ καὶ αὐτοὺς οἶμαι εἶναι τῆς ἐξ Ἰου-


Digitized by Google

Ἰούδα φυλῆς. ἐξ ἧς καὶ ὁ Σωτὴρ πάντων Χριστὸς, πρὸς γένος κατάγεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Πατερμυθίου, Κόπρι, καὶ Ἀλεξάνδρου, Μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου. Καὶ μνήμη τοῦ ὁσίου καὶ ἀειμνήστου ὁμολογητοῦ Δουμαλὲ, τοῦ μετονομασθέντος Στεφάνου.

Στίχ. Στολαῖς Στέφανος ἀρετῶν ἐστεμμένος. Λαμπρῶς διήκει πρὸς στεφάνους τοὺς ἄνω.

Οὗτος ἦρξε τῆς ἑαυτοῦ χώρας νήσου τινὸς, ἣ παρὰ μὲν τισὶ Νιβερτὶς λέγεται, παρ' ἄλλοις δὲ Βερόη, πλησίον οὖσα Γαδείρων, καὶ τοῖς Ὠκεανοῦ περικλυζομένη ῥεύμασι, πλούτου βάρος περιβεβλημένος πολὺ, χριστιανικωτάτοις δὲ δόγμασιν ἀναστραφεὶς, Θεῷ μᾶλλον ἢ ἀνθρώποις ἔζη. Διὸ σκύβαλα τὰ πάντα λογισάμενος, τὴν Βασιλείαν τοῖς υἱοῖς καταλιμπάνει, καὶ ἐν Ῥώμῃ γενόμενος, τὸ ἀγγελικὸν ἐνδύεται Σχῆμα. Εἶτα τὴν περιώνυμον Κωνσταντινούπολιν καταλαμβάνει, καὶ Κωνσταντίνῳ, καὶ Ῥωμανῷ, τοῖς πορφυρογεννήτοις Βασιλεῦσιν εἰς ὁμιλίαν ἐλθὼν, εἰς Ἱεροσόλυμα παρ' αὐτῶν στέλλεται. τοῦτο γὰρ ἦν ὁ μακάριος αὐτοὺς αἰτησάμενος. Ἔνθα γενόμενος, καὶ τὸν πόθον ἀφοσιωσάμενος, καὶ τὸ μέγα παρὰ τοῦ τηνικαῦτα πατριαρχοῦντος Σχῆμα ἀμφιασάμενος, ἀντὶ Χριστοδούλου, μετονομάζεται Στέφανος. Πολλὰς δὲ ὕβρεις καὶ μάστιγας παρὰ τοῦ μιαροῦ Ἔθνους τῶν Σαρακηνῶν ὑποφέρει διὰ τὸ περικεκάρθαι τὸν πώγωνα. Εἶτα εἰς Αἴγυπτον ἔρχεται, ἐν ᾗ κρατηθεὶς, ἐφρουρήθη μετὰ τῶν συνεπομένων αὐτῷ δύω Ἱερέων. καὶ ἓξ μῆνας διακαρτερήσας λιμῷ καὶ δίψει καὶ τῇ ἄλλῃ κακοπαθείᾳ, αὖθις παρὰ τοῦ κρατήσαντος πρὸς τὸν τῆς Αἰγύπτου Ἀμηρᾶν παραπέμπεται. Ὑφ' οὗ θανατηφόροις δεσμοῖς περιβληθεὶς ὁ ἀοίδιμος, ἠναγκάζετο τὸν Χριστὸν ἐξομόσασθαι. Στεῤῥῶς δὲ ἀντιπίπτων, καὶ μὴ ἡττώμενος, ἀλλ' ὁμολογῶν παῤῥησίᾳ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πλείοσι καὶ ἀναριθμήτοις αἰκίαις καθυποβάλλεται, αἷς καὶ ταλαιπωρήσας, νόσῳ περιπέπτωκε. δι' ἧς τὸν τῇδε βίον ἀπέλιπε, προμηνυθείσης αὐτῷ Θεόθεν τῆς τελειώσεως.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ἰάκχου.

Στίχ. Ἴακχε κρατυνθῆτι, καὶ τμηθεὶς κάραν. Τμηθεῖσιν ἐγγράφηθι, καὶ στέφου κάραν.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων ἐν καμίνῳ.

Νόμῳ Προφῆτα πεφραγμένος, οὐκ ἠνέσχου τοῦ χρανθῆναι παρανόμως. ἀλλ' ἐνθέως τὸν νοῦν, λαμπόμενος ἐβόας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Πάντας ἐκπλήττει σου τὸ θαῦμα, ὡς προφήτῃ γὰρ Προφήτης σοὶ παρέστη, μεταρσίως τροφὴν, κομίζων σοὶ καὶ μέλπων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἔνδον τοῦ λάκκου καθειργμένος, καὶ τοῖς λέουσι πρὸς βρῶσιν τεθειμένος, διεσώθης Θεοῦ, σκεπάσαντός σε μάκαρ· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Θεοτ.

Ῥεῖθρα ἀφθόνως ἀναβλύζεις, ἰαμάτων σὺ Παρθένε Θεοτόκε. Δανιὴλ γὰρ τρανῶς, ἑώρακέ σε Ὄρος, ἐξ οὗ Σωτὴρ ἀνέτειλεν, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄλλος. Παῖδες θεοσεβεῖς.

Ἦχος θεοφιλὴς ἐμελῳδεῖτο, ἐκ μέσου πυρὸς τῷ Παντοκράτορι. Ἀζαρίας γὰρ θεῖον χορὸν συστησάμενος, τὴν ᾠδὴν σὺν τούτοις ἀνέμελπεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Λύρα νεανιῶν ἐθεολόγει, τὸν πάντων Θεὸν καὶ παντοκράτορα, τὸν αὐτοῖς ἐν καμίνῳ, τρανῶς ὀπτανόμενον, καὶ ᾠδὴν ἀνέμελπον λέγοντες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων.

Τρεῖς τοὺς ἐν τῇ καμίνῳ βεβλημένους, ἀδὼς ὁ κρατῶν ὡς ἐθεάσατο, τοῦ τετάρτου τὴν θέαν, Υἱὸν προαιώνιον, τοῦ Θεοῦ τοῖς πᾶσιν ἐτράνωσεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἔχων λελαμπρυσμένον θείᾳ αἴγλῃ, τὸν νοῦν Δανιὴλ θεομακάριστε, τῆς Παρθένου τὸν τόκον, σαφῶς προτεθέασαι, μυστι-

Digitized by Google

ςικαῖς εἰκόσι μορφούμενον· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η. Οἱ θεορρήμονες.

Ἱεροφάντωρ ἐδείχθης, ὦ Προφῆτα, καὶ πρακτικῇ θεωρίᾳ, τοῖς ἀσωμάτοις συνέψαλλες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σὲ παμμακάριστε πάντες, εὐφημοῦμεν καὶ τῇ σεπτῇ πανηγύρει, σοῦ γεγηθότες κραυγάζομεν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Τὴν ὑπερθαύμαστον κόρην, Θεηγόρε τυπικοῖς ἐν συμβόλοις, καταμονησας ἐκραύγαζες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Τὴν Ἀβραὰμ εὐγένειαν, διασώζειν σπουδάζοντες, τὴν οἰκειοτάτην, πρὸς αὐτὸν ἐκτήσασθε, κρηπῖδα τῆς Πίστεως, καὶ τῆς ἐλπίδος ὅσιοι, τὴν ὑπομονήν τε, πειρασμῶν καρτερίαν, βοῶντες ἀνενδότως. Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οἱ ὡς φωστῆρες λάμποντες, καὶ τὴν γῆν οὐρανώσαντες, καὶ τῆς εὐσεβείας, φωτισμῷ πυρσεύοντες, παγκόσμιον στήσαντες, χοροστασίαν ᾄδουσι, σὲ τὸν εὐεργέτην, καὶ Δεσπότην τῶν ὅλων. ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Νεανικῶς οἱ σβέσαντες, ἐπηρμένην τὴν κάμινον, καὶ τὰς τῶν λεόντων, ἀκωκὰς πεδήσαντες, Δαβὶδ οἱ ἀπόγονοι, νῦν γεγηθότες ψάλλουσι, τῷ ἐκ πειρασμῶν, λυτρωσαμένῳ Δεσπότῃ. οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μυσταγωγεῖται πάναγνε, Δανιὴλ ὁ σοφώτατος, καὶ προεζωγραφοῦσι, Παῖδες τρεῖς τὴν γέννησιν, τὴν σὴν οἱ θεόφρονες, διὰ συμβόλων βλέποντες, τὸν ἐκ τῆς γαστρός σου, προελθόντα ἀφράστως. ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, Λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

„Ἑπταπλασίως κάμινον, τῶν Χαλδαίων,
„ὁ Τύραννος, τοῖς θεοσεβέσιν, ἐμμα-
„νῶς ἐξέκαυσε. δυνάμει δὲ κρείττονι, πε-
„ρισωθέντας τούτους ἰδὼν, τῷ Δημιουργῷ
„καὶ λυτρωτῇ ἀνεβόα· οἱ Παῖδες εὐλογεῖ-
„τε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦ-
„τε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ. Κυρίως Θεοτόκον.

Ἔχετε σὺ τῶν πόνων, τὰς ἐπικαρπίας, ἐν Οὐρανοῖς σὺν Προφήταις χορεύων ἀεὶ, περὶ τὸν ὕψιστον θρόνον, τοῦ Παντοκράτορος.

Φωτὶ τῷ τρισηλλίῳ, νῦν στεφανηφόρος, τῶν ἐφετῶν ἀκροτάτῳ παρέστασαι, ταῖς ἀσωμάτων χορείαις συναγαλλόμενος. Στ.

Ὡραῖον σὺ τὸ κάλλος, νῦν ἀπολαύεις. τὴν γὰρ Πανύμνητον Κόρην, Προφῆτα σοφὲ, διὰ συμβόλων μηνύειν, πᾶσιν ἠξίωσαι.

Ὁ αὐτός.

Ἐφθάσατε τὸ τέλος, τὸ ποθούμενον, καὶ ὀρεκτῶν ἀκροτάτῳ παρέστητε, ἐν οὐρανίοις θαλάμοις, Παῖδες πανόλβιοι.

Ἰηθόμενοι τὸ δράγμα, τῆς μετὰ δακρύων, καλῆς ὑμῶν γεωργίας κομίζεσθε, τῆς ἀφθαρσίας τὸν στάχυν, καρποφορήσαντες.

Ἀνέτειλε λαμπρότης, νῦν ὑμῖν ἀξίως. καὶ εὐφροσύνη καρδίας ἐξηνθήσεν. ὅθεν ἀπέδρα ἡ λύπη, κατεσκηνώσατε.

Θεοτοκίον.

Νομὴν τὴν τοῦ θανάτου, ἔστησας Παρθένε, τὸν ζωοδότην τεκοῦσα καὶ Κύριον, ποιοῦντα τοὺς πίστει, σὲ μεγαλύνοντας.

Ὁ Εἱρμός.

„Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ
„διὰ σοῦ σεσωσμένοι Παρθένε ἁγνὴ,
„σὺν ἀσωμάτοις χορείαις, σὲ μεγαλύνον-
„τες.

Ἐξαποστειλάριον τῶν τριῶν Παίδων.
Τῶν Μαθητῶν ὁρώντων σε.

Ἀβραμιαῖοι Παῖδες ἐν Βαβυλῶνι, τὴν ἑπταμέτροις καύσεσι πυργουμένην, φλόγα κατεπάτησαν παραδόξως, ἐν εὐφροσύνῃ ψάλλοντες· ἡ κτίσις πᾶσα ὑμνείτω, τὸν Κτίστην εἰς τοὺς αἰῶνας.



Digitized by Google

Ἕτερον. Ἐπεσκέψατο ἡμᾶς.

Θείας πίστεως ὕδωρ, ὑπάρχει δυνατώτερον. καὶ γὰρ οἱ ὅσιοι Παῖδες, ἔσβεσαν δύναμιν πυρός, ἔφραξε δὲ καὶ στόματα, Δανιὴλ τῶν Λεόντων, ὃν νῦν ἀνευφημήσωμεν.

Ἕτερον τοῦ Προφήτου. Τοῖς μαθηταῖς.

Ὁ ἐν Προφήταις μέγιστος, Δανιὴλ νῦν τιμάσθω. Χριστὸν γὰρ τὸν Θεὸν ἡμῶν, εἶδε λίθον τμηθέντα, ἄνευ χειρῶν ἀπὸ Ὄρους, τῆς ἁγνῆς Θεοτόκου. σὺν τούτῳ ἀνευφημείσθωσαν, καὶ οἱ τρεῖς Παῖδες οὕς περ, σώζει πυρός, ἀβλαβεῖς καμίνου τύπος Παρθένου, ὁ Θεῖος καὶ ἀπόρρητος, δι᾽ οὗ σέσωσται κόσμος. Θεοτοκίον. Ὅμοιον.

Μυσταγωγεῖται πανάγνε, διὰ Πνεύματος θείου, Δανιὴλ ὁ σοφώτατος, καὶ προγράφουσι πίστει, Ἀβραμιαῖοι τρεῖς Παῖδες, σοῦ τὸν ἄσπορον τόκον. ὁ ὢν γὰρ τῇ θεότητι, ἀπερίγραπτος Λόγος, ἐκ σοῦ σαρκί, θέλων περιγράφεται Θεοτόκε, ἐν Βηθλεὲμ τικτόμενος, εἰς βροτῶν σωτηρίαν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ ΙΗ΄.

Τοῦ Ἁγίου Μάρτυρος Σεβαστιανοῦ, καὶ τῶν σὺν αὐτῷ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. προσόμοια. Ἦχος α΄.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

Αἱμάτων τιμίων σου βαφαῖς, Μάρτυς κατεσκεύασας, σαυτῷ πορφύραν πολύτιμον. ἣν στολισάμενος, κατοικεῖς τὰ ἄνω, ἀληθῶς βασίλεια, Θεῷ παμβασιλεῖ παριστάμενος. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Σεβαστιανῷ συναθλεῖ Ζωή, Μάρκος Μαρκελλῖνός τε, καὶ ὁ Θεόφρων Τιβύρτιος, καθυπομείναντες, τρικυμίας πόνων, καὶ νῦν κατεσκήνωσαν, πρὸς ἄπονον καὶ θείαν κατάπαυσιν. ἐν ᾗ πρεσβεύουσι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἀήττητοι μάρτυρες τῇ γῇ, τὰ τῆς γῆς ἐάσαντες, πρὸς Οὐρανοὺς ἀνεδράμετε, ὑμῶν τοῖς στίγμασι, καθωραϊσμένοι, καὶ σεπτοῖς παθήμασι, λαμπρῶς πεποικιλμένοι μακάριοι. διὸ πρεσβεύσατε, δωρηθῆναι.

Δόξα, καὶ νῦν. Θεοτ. Ὅμοιον.

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ Μυστήριον, προφητικοῖς εἶδεν ὄμμασι, βάτον μὴ φλέγεσθαι, εἴπερ καιομένην. πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου ἁγνὴ οὐ κατέφλεξε. διὸ αἰτοῦμέν σε, ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην, τῷ Κόσμῳ σου δώρησαι. Σταυροθεοτ. Ὅμοιον.

Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι. Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Μάρτυρος.

Οὗ ἡ ἀκροστιχίς.

Θεῖον σέβας σοι Μάρτυς ἐμφρόνως νέμω. Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος α΄.

Σοῦ ἡ τροπαιοῦχος.

Θείαις φαιδρυνόμενος αὐγαῖς, τῆς σεβασμίου Τριάδος ἀοίδιμε, πίστει τοὺς τιμῶντάς σου, τὴν φωταυγῆ καὶ ἱερὰν πανήγυριν, σοῦ ταῖς ἱκεσίαις, φωτὸς μετόχους ἀνάδειξον.

Ἔχων λογισμὸν φωτοειδῆ, καὶ δεκτικὸν καθαρῶν ἐπιλάμψεων, μόνον ἐπεπόθησας, τὸ ὄντως ὄν, ὡς νουνεχὴς καὶ φρόνιμος, Μάρτυς ἀθλοφόρε, καὶ τούτου πίστει τετύχηκας.

Ἱδρῶσιν ἐνθέοις ἀληθῶς, τὰ τῆς σαρκὸς ἀμαυρώσας φρονήματα, αἵμασιν ἀθλήσεως, τοὺς θολεροὺς χειμάρρους ἀπεξήρανας, τῆς πολυθείας, θεόφρων, Μάρτυς πολύαθλε.

Ὅμιλον προσῆξας ἀθλητῶν, διδασκαλίαις σου θείαις τῷ κτίσαντι, πᾶσαν τὴν διάνοιαν, τὸν διώκτην καταβαλὼν τῇ χάριτι, Πνεύματος ἁγίου, μεθ᾽ ὧν πρεσβεύεις σωθῆναι ἡμᾶς.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Νέον ἀπεκύησας Υἱὸν, τὸν πρὸ αἰώνων Πατρὶ συννοούμενον, φύσεως καινίσασα, μόνη ἁγνὴ, παρθενομῆτορ ἄχραντε, ἐν τῇ ὑπὲρ φύσιν, σεπτῇ καὶ θείᾳ γεννήσει σου. ᾨδὴ γ'. Ὁ μόνος εἰδώς.

Στρατὸν ἐπαγόμενος σεπτὸν, τῆς θείας ὅπλοις πίστεως, ὀχυρωμένον Μάρτυς ἀήττητε, τὰς παρατάξεις τοῦ πολεμήτορος, καὶ τὰ πανουργεύματα, τῶν Τυράννων ἅπαντα, κατέβαλες θέρμῃ τοῦ Πνεύματος.

Ἐρείσας ἐν πέτρᾳ μονητῇ, τὰς βάσεις τῆς καρδίας σου, εὐσεβοφρόνως Μάρτυς πολύαθλε, οὐ παρεσάλης τοῖς μηχανήμασι, τοῦ δολίου δράκοντος, ἀλλὰ πᾶσιν ἔρεισμα, εὐσεβείας ἐν Πνεύματι γέγονας.

Βελῶν ἐκκεντήσεις χαλεπὰς, ὑπέφερες δεσμούμενος, καὶ ἐπὶ ξύλου Μάρτυς τεινόμενος. Θεοῦ δὲ θείᾳ δυνάμει ἔνδοξε, ἄσινὴς ὁλόκληρος, αὖθις ἀπεδείκνυσο, καταισχύνων ἐχθροῦ μηχανήματα. Θτ.

Ἁγίασμα ὤφθης μονητὸν, τοῦ πάντας ἁγιάζοντος, καὶ καθαρὸν Πανάμωμε σκήνωμα. ἐκ σοῦ γὰρ ὤφθη, Θεὸς σαρκούμενος, καὶ διπλοῦς ταῖς φύσεσι, Κόσμῳ γνωριζόμενος, ἐν μιᾷ ὑποστάσει Θεόνυμφε.

Ὁ Εἱρμός.

„Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν
„ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορ-
„φωσάμενος, περίζωσόν με ἐξ ὕψους δύ-
„ναμιν, τοῦ βοᾷν σοι Ἅγιος, ὁ Ναὸς ὁ
„ἔμψυχος, τῆς ἀχράντου σου δόξης φιλάν-
„θρωπε.

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τῷ βίῳ τῷ φαιδρῷ, συναστράπτοντα ἔχων, τὸν λόγον ἱερῶς, ἐφελκύσω ἀγέλας, πιστῶν πρὸς εὐσέβειαν. μεθ' ὧν χαίρων ἐνήθλησας, πᾶσαν κάκωσιν, ὑπομενων τῶν Τυράννων. ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, τελοῦντες ὑμνοῦμέν σε.

Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς βάθος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὢ θαύματος φρικτοῦ, ὢ καινοῦ μυστηρίου, ἐβόα ἡ ἁγνὴ, καὶ πανάμωμος Κόρη, ἐν ξύλῳ ὡς ἔβλεψε, τανυθέντα σε Κύριε. πῶς ἀδέκαστε, κριτὰ ἁπάντων καὶ Λόγε, ὡς κατάκριτος, ὑπὸ κριτῶν παρανόμων, Σταυρῷ κατακέκρισαι;

ᾨδὴ δ'. Ὄρος σε τῇ χάριτι.

Ἔνθεος σοι Τιβούρτιε, δωρεῖται ὁ Κύριος, δι' ἀσθενείας τῆς σαρκὸς, καταπαλαῖσαι τὸν ἐχθρόν. πυρὶ γὰρ φλογιζόμενος, νεανικῶς, ἐπέβης Μάρτυς στερρότατα, καὶ τὴν οὐράνιον δρόσον ἀντέλαβες.

Συνήφθης τοῖς ἄνω, λειτουργοῖς ὦ Τιβούρτιε, ὡς λειτουργήσας τῷ Χριστῷ, καὶ ἀνενέγκας καθαρὰς, θυσίας ἐν Πνεύματι, ἱερουργὲ, Μαρτύρων κλέος, καὶ καύχημα, χαρμονικῶς διὰ τοῦτο τιμῶμέν σε.

Ὄρθιος κρεμάμενος, καὶ πλήκτροις ξεόμενος, καὶ ταῖς σφοδραῖς τῶν αἰκισμῶν, περικυκλούμενος φοραῖς, καὶ βόθρῳ χωννύμενος, καὶ ἐν αὐτῷ, τὸ θεῖον τέλος δεχόμενος, ὁ γενναιόφρων ἠγάλλετο Κάστουλος.

Ἰάσεις ἐν Πνεύματι, Ἁγίῳ μακάριε, ἐπιτελῶν πρὸς φωτισμὸν, τῶν καθορώντων εὐσεβῶς, λαοῖς τὸν σωτήριον, θεοπρεπῶς Σεβαστιανὲ κατήγγειλας, μαρτυρικῶς δὲ τὸν δρόμον ἐτέλεσας.

Θεοτοκίον.

Μόνην σε πασῶν, ἐκ γενεῶν ἐξελέξατο, ὁ ὑπερούσιος Θεὸς, καὶ οὐσιώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος, ὁ πλαστουργὸς, καὶ τῆς ἀνθρωπίνης ὑπάρξεως, Θεογεννῆτορ πανάμωμε Δέσποινα.

ᾨδὴ έ. Ὁ φωτίσας.

Αἱ τρίβοι σου, καὶ πορεῖαι πρὸς μόνον φερόμεναι, τὸν Κύριον, ἀνοδίας ἐχθρῶν ὑπεξέκλιναν, καὶ πολλοῖς γεγόνασιν, ὁδὸς εὐθεῖα καὶ πραεῖα, Μάρτυς Χριστοῦ πανσεβάσμιε.

Ῥητορεύει, Μαρκελλῖνος καὶ Μάρκος σοφώτατα, πρὸ βημάτων, τοῦ Χριστοῦ τὴν σωτήριον ἔλασιν. προσδεθέντες ἄμφω δὲ,



Digitized by Google

κέντροις τοὺς πόδας καθηλοῦνται, μαρτυκῶς κλειζόμενοι.

Τὸ πάθημα, τοῦ τὰ πάθη ἡμῶν θανατώσαντος, Μαρκελλῖνος, καὶ ὁ Μάρκος στεῤῥῶς εἰκονίζοντες, λόγχῃ σφαγιάζονται, καὶ στεφηφόροι ταῖς χορείαις, τῶν ἀθλοφόρων συνάπτονται.

Θεοτοκίον.

Ὑπέρφωτε, τοῦ Ἡλίου Νεφέλη παράμωμε, ἀπέλασον, τῆς ψυχῆς μου τὰ νέφη πρεσβείαις σου, καὶ τὸν νοῦν μου φώτισον, τῇ ἀμελείᾳ σκοτισθέντα· ὅπως ὑμνῶ σε Παναμώμητε.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

Στεῤῥότητι γνώμης σεβασμιώτατε, ἐδείχθης ἀταπείνωτος, ἐν τῷ τύπτεσθαι ταῖς ῥάβδοις ἀφειδῶς, καὶ κατακεντᾶσθαι πολλοῖς τοῖς βέλεσιν. ὅθεν πρὸς φῶς, μετέβης χαίρων Μάρτυς ἀνέσπερον.

Ἐμάρυσε Χριστὸς ἀγωνιζόμενον, καὶ δαίμοσι μαχόμενον, καὶ αἰκίαις ὁμιλοῦντα χαλεπαῖς, Σεβαστιανὲ μάρτυς ἀήττητε, καὶ πρὸς αὐτὸν, ἀποσκοποῦντα καρδίας ὄμμασι.

Μοχλεύσεσιν ἐῤῥαῖς πανσόφων λόγων σου. τὴν πλάνην ἀνεμόχλευσας, καὶ σεβάσματα κατέαξας ἐχθρῶν, καὶ εἰδωλικοὺς ναοὺς ἠδάφισας, καὶ σεαυτὸν ναὸν τοῦ θείου ἤγειρας Πνεύματος.

Θεοτοκίον.

Φθαρεῖσαν τὴν ἡμῶν ἐκ παραβάσεως οὐσίαν ἀνεκαίνισας, τὸν καινίζοντα τὰ πάντα θεϊκῷ, μόνῳ τῷ βουλήματι κυήσασα, ἐν γυναιξὶν ἀλοχευμένη Θεοχαρίτωτε.

Ὁ Εἱρμός.

„Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ „ἔστιν ὁ ῥυόμενος. ἐλογίσθημεν ὡς „πρόβατα σφαγῆς. σῶσον τὸν λαόν σου „ὁ Θεὸς ἡμῶν. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων „καὶ ἐπανόρθωσις.

Τῷ αὐτῷ Μηνὶ ΙΗ'. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Σεβαστιανοῦ, καὶ τῶν σὺν αὐτῷ, Ζωῆς, Τραγκυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου, καὶ Μάρκου.

Σεβαστιανὸς τῶν πλάνης σεβασμάτων,
Καταφρονήσας τύπτεται τὸ σαρκίον.
Ὀγδοάτῃ δεκάτῃ Σεβαστιανὸς ῥοπαλίσθη.
Ζωὴ πρὸς ὕψος εἰς κεφαλὴν ἠρμένου.
Καπνῷ δυσώδει λαμβάνει ζωῆς τέλος.
Καὶ βάλλετε σφοδρῶς μὲ συχνοῖς σφενδολίθοις.
Ἐκ καρδίας ἔκραξεν ὁ Τραγκυλῖνος.
Καὶ τοὺς περὶ Κλαύδιον ὧδε τακτέον.
Οὓς κἂν βυθὸς συνέσχεν, Οὐρανὸς φέρει.
Τιβουρτίου τέμνουσι τὴν θείαν κάραν,
Σύ μου Θεὸς κράζοντος, ὦ Θεοῦ Λόγου.
Κάστουλον εἷλον εἰς ἀπωλείας βόθρον.
Ὡς δ' οὐχ ὑπεῖξε γῆς ἐνεβλήθη βόθρῳ.
Ἐχθρῶν παγέντων οἷα λόγχαι καρδίαις.
Νύττεσθε λόγχαις Μάρκε καὶ Μαρκελλῖνε.

Οὗτος ὁ μὲν Σεβαστιανὸς, ἐκ τῆς συγκλήτου βουλῆς ὑπῆρχεν, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ Πόλεως Μεδιολάνων ὁρμώμενος, πολλοὺς πρὸς τὴν εὐσεβῆ πίστιν ἐνάγων. Μαρκελλῖνος δὲ καὶ Μάρκος οἱ αὐτάδελφοι, χρονίαν ὑπομείναντες καθεῖρξιν, καὶ πολλαῖς βασάνων ἰδέαις ὑποβληθέντες, ἐκελεύσθησαν ἀποτμηθῆναι. Ὁ δὲ πατὴρ αὐτῶν Τραγκυλῖνος, ἕλλην ὢν, καὶ Μαρκία ἡ μήτηρ, παρὰ μικρὸν τοῖς ὀδυρμοῖς ἐκώλυον αὐτοὺς τοῦ διὰ Χριστὸν παθεῖν. Τάχα δὲ ἂν τοῦτο ἐγεγόνει, εἰ μὴ Σεβαστιανὸς ὁ ἀοίδιμος παῤῥησιασάμενος, οὐ μόνον αὐτοὺς ἐστερέωσεν, ἀλλὰ καὶ Τραγκυλῖνον πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν, καὶ ἂν Τραγκυλῖνος τὸν Ἔπαρχον ἐκατήχησε πιστεύσαντα, Αὐτίκα οὖν ὁ Ἔπαρχος προσκαλεσάμενος τὸν ἐνδοξότατον καὶ μακάριον Σεβαστιανὸν, καὶ Πολύκαρπον τὸν πρεσβύτερον, ἠξίου σωτηρίας τυχεῖν, καὶ τῆς κατεχούσης αὐτὸν νόσου ἀπαλλαγῆναι. ἧς καὶ ἀπηλλάγη πιστεύσας τῷ Χριστῷ ὁλοψύχως, καὶ τὰ ἐν τῷ οἴκῳ εἴδωλα συντρίψας, καὶ βαπτισθείς. Ὁ δὲ μακάριος Γάϊος ὁ Ἐπίσκοπος, τὸν μὲν Μαρκελλῖνον καὶ Μάρκον τοὺς αὐταδέλφους, τῷ τῶν Διακόνων ἐγκαταλέγει τάγματι. τὸν δὲ τούτων πατέρα τῷ τῶν Πρεσβυτέρων, τὸν δὲ μακάριον Σεβαστιανὸν, Ἔκδικον τῆς Ἐκκλησίας καθίστησι. Κινηθέντος δὲ τοῦ διωγμοῦ, σὺν τούτοις Νικόστρατος. Κλαύδιος, Κάστωρ, Τιβούρτιος, Κάστουλος καὶ Ζωὴ, ἐπεὶ κατεσχέθησαν, διαφόρως ἐξε-

πνθ. ν.

Digitized by Google

παθόντες, τὸ πέρας τοῦ βίου δέχονται. Ὁ δὲ ἅγιος Σεβαστιανὸς μετακληθεὶς παρὰ τοῦ Διοκλητιανοῦ, καὶ ἐρωτηθεὶς, βέλεσι πυκνοῖς οἷα εἰκὸς κατατιτρώσκεται, καὶ ῥοπάλοις τὸ σῶμα καταθραύεται, καὶ εἰς μέρη κατατμηθεὶς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐβιώτου.

Στ. Ἤθλησεν Εὐβίωτος ἄχρις αἱμάτων,
Βίου δὲ τέρμα εὗρε χωρὶς αἱμάτων.

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐκ Θέματος Ὀψικίου, ἐκεῖσε γεννηθείς. Τὸν ἐνάρετον δὲ μετερχόμενος βίον, καὶ πολλὰ καθ' ἑκάστην θαύματα ἐκτελῶν, καὶ πολλοὺς πρὸς τὸν Κύριον ἐπιστρέφων, μυρίας θλίψεις παρὰ τῶν Ἑλλήνων ὑπέμεινε, δημώσεις, δεσμὰ, μάστιγας, κακώσεις παντοίας. Ὅθεν μιᾷ τῶν ἡμερῶν, εἰς πῦρ ἐμβληθεὶς, καὶ ἀβλαβὴς διαμείνας, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο πίστιν. Διὰ τοῦτο μετάπεμπτος γίνεται παρὰ τοῦ τῆς Κυζίκου Ἡγεμόνος Λεοντίου. καὶ ἐρωτηθεὶς, λίθοις τὰς παρειὰς καὶ τὸ στόμα τύπτεται. καὶ ξύλῳ ἐξαρτηθεὶς μαστίζεται, καὶ θηρίοις ἐκδίδοται. καὶ ἄσινης διαμείνας, τῇ εἱρκτῇ ἐναπορρίπτεται. Θαύματα δὲ ἐκτελέσας παράδοξα, πολλοὺς Χριστιανοὺς ἐκ Ἑλλήνων εἰργάσατο. ὅθεν ὁ Τύραννος ὀργισθεὶς, τοῖς μονομάχοις ἐκέλευσε κατασφάξαι αὐτόν. Οὗτοι δὲ σκότους ἐπιπεσόντος αὐτοῖς, ἀλλήλους κατέσφαξαν. ὁ δὲ Μάρτυς ἀβλαβὴς διαμείνας, τῇ φρουρᾷ ἐναπετέθη. Ἐπεὶ δὲ ὁ μέγας Κωνσταντῖνος ἀπὸ ἑσπερινῶν τμημάτων, ἐπὶ τὰ ἑῷα διέβαινε, δείσας ὁ Τύραννος, τοὺς ἐν δεσμοῖς ἅπαντας ἀπολυθῆναι ἐκέλευσε. μεθ' ὧν καὶ ὁ μακάριος οὗτος ἀπολυθεὶς, οἴκαδε παρεγένετο. καὶ πέντε ἔτη ἐπιβιοὺς, πολλὰ ἐργασάμενος θαύματα, ἐν εἰρήνῃ τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φλώρου, Ἐπισκόπου Ἀμισοῦ.

Στ. Εἴκων ὁ Φλῶρος τῇ πάλαι κατακρίσει,
Εἰς γῆν ἀπῆλθε. γῆ γὰρ ἦν, καὶ τί ξένον;

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας τοῦ μὲν Ἰουστίνου, καὶ Τιβερίου, καὶ Μαυρικίου ἐν Κωνσταντινουπόλει, πατρὸς ὁμωνύμου αὐτῷ Φλώρου, καὶ μητρὸς Εὐφημίας. Γέγονε δὲ πάσης παιδεύσεως ἔμπειρος, τῆς ἑλληνικῆς, καὶ τῆς ἐν ἱεραῖς καὶ θείαις γραφαῖς. καὶ πρῶτον μὲν ἐν τοῖς ὑπογραφεῦσι τελεῖ τῶν Βασιλέων. εἶτα εἰς τὴν τῶν Πατρικίων ἀνάγεται τάξιν. Γυναῖκα δὲ γήμας, καὶ παίδων πατὴρ γεγονὼς, καὶ τούτων παρανάλωμα τῆς λοιμικῆς καταστάντων νόσου, αὐτὸς τὸν μοναδικὸν βίον μετῆλθεν, ἔν τινι τῶν κτημάτων αὐτοῦ, ἐν τῷ Ἀνάπλῳ προσκαθεσθείς. Εἶτα διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν Ἐπίσκοπος προχειρίζεται Ἀμισοῦ. Ἐν αὐτῇ δὲ γενόμενος, καὶ καλῶς τὸ πιστευθὲν αὐτῷ ποίμνιον ὁδηγήσας, θαυματουργίας πλείστας πεποιηκὼς, πρὸς Κύριον ἐκδημεῖ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Φωκᾶ καὶ Ἑρμύλου, διὰ ξίφους τελειωθέντων.

Στ. Ἔγωγε τμηθῶ πρῶτον Ἑρμύλος λέγει.
Οὔ φησι Φωκᾶς, ἀλλ' ὁ Φωκᾶς Ἑρμύλε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ζακχαίου διακόνου, καὶ Ἀλφαίου ἀναγνώστου, ἀθλησάντων ἐν Καισαρείᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας καὶ Θαυματουργοῦ Σοφίας, καὶ τὰ Ἐγκαίνια τοῦ σεβασμίου Οἴκου τῆς ὑπεραγίας Θεοτόκου, ἐν τοῖς Χαλκοπρατείοις.

Καὶ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μιχαὴλ Συγγέλου τοῦ ὁμολογητοῦ.

Στ. Οὐκ, εἰ τελευτᾷς Μιχαὴλ, τοῦτο ξένον,
Ἀλλ' εἰ θανὼν ζῇς, ὥσπερ οὖν ζῇς ἀξίως.

Οὗτος ὑπῆρχεν ἐκ τῆς ἁγίας Πόλεως Ἱερουσαλὴμ, εὐσεβῶν γονέων χρηματίσας υἱός. Παιδευθεὶς οὖν ἄκρως τὴν Ἑλλήνων σοφίαν, καὶ τὴν ἡμετέραν ἐκμελετήσας καλῶς, τὸν μονήρη βίον ὑποδύεται. Τελευτήσαντος δὲ τοῦ πατρὸς αὐτοῦ, τῆς δὲ μητρὸς μετὰ τῶν αὐτῆς θυγατέρων ἔν τινι Μοναστηρίῳ ἀποκειραμένων, καλῶς καὶ θεοφιλῶς ὁ μέγας Μιχαὴλ πολιτευόμενος, καὶ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλὼν παντοίᾳ

τῆς

Digitized by Google

τῆς τοῦ πρεσβυτέρου ἀξιοῦται χειροτονίας. Ἔπειτα σπήλαιον ἥσυχον ὑπεισέρχεται. ἐν ᾧ Θεόδωρος καὶ Θεοφάνης, οἱ ὁμολογηταὶ καὶ φιλόσοφοι, πρὸς αὐτὸν ἐφοίτησαν. Εἶτα ὁ μὲν μακάριος Μιχαήλ, Σύγγελος παρὰ τοῦ Ἱεροσολύμων Ἐπισκόπου καθίσταται, οἱ δὲ θεῖοι αὐτάδελφοι, Θεόδωρος καὶ Θεοφάνης, ἱερεῖς καὶ λειτουργοί. Καί ποτε πράγματος ἀναγκαίου ἕνεκα παρὰ τοῦ προεστῶτος Ἱεροσολύμων εἰς Ῥώμην στέλλονται, δῶρά τε καί τινας λιβέλλους κατὰ πάροδον συνοδικοὺς τῷ τε Βασιλεῖ Λέοντι τῷ Ἀρμενίῳ καὶ εἰκονομάχῳ, καὶ Θεοδότῳ, τῷ τότε τῆς Κωνσταντίνου πατριαρχοῦντι. Οὗτοι τοίνυν οἱ τρισόλβιοι τῷ ἀποστείλαντι πειθόμενοι, τοὺς λιβέλλους ἐπιδεδώκασι, πολλὰ καὶ αὐτοὶ δογματικὰ προτείναντες τοῖς ἀντιλέγουσι ῥήματα. Διὰ τοῦτο, τὸν μὲν Θεόδωρον, καὶ Θεοφάνην ὑπερορίᾳ καταδικάζει ὁ Τύραννος. Τὸν δὲ μακάριον Μιχαὴλ σὺν τῷ ἀδελφῷ Ἰὼβ τῷ πραιτωρίῳ ἐνέκλεισεν. Ἐκεῖθεν τε παρὰ Μιχαὴλ τοῦ Τραυλοῦ ἁλύσεις βαρείας κατὰ τοῦ τραχήλου δεξάμενος, ἔν τινι τῶν μοναστηρίων Πλουσιάδος ἅμα τῷ μαθητῇ ἐκπέμπεται. Ὅθεν ἐκ τῆς πολλῆς κακώσεως, ἐπίχυσιν τοῖς ὀφθαλμοῖς καὶ κύρτωσιν σὺν τῷ λοιπῷ σώματι παθών, ἀκίνητος ὁ ἀδάμας διέμεινεν. Ἐπεὶ δὲ Θεοδώρα καὶ Μιχαὴλ τὴν βασιλείαν ἐδέξαντο, καὶ τὰ τῶν Ἁγίων ἐκτυπώματα πᾶς τις ἐτίμα παῤῥησίᾳ, καὶ οἱ ἐν ἐξορίᾳ ἀνεκαλοῦντο, καὶ τῆς τιμῆς οὐ τῆς τυχούσης ἠξιοῦντο, τὸ τῆς Πατριαρχείας ἀξίωμα καὶ οὗτος ὁ μέγας ὁμολογητὴς παρὰ τῆς Βασιλίσσης ἠξιοῦτο καταδέχεσθαι. Ἐπεὶ δὲ μὴ εἶκε, Πατριάρχης μὲν ὁ Ἅγιος Μεθόδιος προχειρίζεται, αὐτὸς δὲ αὖθις Σύγγελος τιμᾶται, καὶ τὴν μεγίστην Μονὴν τῆς Χώρας, εἰς ἰδίαν ἐξουσίαν καὶ ἀνάπαυσιν δέχεται. Εὐσεβῶς δὲ καὶ θεαρέστως τὸν ἐπίλοιπον χρόνον βιώσας, ἐτῶν ὀγδοήκοντα πέντε γενόμενος, κατὰ τὴν ὀκτωκαιδεκάτην τοῦ Δεκεμβρίου μηνὸς ἐν εἰρήνῃ πρὸς Θεὸν μεθίσταται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Μοδέστου, Ἀρχιεπισκόπου Ἱεροσολύμων.

Στίχ. Φέρει Μόδεστε παμμάκαρ καὶ σὸν τάφον,
Ἡ τὸν τάφον φέρουσα γῆ τοῦ Κυρίου.

Οὗτος ἐξ ὀρθοδόξων μὲν ἔφυ γονέων, ἐκ Πόλεως Σεβαστείας. ὧν ὁ μὲν πατὴρ Εὐσέβιος, ἡ δὲ μήτηρ Θεοδούλη. Στείρας δὲ τυγχανούσης τῆς Θεοδούλης, προσευχῇ ἀμφοτέρων τῶν γονέων καὶ ὁμοζύγων, δίδοται τούτοις υἱὸς, ὁ μέγας οὗτος πατὴρ μετὰ τεσσαρακοστὸν ἔτος τῆς κοινῆς συναφείας αὐτῶν. Μετὰ δὲ τὴν τοῦ μεγάλου τοῦδε γέννησιν, διαβάλλεται ὁ τούτου πατὴρ πρὸς Μαξιμιανὸν ὡς Χριστιανὸς, καὶ δεσμωθεὶς εἱρκτῇ κατακλείεται. Ὅπερ μαθοῦσα ἡ Θεοδούλη, καὶ αὐτὴ τὴν εἱρκτὴν κατέλαβε μετὰ τοῦ παιδός. ἐν ᾗ ἄμφω τοῦ Κυρίου δεηθέντες, ἐν εἰρήνῃ τὰ πνεύματα χερσὶν Ἀγγέλων παρέθεντο, Μάρτυρες τῇ προαιρέσει γενόμενοι. Οὓς οἱ δεσμοφύλακες τεθνεῶτας εὑρόντες, τὸ δὲ παιδίον μέσον ἀμφοῖν κείμενον ζῶν, ἀνελόμενοι τοῦτο τῷ Μαξιμιανῷ ἀπεκόμισαν, πέντε τηνικαῦτα τυγχάνον μηνῶν. Ὁ δὲ ἀστεῖον αὐτὸ καὶ χαρίεν θεασάμενος, ἑνὶ τῶν Συγκλητικῶν παρέδωκεν, ὡς ἂν ἐπιμελῶς ἐκτραφῇ παρ᾽ αὐτοῦ, ὡς ἄξιον γενόμενον τῆς τοῦ Διὸς θεραπείας. Παρὰ τούτῳ τοίνυν τρεφόμενος ὁ μακάριος Μόδεστος, τίνων τε γονέων ἔφυ μαθών, καὶ ὅπως τῶν ὑπὲρ Χριστοῦ θανέντων, ἐντυγχάνει τινὶ, τὸν τρισκαιδέκατον τῆς ἡλικίας χρόνον ἀνύων, Χριστιανῷ διδασκάλῳ περιτυχών. Καὶ παρ᾽ ἐκείνου μυηθεὶς τὴν εὐσέβειαν, ὅλος αὐτῆς γέγονεν. Ἤχαλλε δὲ παρ᾽ Ἕλλησι διαπωλούμενος. Καί ποτε τοῦ Μαξιμιανοῦ πάνδημον θυσίαν κηρύξαντος, αὐτὸς κατὰ τὸ μνῆμα τῶν οἰκείων γεννητόρων γενόμενος, περιπαθῶς ἐδέετο τούτων, τῆς τῶν Ἑλλήνων αὐτὸν ἐξελέσθαι χειρὸς, ἵνα καὶ τοῦ θείου Βαπτίσματος ἀξιωθῇ. Εὑρὼν οὖν ἀργυροκόπος τις αὐτὸν, ὁρμώμενος Ἀθήνηθεν, προσελάβετο τοῦτον, καὶ πρὸς τὰς Ἀθήνας ἀπήγαγε, θαύματα διάφορα κατὰ τὴν ὁδὸν πεποιηκότα. Καὶ

τῷ

Digitized by Google

τῷ τοῦ τόπου Ἀρχιερεῖ τοῦτον παραστησάμενος, μυηθῆναι καὶ βαπτισθῆναι πεποίηκεν. Ὃς στῦλον ἑώρα πυρὸς οὐρανόθεν κατιόντα, καὶ τῇ τοῦ βαπτιζομένου κορυφῇ ἐπιστηριζόμενον. μετὰ δὲ τὸ Βάπτισμα, τὴν τοῦ ἀργυροκόπου ὁμαίμονα ἐκ νόσου θανατηφόρου προσευχῇ καὶ προσψαύσει μόνῃ ἐξήγειρε, καὶ δαιμονῶντα ἰάσατο ἕτερον. Εἶτα τοῦ ἀργυροκόπου, καὶ τῆς ἐκείνου συμβίου θανόντων, κληρονόμος αὐτὸς σὺν τοῖς υἱοῖς αὐτῶν ἐγγραφεὶς ταῖς διαθήκαις αὐτῶν, τὸ μὲν οἰκεῖον λαχὸν τοῦ κλήρου τοῖς τοῦ ἀργυροκόπου υἱοῖς ἐχαρίσατο, αὐτὸς δὲ τοῖς ἐρημικωτέροις τόποις διατρίβων, διῆγεν ἀσκητικῶς. Οἱ δὲ τοῦ ἀργυροκόπου υἱοὶ, ὁρῶντες αὐτὸν παρὰ πάντων τιμώμενον διὰ φθόνον μὴ φέροντες, ἐμπορείας χάριν ἀποδημῆσαι μέλλοντες, ἔπεισαν τὸν μακάριον συναποδημῆσαι αὐτοῖς. Καὶ γενόμενοι ἐν Αἰγύπτῳ, πωλοῦσι τοῦτον ὡς δοῦλον ἀπίστῳ ἀνδρί. παρ' οὗ μυρία ὑπέστη δεινὰ ἐφ' ὅλοις ἔτεσιν ἑπτά. Ὃν δι' ἐπιμόνου δεήσεως πρὸς Θεὸν, πλάνης ἀπαλλάξας, καὶ τῷ θείῳ συμμυηθῆναι πείσας Βαπτίσματι, νοσήσαντα δεινῶς ὑγιῆ πεποίηκε, καὶ μετὰ θάνατον ἐκείνου, εἰς προσκύνησιν τοῦ ζωοδόχου Τάφου τοῦ Κυρίου ἀπῆλθεν. Εἶτα εἰς τὸ Σινὰ ὄρος γενόμενος, καὶ τῷ Θεῷ προσανέχων, πολλὰ θαύματα ἐπετέλεσε. Τοῦ δὲ Ἀρχιερέως τῶν Ἱεροσολύμων θανόντος, ἐξ ἀποκαλύψεως Ἀρχιερεὺς χειροτονεῖται ὁ μακάριος Μόδεστος, πεντηκοστὸν ἔνατον ἄγων χρόνον τῆς ζωῆς αὐτοῦ. Θαυματουργεῖ δὲ κἀνταῦθα πολλά. Ἀνδρὸς γάρ τινος Ἱεροσολυμίτου πολυκτήμονος ἔθνησκε τὰ ζῶα, τῆς πηγῆς ὑπὸ ὄφεως φαρμακωθείσης ἐπηρείᾳ τοῦ δαίμονος, ἐν ᾗ ἐποτίζοντο. εἰς ἣν ἐπιστὰς ὁ Ἅγιος, τά τε ζῶα ἀνέστησε, καὶ τὸν ὄφιν ἐνέκρωσε, καὶ τὸν δαίμονα ὀφθῆναι τοῖς παροῦσιν ὡς κύνα ἐποίησε, τὸ φοβερὸν ἐπομνύμενον ὄνομα τοῦ Θεοῦ, μὴ πλησιάσαι ποτὲ ἔνθα τὸ τοῦ ἁγίου ὄνομα ἐπικέκληται. καὶ τοὺς τοῦ ἀργυροπράτου παῖδας τοῖς Ἱεροσολύμοις ἐπιδημήσαντας δι' ἐμπορείαν, τοὺς ἐν Αἰγύπτῳ αὐτὸν ἀπεμπωλήσαντας, (ἠγνόησαν γὰρ αὐτὸν Ἀρχιερέα γεγονέναι τῆς Πόλεως,) οὐ μόνον οὐκ ἠμύνατο, ὧν εἰς ἑαυτὸν διεπράξαντο, ἀλλὰ καὶ ἀσπασίως δεξιωσάμενος, φιλοφρόνως ἐξένισε, καὶ μεγαλοπρεπῶς εὐηργέτησεν. Οὕτω γοῦν ὁσίως πολιτευσάμενος, καὶ ὀκτὼ πρὸς τοῖς τριάκοντα τῇ ἀρχιερωσύνῃ χρόνοις ἐπιβιοὺς ὁ μέγας οὗτος Πατὴρ, ὡς εἶναι τὸν ἅπαντα τῆς ζωῆς αὐτοῦ χρόνον ἐνενήκοντα ἑπτὰ, πρὸς τὰς αἰωνίους μονὰς ἐξεδήμησεν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Σὲ νοητὴν, Θεοτόκε κάμινον.

Ῥώμῃ τῇ σῇ, κραταιᾷ ἀνδρυνόμενοι, οἱ ἀθλοφόροι σου Χριστὲ, ἐτροπώσαντο τὸν ἐχθρόν. πλάνην κατεπάτησαν, σώματα παρέδωκαν, τοῖς αἰκισμοῖς ἀναμέλποντες· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Οἱ θεαυγεῖς, ἀθλοφόροι Μάρτυρες, ἀγωνισάμενοι καλῶς, Μαρκελλῖνος καὶ ὁ κλεινὸς, Μάρκος καὶ Τιβούρτιος, Κάστουλος ὁ πάνσοφος, πρὸς Οὐρανὸν μετετέθησαν, τὸν αἰνετὸν ἀνυμνοῦντες, Θεὸν τὸν ὑπερένδοξον.

Νεανικῶς, ἀθλητὰ Τιβούρτιε, ὥσπερ οἱ παῖδες τῇ πυρᾷ, ἐπιβέβηκας νοητῶς, δρόσον τὴν τοῦ Πνεύματος, ἄνωθεν δεχόμενος, καὶ μελῳδῶν ἐμμελέστατα· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὥσπερ ἀμνὰς, κρεμαμένη ἔνδοξε, ἐναπηγχόνησας ἐχθρὸν, ταῖς μάστιξι τῶν μαρτυρικῶν, πόνων σου πανεύφημε, ζῇς δὲ μετὰ θάνατον, μάρτυς Ζωὴ ἀναμέλπουσα· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Στάμνον χρυσῆν, παναγίαν Τράπεζαν, τοῦ θείου ἄρτου τῆς ζωῆς, ὀνομάζομεν σε ἁγνὴ, τόπον ἁγιάσματος, Θρόνον ὑψηλότατον, ἐν ᾧ Θεὸς ἀνεπαύσατο· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

Νεκρωθῆναι Κόσμου βουληθεὶς, καὶ τοῖς ἐν Κόσμῳ πᾶσι, τῆς ὄντως κατηξιώθης, ἀεισέβαστε ζωῆς, βοῶν προθυμότατα· εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον

Digitized by Google

ριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἔνθεντό σε ἄνομοι δεινῶς, ἐν λάκκῳ κατωτάτῳ, χωννύντες καὶ θανατοῦντες, ἀναμέλποντα τρανῶς, ἀοίδιμε Κάστουλε· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μακαρίας ἔτυχες ζωῆς, ὡς ἐπώνυμος ταύτης. πνιγμῷ γὰρ βιαιοτάτῳ, τὴν ἐπίκηρον ζωὴν, κατέλιπες μέλπουσα· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Θεοτοκίον.

Ὡραιώθης τέξασα Θεὸν, ὡραῖον καὶ Δεσπότην, τὸν θείαις καταφαιδρύναντα, ἀκτῖσι τοὺς βροτοὺς, ἁγνὴ ᾧ κραυγάζομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύριον.

Ὁ Εἱρμός.

„Ἐν καμίνῳ παῖδες Ἰσραήλ, ὡς ἐν χω-
„νευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας,
„καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγον-
„τες· Εὐλογεῖτε πάντα τὰ ἔργα, τὸν Κύ-
„ριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάν-
„τας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Ἵνα θεϊκῆς λαμπρότητος, καὶ αἰωνίου δόξης καὶ ὡραιότητος, Σεβαστιανὲ, ἀξιωθῇς ἀξιάγαστε, τὰς βασάνους, τοὺς πόνους τὸν θάνατον, ὑπέμεινας ἀνδρείως· διό σε πάντες μακαρίζομεν.

Ὤφθης μέσον ἄστρων Ἥλιος, τῶν συναθλούντων Μάρτυς. καὶ νῦν φωτίζεται, ἄθλων ἱερῶν, ἱερωτάταις λαμπρότησιν, Ἐκκλησίας τὸ θεῖον στερέωμα, καὶ πᾶσαν Διαβόλου, διασκεδάζεις τὴν ἀπόνοιαν.

Ε-τέργοντες Χριστὸν Τιβούρτιος, καὶ Μαρκελλῖνος Μάρκος Ζωὴ καὶ Κάστουλος, Σεβαστιανῷ, καθηγητῇ καὶ θεόφρονι, συναθλοῦσι καὶ ἴσους κομίζονται, τῆς νίκης τοὺς στεφάνους, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Ἤρθη πρὸς μονὰς σκηνούμενος, φωτοειδὴς Μαρτύρων χορὸς ὁ ἔνθεος, καὶ τοὺς Οὐρανοὺς περιπολεῖ ἀγαλλόμενος, ὑπὲρ πάντων ἡμῶν τὸν φιλάνθρωπον, ἀεὶ παρακαλοῦντες, μακαριζόντων αὐτοὺς πάντοτε.

Θεοτοκίον.

Φρίττει νοερὰ Στρατεύματα, τὸ τοῦ Πατρὸς ὁρῶντα θεῖον ἀπαύγασμα, σοῦ ἐν ταῖς χερσὶν ἀνερμηνεύτως κρατούμενον, καὶ τὸ σὸν κεκτημένον ὁμοίωμα. ἵνα βροτοὺς θεώσῃ, Παρθενομῆτορ ἀπειρόγαμε.

Ὁ Εἱρμός.

„Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρ-
„πολουμένη Βάτος ἔδειξεν ἄφλεκτος,
„καὶ νῦν καθ' ἡμῶν, τῶν πειρασμῶν ἀ-
„γριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κά-
„μινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως
„μεγαλύνωμεν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΙΘ΄.

### Τοῦ Ἁγίου Μάρτυρος Βονιφατίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν κ̃. προσόμοια. Ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Εὔκλειαν ἐπόθησας, ἀποκειμένην τοῖς μάρτυσιν, ἀθλοφόρε πολύαθλε. καὶ πόνους ὑπήνεγκας, θαρσαλέῳ γνώμῃ, ἄπονον πρὸς λῆξιν, μετατεθῆναι προσδοκῶν, καὶ τὰ βραβεῖα ζητῶν κομίσασθαι. παμμάκαρ τὰ οὐράνια, καὶ Παραδείσου τὴν οἴκησιν, καὶ τὸ φῶς τὸ ἀνέσπερον, καὶ ζωὴν τὴν αἰώνιον.

Ὀνύχων σπαράγματα, καὶ χαλεπὰ ἐκκεντήματα, καὶ μολύβδου πυράκτωσιν, τῆς κάρας ἀφαίρεσιν, καὶ τοὺς δεινοτάτους, ὑπήνεγκας πόνους, καὶ προσετέθης τῷ χορῷ, τῶν ἀθλοφόρων χαίρων πολύαθλε. διό σου τὴν ἐτήσιον, ἐπιτελοῦμεν πανήγυριν, ἀθλητὰ Βονιφάτιε, τῶν Ἀγγέλων συμμέτοχε.

Δοῦλόν σε προπέμψασα, θεῖον δεσπότην ἀπέλαβεν, Ἀγλαῒς Βονιφάτιε, πάθων κυριεύσαντα, βεβασιλευκότα, ἀθέων τυράννων, καταβαλόντα τοὺς ἐχθροὺς, καὶ νίκης στέφος ἀναδησάμενον. διὸ ναόν σοι ἅγιον, περικαλλῆ τε δομήσασα, ἐν αὐτῷ ἐναπέθετο, ἱερῶς εὐφημοῦσά σε.

Δόξα,

Digitized by Google

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Κριτὴν Δικαιότατον, ἀποκυήσασα Δέσποινα, τὸν ἀσώτως βιώσαντα, δυσωπῶ ἱκέτευε, κατακεκριμένον, καὶ ἠπορημένον, ἐν τῇ μελλούσῃ φοβερᾷ, κρίσει Παρθένε μὴ κατακρῖναι με. συντάξαι δὲ τοῖς μέλλουσιν, ἐκ δεξιῶν τούτου ἵστασθαι, ἐκλεκτοῖς διὰ ἔλεος, καὶ πολλὴν ἀγαθότητα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Νεκρούμενον βλέπουσα, Χριστὸν ἡ πάναγνος Δέσποινα, καὶ νεκροῦντα τὸν δόλιον, ὡς Δεσπότην κλαίουσα, ὕμνει τὸν ἐκ σπλάγχνων, αὐτῆς προελθόντα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνέκραυγαζε. Τέκνον μου ποθεινότατον, μὴ ἐπιλάθῃ τῆς δούλης σου, μὴ βραδύνῃς Φιλάνθρωπε, τὸ ἐμὸν καταθύμιον.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἁγίου.

Οὗ ἡ ἀκροστιχίς.

Πιστῶς σε μέλπω μάρτυς ἠγλαϊσμένε.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος δ΄.

Τριστάτας κραταιούς.

Προθύμῳ λογισμῷ, τοὺς ἀγῶνας ζηλώσας, τῶν γενναίων ἀθλητῶν, ἐνήθλησας στερρῶς, καὶ τὸν ὄφιν ἐνέκρωσας, ἄθλοις σου τοῖς ζωηφόροις, ἱερὲ Βονιφάτιε, τῶν Ἁγίων Ἀγγέλων συνόμιλε.

Ἰδὼν ἐπὶ τῆς γῆς, τοῦ ἐχθροῦ τὴν ἀπάτην, κεχυμένην ἀληθῶς, γενναῖε ἀθλητά, τὴν ψυχὴν πυρπολούμενος, ἔρωτι τῷ θειοτάτῳ, ὑπεισῆλθες τὸ στάδιον, ἀπτοήτῳ τρισμάκαρ φρονήματι.

Σοφίᾳ θεϊκῇ, λαμπρυνόμενος μάκαρ, τοὺς ἀσόφους δυσμενεῖς, ἐμώρανας, Χριστὸν καταγγέλλων παχύτητι, σώματος ὁμοιωθέντα, οἷς ὀφθῆναι ἠθέλησε, Βονιφάτιε Μάρτυς πολύαθλε. Θεοτ.

Τὸ ὄρος τοῦ Θεοῦ, Δανιὴλ ὃ προεῖδε, τὴν Σκηνὴν τὴν νοητὴν, τὴν Πλάκα τὴν σεπτὴν, τὸ τῆς δόξης Ἁγίασμα, Τράπεζαν τὸν θεῖον ἄρτον, τὴν χωρήσασαν ᾄσμασι, τὴν ἁγίαν Παρθένον ὑμνήσωμεν.

Ὠδὴ γ΄. Ὅτι στεῖρα ἔτεκεν.

Ὡς ποθήσας ἔνδοξε, ἐλευθερίαν τὴν ἄνω, ἀπὸ ζυγοῦ δουλείας, λυτρῶσαι πάθη τὰ σεπτὰ, ἐζηλωκὼς ἀοίδιμε τοῦ δι᾽ οἶκτον, δούλου σχηματίσαντος.

Σαρκικῶν ἀνώτερος, ἀποδειχθεὶς φρονημάτων, ἐν ἀλλοιώσει θείᾳ, ἀθρόον πᾶσαν προσβολὴν, τῶν δυσχερῶν, ὑπήνεγκας γηθόμενος, Μάρτυς Βονιφάτιε.

Σεαυτὸν ἀπηρνήσω, καὶ πρὸς ἀγῶνας καὶ πάλας, τοῦ δυσμενοῦς ἐξῆλθες, Σταυροῦ τῷ ὅπλῳ κρατυνθεὶς, καὶ μιμητὴς, ἀοίδιμε δεδόξασαι, Μάρτυς Βονιφάτιε. Θεοτ.

Ἑαυτὸν ἐκένωσε, τοὺς πατρικοὺς μὴ κενώσας, ἐν τῇ γαστρί σου κόλπους, ὑπερούσιος Θεὸς, καὶ σὸς Υἱὸς, ἐγένετο Παναμώμε, σῶσαι τὸ ἀνθρώπινον. Ὁ Εἱρμός.

„Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε Συναγωγὴ, τῷ θαυμαστῷ, Θεῷ ἡμῶν βοήσωμεν· ἅγιος εἶ Κύριε.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τιμήσας τὸν Θεὸν, παρ᾽ αὐτοῦ ἐτιμήθης, Μαρτύρων καλλονὴ, Βονιφάτιε μάκαρ. διὸ καὶ στεφανῶν σε, θείας δόξης ἐκόσμησεν. ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ὑπὲρ ἡμῶν σε αἰτοῦμεν, πρεσβεύειν πρὸς Κύριον.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Νομίμως ἐνήθλησας, ἀγωνισάμενος, καὶ τύραννον ᾔσχυνας, καὶ τὰς θωπείας αὐτοῦ. Σταυρὸν ὁπλισάμενος, ἔφερες τῶν βασάνων, τὰ ἐπίπονα Μάκαρ. εἴληφας τὸν μισθόν σου, τὴν οὐράνιον δόξαν. διό σε ἱκετεύομεν, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ. Κυρία παναμώμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων, Πανάμεμπτε τῶν δούλων σου. Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ ἄνυμφος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο. τί τὸ καινὸν καὶ ξένον, τοῦτο Υἱέ μου θαῦμα; πῶς ἡ ζωὴ

Digitized by Google

τῶν ὅλων, ὁμιλεῖς τῷ θανάτῳ, ζωῶσαι τοὺς τεθνεῶτας, θέλων ὡς Εὔσπλαγχνος.

Ὠδὴ δ'. Δι' ἀγάπησιν οἰκτίρμων.

Μακαρίζων τῶν ἀθλούντων τὴν καρτερίαν, τῇ μιμήσει Μάρτυς, τῶν σεπτῶν παθημάτων, τύποις ἐξωμοίωσαι, Θεόφρων πανόλβιε.

Ἐπαγόμενος ἐν πίστει Μαρτύρων θείων, πρὸς συλλογὴν παμμάκαρ, σεαυτὸν τῇ ποθούσῃ, φόρτον ἀξιάγαστον, Θεόφρων ἀπέδωκας.

Λιπαινόμενος καθάπερ χρυσίον Μάρτυς, τῶν αἰκισμῶν χωνείᾳ, ἀειζότερος ὤφθης, φέρων τοῦ ποιήσαντος, παθῶν τὸ ἐκσφράγισμα. Θεοτοκίον.

Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην, καταμένουσα Κόρη, τὸν ἀφράστως τεχθέντα, Λόγον ἐκ λαγόνων σου, πιστῶς ἐμεγάλυνες.

Ὠδὴ ε'. Τὸν φωτισμόν σου Κύριε.

Ὡς φωταυγὴς ἀνέτειλας, ἀστὴρ ἀπὸ δυσμῶν, καὶ δύνας Μάρτυς, ἀθλήσει καρτερῶς, αὖθις πρὸς δυσμὰς ἐξανατέλλεις, καταυγάζων τὰ πέρατα.

Μαρτυρικῶς ἠγώνισαι, ὀνύχων σπαραγμοὺς, ὀξέα Μάρτυς, καλάμοις προσφέρων, καὶ τοῦ πονηροῦ τὰ κέντρα πίστει, ἀπαμβλύνων ἐν χάριτι.

Αἱ τοῦ ἐχθροῦ ἠσθένησαν, Θεόφρων ἐπὶ σοὶ, μηχανουργίαι. καὶ γὰρ τῇ πρὸς Θεὸν, νεύσει ἀκλινεῖ σαρκὸς αἰκίσεις, ὥσπερ ἄσαρκος ἔφερες. Θεοτοκίον.

Ῥῦσαί με τοῦ παντὸς ἀπόπλανον, Παρθένε τὴν ἐμὴν, ψυχὴν βοῶ σοι, καὶ σῶσόν με, ἡ τὸν ἀληθῆ Θεὸν Σωτῆρα, ἐπὶ γῆς σωματώσασα.

Ὠδὴ ϛ'. Ἐβόησε προτυπῶν.

Νυττόμενος, ταῖς πληγαῖς τῆς σαρκὸς κατεπλήγωσας, τοὺς ἀθέους, ἀνιάτως νοσοῦντας τὴν ἄγνοιαν, καὶ νοσούντων ὤφθης, ἰατρὸς ἀθλητὰ Βονιφάτιε.

Ὑψούμενος, πρὸς Θεὸν ἐπιδόσει μακάριε, τῶν ἀγώνων, δυσμενεῖς ἀοράτους κατέρραξας, καὶ κατερραγμένοις, βοηθὸς ἀθλοφόρε γεγένησαι.

Εὑρόμενος, ἐπὶ γῆς ὥσπερ λίθος πολύτιμος, Θεοφόρε, τὸ τῆς πλάνης καθεῖλες ὀχύρωμα, καὶ πιστῶν καρδίας, ἐπὶ πλεῖον τῇ πίστει ἐστήριξας. Θεοτ.

Ἡ βάτος σε, προετύπου Πανύμνητε πρότερον, καιομένη, μηδαμῶς φλεγομένη δὲ Πάναγνε. καὶ γὰρ ὡς ἐκείνη, οὐκ ἐφλέχθης Θεὸν σωματώσασα. Ὁ Εἱρμός.

„Ἐβόησε, προτυπῶν τὴν ταφὴν τὴν
„τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν τῷ
„κήτει δεόμενος, ἐκ φθορᾶς με ῥῦσαι, Ἰη-
„σοῦ Βασιλεῦ τῶν δυνάμεων.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἱερεῖον ἄμωμον, ἐθελουσίως, σεαυτὸν προσήγαγες, τῷ ἐκ Παρθένου διὰ σὲ, τεχθῆναι μέλλοντι Ἅγιε, στεφανηφόρε σοφὲ Βονιφάτιε. Ὁ Οἶκος.

Ἀνατολῆς ὥσπερ ἀστὴρ, τοὺς μάγους ἐκ Περσίδος, οὕτω σε θεία νεῦσις ἐκ δυσμῶν, ὡδήγησε Θεόφρων, τεχθῆναι ἐν Σπηλαίῳ τῷ εὐδοκήσαντι Χριστῷ, προσκυνῆσαι ὡς Βασιλεῖ ἁπάσης τῆς κτίσεως, καὶ τούτῳ δῶρα προσαγαγεῖν, ὡς λίβανον καὶ σμύρναν καὶ χρυσὸν, Πίστιν Ἀγάπην καὶ Ἐλπίδα. Ὅθεν σ' αὐτὸν ὁλόκληρον προσήγαγες αὐτῷ ἄμωμον δῶρον, τῷ Τυράννῳ δικαστῇ ἐν παῤῥησίᾳ κράζων καὶ βοῶν· Χριστοῦ μου δοῦλος ὑπάρχω, στεφανηφόρε σοφὲ Βονιφάτιε.

Τῷ αὐτῷ Μηνὶ, ΙΘ'. Μνήμη τοῦ Ἁγίου Μάρτυρος Βονιφατίου,

Στ. Ζητῶν Βονιφάτιος ὀστᾶ Μαρτύρων,
Ἑαυτὸν εὗρε μάρτυρα τμηθεὶς ξίφει.
Ἐννέα καὶ δεκάτῃ Βονιφάτιος αὐχένα
τμήθη.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, δοῦλος γυναικός τινος Συγκλητικῆς, ὀνόματι Ἀγλαΐδος, θυγατρὸς Ἀκακίου Ἀνθυπάτου Ῥώμης, σωματικῶς τῇ κυρίᾳ αὐτοῦ συμφθειρόμενος. Ἦν δὲ καὶ μέθυσος, ἀλλὰ καὶ ἐλεήμων, καὶ φιλόξενος, καὶ τοῖς δεομένοις προθύμως ἐπαρκῶν, καὶ συμφοραῖς ἀνθρώπων καὶ ἱκεσίαις ἐπικαμπτόμενος. ὁμοίως καὶ ἡ κυρία αὐτοῦ ἐλεήμων καὶ φιλόμαρτυς. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, εἶπε τῷ Βονιφατίῳ. ἄπελθε εἰς τὴν Ἀνατολὴν, ὅπου μαρ-

Digitized by Google

μαρτυροῦσιν οἱ Ἅγιοι, καὶ κόμισαι λείψανα Ἁγίων, ἵνα ἔχωμεν αὐτὰ εἰς βοήθειαν καὶ ψυχικὴν σωτηρίαν. Ὁ δὲ Βονιφάτιος γελῶν, εἶπε. ἐὰν φέρω τὸ ἐμὸν λείψανον, δέχῃ τοῦτο; ἡ δὲ γελάσασα, καὶ μέθυσον αὐτὸν εἰποῦσα, εἶτα νουθετήσασα καὶ ἀξαμένη, ἀπέστειλε μετὰ χρημάτων αὐτόν. Καὶ ἀπελθὼν μετὰ δούλων δώδεκα, καὶ χρυσίου πολλοῦ εἰς Κιλικίαν, ὅπου ἐβασανίζοντο οἱ Ἅγιοι, εὗρεν ἄνδρας Ἁγίους ἐναθλοῦντας, καὶ κατεφίλει αὐτῶν τὰ δεσμὰ καὶ τοὺς μώλωπας, καὶ παρέστη ἔμπροσθεν τοῦ Ἡγεμόνος, ὁμολογῶν ἑαυτὸν Χριστιανόν. Κρατηθεὶς δὲ κρεμᾶται κατὰ κεφαλῆς, καὶ ἀφειδῶς ξέεται, καὶ καλάμοις ὀξέσι κατὰ τῶν ὀνύχων ἐμπείρεται, καὶ μόλυβδον πυρὶ λυθέντα τῷ στόματι δέχεται, καὶ ἐν λέβητι πίσσης βραζούσης κατὰ κεφαλῆς βάλλεται. Ἔνθα διαμείναντος αὐτοῦ ἀβλαβοῦς, διαφθείρονται ἐκ τῶν δημίων ἄνδρες πεντήκοντα. Εἶτα διὰ ξίφους τμηθέντος τὴν κεφαλὴν, καὶ ἀντὶ αἵματος γάλα ῥάναντος, προσῆλθον τῷ Χριστῷ, καὶ ἐβαπτίσθησαν ἄνδρες πεντήκοντα. Οἱ δὲ μετ' αὐτοῦ ἐκ τῆς Ῥώμης παραγενόμενοι, νομίσαντες αὐτὸν ἐν καπηλίοις καὶ μέθαις διατρίβειν ὡς ἔθος αὐτῷ διὰ τὸ βραδῦναι, ὡς ἔμαθον παρὰ τῶν στρατιωτῶν τὰς κατὰ μέρος βασάνους. ἃς ὑπομείνας ἐτελειώθη, εὗρον τὸ αὐτοῦ λείψανον. Ἐπιπεσόντες δὲ καὶ κλαύσαντες καὶ κατασπασάμενοι αὐτὸ, συγγνώμην ὧν ἐβλασφήμουν ἐξαιτήσαντο, καὶ πεντακοσίων νομισμάτων τὸ σῶμα αὐτοῦ ὠνησάμενοι, ἀπεκόμισαν ἐν τῇ Ῥώμῃ. Ἡ δὲ κυρία αὐτοῦ Ἀγλαΐς, δι' Ἀγγέλου ἀποκαλυφθεῖσα ἅπαντα, προϋπαντήσασα καὶ ὑποδεξαμένη, καὶ πολυτελῶς τιμήσασα, ἐκήδευσεν αὐτὸν μεγαλοπρεπῶς, πρὸ πεντήκοντα σταδίων τῆς Πόλεως. Ὕστερον δὲ ἀνεγείρασα αὐτῷ οἶκον εὐκτήριον ἐπὶ τῷ ὀνόματι αὐτοῦ μέσον τῆς Πόλεως ἐν τῷ οἴκῳ αὐτῆς, μετατίθησιν αὐτὸν ἐκεῖσε, ἔνθα καθ' ἑκάστην πηγὰς ἰαμάτων προχέει. Κἀκείνη ἔκτοτε ὁσίως καὶ θεαρέστως βιώσασα, καὶ πολιτευσαμένη καλῶς, ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων Μαρτύρων, Ἠλία, Πρόβου, καὶ Ἄρεως.

Στ. Ἀθλήσεως τμηθέντα τῷ ξίφει κάρον,
Ζηλοῖ ταχὺ Πρόβος σε μάρτυς Ἠλία.
Ἄρης ἠπήξας πρὸς τὸ πῦρ ὄντως Ἄρης.
Ἄρης μόνος τὰ ὅπλα πίστεως φέρων.

Οὗτοι ἐξ Αἰγύπτου ὑπῆρχον, ἦσαν δὲ Χριστιανοί. θεραπείας δὲ ἕνεκεν τῶν κατὰ τὴν Κιλικίαν ὁμολογητῶν, ἐποιοῦντο τὴν πορείαν. Ἐν δὲ Ἀσκάλωνι γενόμενοι συνελήφθησαν, καὶ προσήχθησαν τῷ δικαστῇ Φιρμιλιανῷ. καὶ Χριστιανοὺς ἑαυτοὺς ὁμολογήσαντες, καὶ διαφόροις βασάνοις ἐξετασθέντες, ὁ μὲν Ἄρης διὰ πυρὸς ἐτελειώθη, Πρόβος δὲ καὶ Ἠλίας ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν, Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Μαρτυρίῳ τοῦ Ἁγίου Φιλήμονος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Τιμοθέου καὶ Πολυεύκτου.

Στ. Τιμόθεον δὲ τὸν πεπυρπολημένον.
Ποῦ θήσομεν λαχόντα παντίμου τέλους;
Σοῦ Πολύευκτε Καισαρεῦ ποῖον τέλος;
Τὸ πῦρ ὑπελθὼν, εὗρον εὐκταῖον τέλος.

Τούτων, ὁ μὲν Ἅγιος Τιμόθεος κατασχεθεὶς, καὶ ὁμολογήσας τὸν Χριστὸν, μετὰ πολλὰς αἰκίας, διὰ πυρὸς τελειοῦσαι ἐν Μαυριτανίᾳ. ὁ δὲ Πολύευκτος βασάνοις ἐξετασθεὶς, καὶ αὐτὸς ἐν Καισαρείᾳ εἰς πῦρ ἐμβληθεὶς, τὸ τέλος ἐδέξατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Εὐτυχίου, καὶ Θεσσαλονίκης, καὶ τῶν σὺν αὐτοῖς ἀνδρῶν διακοσίων, καὶ γυναικῶν ἑβδομήκοντα, διὰ ξίφους τελειωθέντων.

Στ. Σὺν Εὐτυχίῳ καὶ σὺν Θεσσαλονίκῃ,
Νίκην ἐφεῦρες εὐτυχῶς ἐκ τοῦ ξίφους.
Ἀνεῖλεν ἄνδρας εἰκάδας δέκα ξίφος,
Ἀνεῖλε καὶ γυναῖκας ἑπτάκις δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγεντίου.

Στ. Σαρκὸς λιπὼν σὺν δεσμὸν ὁ Γρηγέντιος,
Ἐκεῖσε μετῆλθεν, ἔνθα σαρκὶ οὐ τόπος.

Ος ὥρμητο ἐκ πόλεως Μεδιολάνων, γεννήτορες δὲ αὐτῷ, Ἀγάπιος καὶ Θεοδότη. οὗτος ὥσπερ γῆ ἀγαθὴ σπέρματα θεῖα δεξαμέ-

ξαμένη, ἑωρᾶτο καρπὸν φῦσαι καλόν. ὅθεν καὶ εἰς μέτρον ἡλικίας πεφθακώς, ἀκροατὴς καὶ πληρωτὴς τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ ἀναδείκνυται. Καὶ θείῳ νεύματι, τὴν τοῦ Διακόνου χειροτονίαν δέχεται, νηστείᾳ καὶ τῇ λοιπῇ σκληραγωγίᾳ ἑαυτὸν καθυποβαλών. Καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης τοῦ θείου Πνεύματος τὴν χάριν δεξάμενος, σημεῖα καὶ τέρατα ἐποίει. Μετὰ τοῦτο πάλιν γίνεται κατὰ Μεδιόλανα, καὶ εὑρὼν τινὰ γέροντα σημειοφόρον εἰς τόπον ἀνεκεχωρημένον, μυεῖται πάντα τὰ μέλλοντα αὐτῷ ἀπαντᾶν. ᾧ καὶ ἐσύστερον ὁ μέγας Ἀπόστολος Πέτρος ὀφθαλμοφανῶς τὰ αὐτὰ ἀπηγόρασε, προσθεὶς καὶ τὰ ἐλλείποντα. Ἐπεὶ οὖν συνέβη γράψαι τὸν τῶν Αἰθιόπων Βασιλέα Ἐλεσβαάν, Προτερίῳ τῷ Πάπᾳ Ἀλεξανδρείας περὶ Ἐπισκόπου καὶ μάλιστα τελείου, Ἰουστίνου τότε τὴν Ῥωμαίων Βασιλείαν ἐθύνοντος, ἐπὶ τοῦτο ἠνιᾶτο καὶ ἐδυσφόρει ὁ Πάπας, πρὸς τὸ ἐπιτυχεῖν ἀνδρὸς τοιούτου. Ἐν αὐταῖς οὖν ταῖς ἡμέραις, διὰ θείας ἀποκαλύψεως φανεὶς αὐτῷ ὁ μακάριος Μάρκος, ὑπέδειξεν αὐτῷ τὸν ζητούμενον, ὑπὸ θείας προνοίας νεωστὶ τὸν τόπον καταλαβόντα, καὶ παρά τινος ἐπιξενούμενον. Ὃν σὺν πολλῇ περιχαρείᾳ λαβόμενος καὶ χειροτονήσας, περιλαμφθέντα σημείοις, εὐθέως παρέπεμψεν, ἐφοδιάσας αὐτὸν ἐν γράμμασι καὶ λοιποῖς τοῖς Ἀρχιερεῦσιν ἀνήκουσιν. Ὃν ὁ Βασιλεὺς ὑποδεξάμενος, καὶ ἐκ τῶν γραμμάτων βεβαιωθείς, κατασπάζεται, καὶ ὡς ἀπόστολον καὶ σημειοφόρον ὑπολαμβάνει, καὶ τῷ Θεῷ εὐχαριστήσας, πᾶσαν τὴν ὑπ' αὐτὸν ἐξουσίαν αὐτῷ παρέθετο. Ὁ δὲ Πρεσβυτέρους καὶ Διακόνους χειροτονήσας, τὰς νεωστὶ νεουργηθείσας εἰς τὴν εὐδαίμονα Ἀραβίαν παρὰ τοῦ Βασιλέως Ἐκκλησίας καθαγιάσας, πρώην σχεδὸν παντὸς τοῦ Ἔθνους ἰουδαΐζοντος, πολλοὺς τῶν Ἰουδαίων ἐβάπτισε. Μετὰ ταῦτα, τοὺς τῶν Ἰουδαίων πρώτους καὶ διδασκάλους, ἀπό τε συλλογισμῶν καὶ γραφῶν ἀποδείξεσι πείσας, καὶ θαύμασιν ἐκπλήξας, πάντας προσηγάγετο τῇ ἀληθινῇ πίστει, μόνους ἐκθέμενος, καὶ πᾶν ἀρέσκον Θεῷ διαπραξάμενος. Οὕτω καλῶς τὸ ποίμνιον αὐτοῦ ποιμάνας, καὶ πολλὰ θαύματα εἰς δόξαν Θεοῦ ἐπιτελέσας, ἐν εἰρήνῃ ἀνεπαύσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Τρύφωνος.

Στίχ. Τρύφων ἀνῆλθε σώματι πρὸς ἰτέαν.
Καὶ πνεύματι πρὸς ὕψος Οὐρανοῦ μέγα.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Ἀβραμιαῖοι ποτέ.

Τόνου μὴ κλίνας γλυπτοῖς, εἰς πειρασμῶν ἐβλήθης, μεγίστην ὄντως μάρτυς κάμινον. ἐν ᾗ δροσιζόμενος, ὁ τῶν πατέρων βοᾷς, Θεὸς εὐλογητὸς εἶ.

Λύειν τὸν τόνον τῆς σῆς, ὁμολογίας σπεύδων, ὁ δολιόφρων τοῖς ἐγκάτοις σου, καγχλάζοντα μόλυβδον, ἀνηλεῶς ἐνεχέει, ἀλλ' ἐμφανῶς ἠσχύνθη.

Ἀποτμηθεὶς προθύμως, τὴν ἱερὰν σου κάραν, ἐχθροῦ δολίου πολυμήχανον, κεφαλὴν διέκοψας, τῆς σῆς ἀνδρείας ξίφει, Μάρτυς Χριστοῦ Θεόφρον. Θεοτ.

Ἵνα φωναῖς αἰσίαις, ὑμνολογῶ σε Κόρη, παθῶν με ῥῦσαι ταῖς πρεσβείαις σου, κινδύνων καὶ θλίψεων, καὶ πονηρῶν λογισμῶν, κακῶσαί με ζητούντων.

ᾨδὴ η΄. Λυτρωτὰ τοῦ παντός.

Συμφερόντως τὴν σὴν ἐργαζόμενος, σωτηρίαν Χριστὸς Βονιφάτιε, ἀναζητοῦντα λείψανα, καλλινίκων Μαρτύρων, σὲ ἐνισχύει, ὃν πιστῶς ἐπεζήτεις γεννήσεσθαι.

Μακαρία δεσποίνη μακάριος, θησαυρὸς ἀπιδόθης μακάριε. ᾧ πλουτισθεῖσα ἔψαλλε, γηθομένη καρδίᾳ. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐν σπουδῇ τὸ ἀοίδιμον γνήσιον, ἀνεγεῖρον ναὸν ἱερώτατον, σὲ ἐν αὐτῷ κατέθετο, πεφυκότα τῆς θείας, ναὸν Τριάδος, ἀθλοφόρε Χριστοῦ Βονιφάτιε.

Νεκρωθεὶς δι' ἀγάπην τοῦ Κτίσαντος, τοὺς νεκρώσει παθῶν ὑποπίπτοντας, ζωοποιῷ πρεσβείᾳ σου, ἰατρεύεις βοῶντας· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Ἐπὶ σὲ τὴν ἁγνὴν ὁ ὑπέρθεος, κατελθὼν ὥς περ οἶδε σεσάρκωται, καὶ τοὺς βροτοὺς ἐθέωσε, μελῳδοῦντας Παρθένε· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Ἣ ἔσχισά σε φόρτον ἱερὸν ἠγάλλετο, ἐκβοῶσα ἡ ἀείμνηστος, δῶλον ἐκπέμψασά σε μάκαρ, δεσπότην ἀληθῆ ὑποδέδεγμαι, δουλείας με κακῶν ἐκλυτρούμενον, σαῖς εὐπροσδέκτοις παρακλήσεσιν.

Ὡς κεῖμον κοιλᾶσι νοηταῖς ἐξηνθήσας, τῶν μαρτύρων Βονιφάτιε. Φοῖνιξ καθάπερ ἀνυψώθης, ὡς Κέδρος ἐγνωρίσθης πυρίπνοος. ὡράθης ἐκλεκτὸς ὡς Κυπάρισσος, εὐωδιάζων τὰς ψυχὰς ἡμῶν.

Σήμερον ἡ μνήμη σου ἡμῶν ἀνέτειλεν, ἀθλοφόρε ὥσπερ Ἥλιος, φέγγει ἐνθέων χαρισμάτων, φωτίζουσα ψυχὰς τῶν ὑμνούντων σε, παθῶν τε τὴν ἀχλὺν ἀπελαύνουσα, Μάρτυς Θεόφρων ἀξιάγαστε.

Ἥλιος καθάπερ ἐκ δυσμῶν ἀνέτειλας, καὶ ἑώας πόλιν ἔφθασας ἔνθα ἀθλήσας καὶ νομίμως, εἰσδύνας πρὸς ζωὴν ἀναπέπταλκας, καὶ Ῥώμην τὴν περίβλεπτον ἔφθασας, ταύτην τειχίζων σαῖς δεήσεσιν.

Θεοτοκίον.

Φωτί με κατάυγασον τῷ σῷ Παναμώμητε, τὸν ἐν σκότει συνεχόμενον, τῆς ἁμαρτίας Θεοτόκε, καὶ δίδου ἐν ἡμέρᾳ πορεύεσθαι, ἐνθέων προσταγμάτων Θεόνυμφε, ὅπως ὑμνῶ σε τὴν Πανύμνητον.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

---

Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως. Τῶν Ἁγίων Πατέρων. Ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ, ὁ προοιμιακὸς Ψαλμὸς, καὶ ἡ συνήθης στιχολογία. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ λέγομεν τὰ γ΄. Ἀναστάσιμα τῆς Ὀκτωήχου. καὶ ἐν ἀνατολικὸν, Προεόρτια τῆς Χριστοῦ Γεννήσεως, καὶ τῶν Ἁγίων τριῶν Παίδων.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ παροῦσα Κυριακὴ τῇ κ΄. τοῦ Μηνὸς, τὰ προεόρτια, καὶ ἡ τοῦ ἁγίου Ἰγνατίου Ἀκολουθία ψάλλονται τῇ ιθ΄. τοῦ ἐνεστῶτος. ἡ δὲ τῆς Κυριακῆς Ἀκολουθία ψάλλεται μετὰ τῆς Ἀναστασίμου κατὰ τάξιν ἔν τε τῷ Ἑσπερινῷ καὶ τῷ Ὄρθρῳ.

Καταβασία. Χριστὸς γεννᾶται.

Χρὴ εἰδέναι, ὅτι ἐὰν τύχῃ ἡ Κυριακὴ ἡ πρὸ τῆς Χριστοῦ γεννήσεως, τῇ κδ΄. τοῦ Δεκεμβρίου Μηνὸς, Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ κατὰ τὴν συνήθη ἄλλο. οὐδὲν τῶν ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῶν Ἁγίων Πατέρων, καὶ τῶν προεορτίων. προηγεῖται οὖν ἡ ἀκολουθία τῶν ἁγίων Πατέρων. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν ἰδιόμελα προσόμοια τῶν Ἁγίων Πατέρων, γ΄. Ἦχος πλ. δ΄. δευτεροῦντες αὐτὰ καὶ Προεόρτια ἰδιόμελα, τοὺς πρώτους, δευτεροῦντες τὸ ἕν. Δόξα. τῶν Ἁγίων. Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. Καὶ νῦν. ὁ αὐτὸς. Σπήλαιον εὐτρεπίζου. Τὰ Ἀναγνώσματα τῶν Ἁγίων Πατέρων. Εἰ δὲ οὐ τύχῃ αὕτη ἡ Κυριακὴ τῇ κδ΄. τοῦ Μηνὸς, οὔτε ἐκτὸς τῶν κ΄. λέγομεν τὰ γ΄. Ἀναστάσιμα τῆς Ὀκτωήχου, καὶ Ἀνατολικὸν, α΄. τὰ Προεόρτια, καὶ τῶν Ἁγίων Πατέρων. β΄. προσόμοια Προεόρτια. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Παρθένε Παναμώμητε Θεοῦ, ἔμψυχον Παλάτιον, τὸν Οὐρανοῖς μὴ χωρούμενον, ἐν σοὶ ἐχώρησας. ὃν ἐν τῷ Σπηλαίῳ, τέξεις ὑπὲρ ἔννοιαν, πτωχεύσαντα καὶ σάρκα γενόμενον. ἵνα θεώσῃ, καὶ πλουτίσῃ τὸν πτωχεύσαντα, ἀκρασίᾳ, πικροτάτης βρώσεως.

Ἐναπογραφόμενος Χριστὸς, δούλοις τῷ τοῦ Καίσαρος, δι' εὐσπλαγχνίαν προστάγματι, ἔρχῃ χαρίσασθαι, τὴν ἐλευθερίαν, τὴν ζωὴν καὶ λύτρωσιν, ἀγνώμοσιν οἰκέταις μακρόθυμε. τοῖς προσκυνοῦσί σου, τὰ σωτήρια γενέθλια, τοῦ ἐλθόντος, σῶσαι τὰς ψυχὰς ὑμῶν.

Τόκον ἀκατάληπτον θεσμοὺς, φύσεως καινίσαντα, ἡ παναγία καὶ ἄμωμος, καταμονήσασα, τῷ Υἱῷ ἐβόα, τέκνον ποθεινότατον, ἐκπλήττομαι τὸ μέγα μυστήριον

θεῖον, πῶς καὶ γεννήσασα, παρθενεύω τῇ δυνάμει σου, τοῦ τὰ πάντα ποιοῦντος βουλήματι;

Καὶ τῶν Ἁγίων Πατέρων. Ἦχος πλ. δ'.

Πρός, Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τὰ τῶν Πατέρων σήμερον πιστοί, τελοῦντες μνημόσυνα, ἀνυμνήσωμεν Χριστὸν τὸν Λυτρωτήν, τὸν μεγαλύναντα αὐτούς, ἐν πᾶσι τοῖς Ἔθνεσι, καὶ θαυμάτων τὰ παράδοξα πιστῶν, ἐπιτελέσαντα Κύριον, ὡς κραταιὸν καὶ δυνατόν, καὶ ἐξ αὐτῶν ἀναδείξαντα, ῥάβδον δυνάμεως ἡμῖν, τὴν μόνην ἀπείρανδρον, καὶ Θεόπαιδα Μαρίαν τὴν ἁγνήν, ἐξ ἧς τὸ ἄνθος προῆλθε, Χριστὸς βλαστήσας πᾶσι τὴν ζωήν. καὶ ἀδάπανον τρυφήν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὡς ἐν ψεκάδι μέσον τῆς φλογός, τῇ δρόσῳ τοῦ Πνεύματος, ἀγαλλόμενοι οἱ Παῖδες τοῦ Θεοῦ, περιεπάτουν μυστικῶς, ἐν αὐτῇ προτυπώσαντες, τὴν Τριάδα καὶ τὴν σάρκωσιν Χριστοῦ. καὶ ὡς σοφοὶ διὰ Πίστεως, ἔσβεσαν δύναμιν πυρός. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, λεόντων ὤφθη φιμωτής. ὧν ταῖς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτήρ, καὶ ἡμᾶς τοῦ ἀσβέστου, καὶ αἰωνίου λύτρωσαι πυρός, καὶ ἀξίωσον τυχεῖν, τῆς οὐρανίου Βασιλείας σου.

Ὥσπερ ἐν δρόσῳ ὄντες οἱ πιστοί, καὶ Ἅγιοι Παῖδές σου, ἐν καμίνῳ τῆς φλογὸς τῆς τοῦ πυρός, προεζωγράφουν μυστικῶς, τὴν ἐκ Παρθένου σου ἔλευσιν, τὴν ἀφλέκτως ἀναλάμψασαν ἡμῖν. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, καὶ ἐν Προφήταις θαυμαστός, τρανῶς τὴν θείαν δευτέραν σου, ἔλευσιν πᾶσι προδηλῶν, ἑώρων ἐκραύγαζεν, ἕως οὗ θρόνοι ἐτέθησαν φησί, καὶ κριτὴς ἐκαθέσθη, καὶ τοῦ πυρὸς ἔπεστη Ποταμός. οὗ ῥυσθείημεν Χριστέ, ταῖς ἱκεσίαις αὐτῶν Δέσποτα.

Δόξα.. Ἦχος Πλ. β'.

Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα, θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς, τεχθῆναι προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρέπιζε, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος ἐκ Παρθένου μητρός. ὅνπερ καὶ κύψασα δουλικῶς, ἡ μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο, τῷ ἐν ἀγκάλαις αὐτῆς. πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας.

Ὁ Κύριος ἐβασίλευσεν.

Καὶ τὰ ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.

Κεφ. δ'. 14. Ἀκούσας Ἄβραμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ. Καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν. καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα, αὐτός, καὶ οἱ παῖδες αὐτοῦ μετ' αὐτοῦ, καὶ ἐπάταξεν αὐτούς, καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβάλ. ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας, καὶ τὸν λαόν. Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβῆ. τοῦτο ἦν πεδίον βασιλέως. Καὶ Μελχισεδὲκ βασιλεὺς Σαλήμ, ἐξήνεγκεν ἄρτους καὶ οἶνον. ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου. Καὶ εὐλόγησε τὸν Ἄβραμ, καὶ εἶπεν. εὐλογημένος Ἄβραμ τῷ Θεῷ τῷ Ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ εὐλογητὸς ὁ Θεὸς ὁ Ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σου.

Δευτερονομίου τὸ ἀνάγνωσμα.

Κεφ. α'. 8. Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν. εἰσελθόντες κληρονομήσατε τὴν γῆν,

Digitized by Google

γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, δοῦναι αὐτοῖς, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. Καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων. οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Κύριος ὁ Θεὸς ἡμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστὲ σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. Καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς, καὶ ἐπιστήμονας καὶ συνετοὺς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν. Καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· διακούετε ἀναμέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνατε δικαίως ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναμέσον τοῦ προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει. κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς. οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι.

Δευτερονομίου τὸ ἀνάγνωσμα.

Κεφ. ι. 14. Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραήλ· ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ. Πλὴν τοὺς πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾷν αὐτοὺς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς, ὑμᾶς παρὰ πάντα τὰ ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην. Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων, ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς, καὶ φοβερὸς, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον. ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Αὐτὸς καύχημά σου, καὶ αὐτὸς Θεός σου, ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ Ὀφθαλμοί σου.

Εἰς τὴν Λιτὴν τὸ ἰδιόμελον τοῦ Ἁγίου τῆς Μονῆς ὡς σύνηθες.

Δόξα. Ἦχος α΄.

Βολίδες ἀστράπτουσαι θεηγορίαις, οἱ μεγαλώνυμοι Προφῆται, εἰς ἀεὶ μακαρίζονται. καὶ τὰ ἔπη τοῦ Πνεύματος καρπούμενοι, τὴν ἀνερμήνευτον λοχείαν Χριστοῦ τοῦ Θεοῦ πᾶσιν ἐκήρυξαν. νομίμως δὲ τὸ τέλος διήνυσαν, ζήσαντες ζωὴν ὑπερθαύμαστον.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Εὐφραίνου οὐρανὲ, καὶ φωτίζου ἡ γῆ. ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, πρόεισι τεχθῆναι, ἐκ Κόρης ἀπειράνδρου, εὐδοκίᾳ τοῦ φύσαντος αὐτὸν ἀπαθῶς, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ. ὅτι ὁ ὢν γίνεται ὃ οὐκ ἦν, καὶ ὁ πλαστουργὸς πάσης κτίσεως ἀναπλάττεται, ὁ παρέχων τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου τὰ κατ' ἀλφάβητον.

Εἰ δὲ τύχῃ τῇ κδ΄.

Εἰς τὸν στ. στ. ἰδιόμελα προεόρτια, τὰς γ. β΄. μετὰ τῶν στίχων αὐτῶν.

Δόξα. Ἦχος β΄.

Χαίρετε Προφῆται τίμιοι.

Καὶ νῦν. Ἰδοὺ καιρὸς ἤγγικε.

Δόξα. Ἦχος β΄. Κυπριανοῦ.

Χαίρετε Προφῆται τίμιοι, οἱ τὸν νόμον Κυρίου, καλῶς διαταξάμενοι, καὶ τῇ πίστει φανέντες, ἀπόρθητοι στύλοι ἀκλινεῖς. ὑμεῖς γὰρ καὶ μεσῖται ὤφθητε, τῆς νέας διαθήκης Χριστοῦ, καὶ μεταστάντες πρὸς Οὐρανὸν αὐτὸν ἱκετεύσατε, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε Ὄρη καὶ Βουνοὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρ...



Digitized by Google

Χριστὸς, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Τροπάριον. Ἦχος β΄.

Μεγάλα τὰ τῆς Πίστεως κατορθώματα. ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμὴν, ὡς προβάτων ἐδείκνυτο. ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Χρὴ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ Κυριακὴ τῶν Ἁγίων Πατέρων, τῇ εἰκοστῇ τετάρτῃ τοῦ παρόντος Μηνὸς, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῶν Ἁγίων Πατέρων, καὶ τῶν Προεορτίων. Προηγεῖται δὲ ἡ Ἀκολουθία τῶν Ἁγίων Πατέρων. Ἀναβαθμοὺς δὲ λέγομεν τοῦ ἤχου, καὶ Εὐαγγέλιον Ἑωθινὸν, οἷον τύχῃ, τοῦ ἐνορδίνου. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. καὶ ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον, καὶ εἰς τὸν Θεολόγον, τὸ, Τίς ἡ Τυραννίς. Δεῖ γὰρ εἰδέναι, ὅτι ἀναστάσιμος Κανὼν οὐ λέγεται. Εἰς δὲ τὸ, Θεὸς Κύριος. Τροπάριον τὸ ἀναστάσιμον τῆς Ὀκτωήχου, δὶς, καὶ τὸ, Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, καὶ τὸ Προεόρτιον. Οἱ Κανόνες, ὁ εἷς. Ἦχος πλ. α΄. Κύματι θαλάσσης, εἰς η΄. καὶ ὁ ἕτερος, Ἦχος α΄. εἰς ς΄. Καταβασία. Χριστὸς γεννᾶται. Ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄. Ὁ Εἱρμός.

„Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι διώκτην Τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται. Δίς.

Φοβεροὶ θανάτου, ἀνοίγονται πύλαι, καὶ διαρρήσσονται, μοχλοὶ αἰώνιοι. τῇ γὰρ σεπτῇ σου καθόδῳ, ἐξανέστησαν οἱ πάλαι νεκροὶ, ἐν εὐφροσύνῃ ψάλλοντες, Χριστὲ τὴν σὴν Ἀνάστασιν. Δίς.

Ἐνήμερον τὸ κλῆτος, τῶν θείων Πατέρων, Χριστοῦ τὴν γέννησιν, προεορτάζει φαιδρῶς, καὶ ὑπογράφεται ταύτης, τὸ παράδοξον τῆς χάριτος. Ἀβραὰμ γὰρ σύμβολον, τοῦ νόμου καὶ οἱ Παῖδες εἰσίν.

Πάλαι δεξιοῦται, Θεότητα μίαν, τὴν τρισυπόστατον, ὁ ἱερὸς Ἀβραὰμ· νῦν δὲ ὁ σύνθρονος Λόγος, τοῦ Πατρὸς ἐν θείῳ Πνεύματι, τοῖς παισὶ προέρχεται, ἐνδόξως ἀνυμνούμενος.

Ἀβραὰμ ἐρρύσθη, χειρὸς ἐξ ἀδίκου φλογός. κάμινον δὲ οἱ θεῖοι Παῖδες ποτὲ, καὶ Δανιὴλ ὁ Προφήτης, ἐκ θηρῶν καὶ λάκκου σέσωσται. διὸ νῦν τὴν γέννησιν Χριστοῦ προεορτάζουσιν.

Ἀριθμῷ καὶ πίστει, τῆς θείας Τριάδος, τὴν ἀθεότητα καταστρεψάμενοι, ἐν τῇ καμίνῳ οἱ Παῖδες, ἐν συμβόλοις τὰ ἐσόμενα, τοῦ Θεοῦ μυστήρια, τῷ Κόσμῳ προϋπέφηναν. Θεοτοκίον.

Κεχαριτωμένη, ἀνύμφευτε μήτηρ, Παρθένε ἄφθορε, μακαρίζομέν σε, τοῦ Ἀβραὰμ γὰρ ἐκ γένους, καὶ φυλῆς Δαβὶδ ἐξηλώθησας, τὸν Χριστὸν δὲ τέτοκας, Προφήταις κηρυχθέντα τὸ πρίν.

Ἕτερος Κανὼν προεόρτιος. Ὠδὴ α΄. Ἦχος α΄.

Χριστὸς γεννᾶται.

Χριστὸν σαρκὶ νηπιάσαντα, Χριστὸν ἐθελουσίως πτωχεύσαντα, Χριστὸν ὁρατὸν γενόμενον, ἔρχεται ἡ Παρθένος, ἐν Βηθλεὲμ, νῦν ἀποκυῆσαι. Οὐρανός τε καὶ ἡ γῆ ἀγαλλιάσθωσαν.

Βουνοὶ καὶ ὄρη σκιρτήσατε, Προφῆται θεηγόροι χορεύσατε. Λαοὶ καὶ Ἔθνη κροτήσατε, πάντων ἡ σωτηρία, ὁ φωτισμὸς, ἤγγικεν ἐπέστη, ἐν τῇ πόλει Βηθλεὲμ ἀποτικτόμενος.

Πτωχὸς ὁ πλούσιος γίνεται, πτωχίζων τοὺς κακίᾳ πλουτίζοντας. βροτὸς ὁ Θεὸς γνωρίζεται Κόρης ἀπειρογάμου, δίχα τροπῆς. πάντες ἐν αἰνέσει, ἀνυμνήσωμεν αὐτὸν, ὅτι δεδόξασται. Καταβασία.

„Χριστὸς γεννᾶται δοξάσατε. Χριστὸς ἐξ Οὐρανῶν, ἀπαντήσατε. Χριστὸς „ἐπὶ γῆς, ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ, „πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε „λαοὶ, ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατι-

„δοῦ-

Digitized by Google

„ οὖσα, ἐν τῷ κρυφίῳ κρεμάμενον, θαμ-
„ βητικῶς συνείχετο. οὐκ ἔστιν ἅγιος, πλὴν
„ σοῦ Κύριε κραυγάζουσα. Δίς.

Τάφῳ τριημερεύσας, ἀνέστησας, ζωαρχι-
κῇ ἐγέρσει, θαῤῥοῦντας τοὺς ἀπ' αἰῶνος.
καὶ καταδίκης λυόμενοι, χαρμονικῶς ἠγάλ-
λοντο, ἰδοὺ ἡ λυτρώσεως, ἦλθες Κύριε κραυ-
γάζοντες. Δίς.

Τὴν κατ' εἰκόνα δόξαν, καὶ καθ' ὁμοίωσιν,
Θεοῦ φρονοῦντες Παῖδες, χρυσῆς εἰκό-
νος φλόγα, ἐν τῷ πυρὶ τῷ τοῦ Πνεύματος,
ἀθλητικῶς κατέσβεσαν, ἐν πίστει ψάλ-
λοντες, πλὴν σοῦ Κύριον οὐκ οἴδαμεν.

Σοφίας τῷ περιόντι, καὶ Πνεύματος τῇ
δυνάμει, οἱ Παῖδες τοὺς σοφοὺς Βαβυ-
λῶνος, αἰχμαλωτεύσαντες ἦχησαν, καὶ
θαρσαλέως ἔκραζον, οὐκ ἔστιν ἅγιος πλὴν
σοῦ Κύριε φιλάνθρωπε.

Χαίρει καὶ συγχορεύει, σὺν τοῖς παισὶ καὶ
Προφήταις, ὁ νόμος καὶ προσκιρτᾷ τοῦ
Πνεύματος, τὴν θείαν ἔλλαμψιν σήμερον,
καὶ Ἀβραὰμ ἀγάλλεται, ὅτι ἐκ σπέρματος,
εἶδε Κύριον σαρκούμενον. Θεοτοκίον.

Ἡ σύλληψις ἀπαθὴς πάθους, ἡ πρόσλη-
ψις ὑπὲρ λόγον καὶ φύσιν, τοῦ τόκου σου
προῆλθε. τὸ γὰρ Προφήταις θρυλλούμενον,
ὑπερφυῶς Μυστήριον, ἡμῖν ἐπέφανε, Λό-
γος τοῦ Θεοῦ ὑπάρχων Κύριος.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Ὁ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθεὶς
ὑπὲρ ἔννοιαν, ἐκ τῆς Παρθένου ἐπ' ἐ-
σχάτων, ἐσαρκώθη [illegible] εἶδεν, αὐτὸς, θέ-
λων τὸ ἀνθρώπι[illegible] ἀνακαινίσαι φθα-
ρὲν πονηροῦ, συμβουλίᾳ ὄφεως.

Ὁ ἐν τοῖς ὑψίστοις, συνεδρεύων Πατρὶ καὶ
τῷ Πνεύματι. ταπεινωθεῖσαν τῶν ἀν-
θρώπων, θεωρήσας τὴν φύσιν, υἱὸς τοῦ Θεοῦ
ὁ ἄναρχος, ἀρχὴν λαμβάνει καὶ μέλλει σαρ-
κὶ, τίκτεσθαι ὡς ἄνθρωπος.

Θεοτοκίον.

Ἡ Ἁγιωτέρα, τῶν Ἀγγέλων καὶ πάσης
τῆς Κτίσεως, βουλῆς μεγάλης τῆς
πατρῴας, νῦν τὸν Ἄγγελον τίκτει, σαρ-
κὶ πάντων εἰς ἀνάκλησιν, τῶν μελῳδούν-
των ἀπαύστως αὐτῷ, Ἅγιος εἶ Κύριε.

Καταβασία.

„ Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεν-
„ νηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχά-
„ των ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως,
„ Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας
„ τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ἡ ὑπακοή. Ἦχος Πλ. δ'.

Ἄγγελος παίδων ἐδρόσισε κάμινον, νῦν
δὲ γυναικῶν κλαυθμὸν, διεκώλυε λέ-
γων· τί ἐπιφέρεσθε μῦρα; τί μαζητεῖτε ἐν
τάφῳ; ἀνέστη ὁ Χριστὸς καὶ Θεός. ὑπάρχει
γὰρ ζωὴ καὶ σωτηρία, τοῦ γένους τῶν ἀνθρώπων.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προο-
„ ρῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα. σὺ
„ Δυναστῶν διέκοψας, κράτος ἀγαθὲ, ὁ-
„ μιλῶν τοῖς ἐν ᾅδου, ὡς παντοδύναμος.

Δίς.

Ἡ ἐν τῷ ᾅδῃ θεία κάθοδος, σοῦ Χριστὲ
ὁ Θεὸς, νεκροῖς ζωὴ ἐδείχθη. σὺ γὰρ
ἐχθροὺς ἐδέσμευσας, κάτω ἀγαθὲ, καὶ οὐρά-
νιον τρίβον, ἀνθρώποις ἤνοιξας. Δίς.

Τὰ τῶν Πατέρων ἀκροθίνια, Ἀβραὰμ
Ἰσαὰκ, καὶ Ἰακὼβ τιμῶμεν. ὅτι αὐτῶν
ἐκ σπέρματος, ἔλαμψε Χριστὸς, σαρκω-
θεὶς ἐκ Παρθένου, ὡς Παντοδύναμος.

Προϋπογράφων τὰ ἐσόμενα, τῇ καθόδῳ
Χριστοῦ, ὁ Δανιὴλ τοὺς θῆρας, ὡς πρό-
βατα ἀπέδειξε, πᾶσιν ἐναργῶς, ὡς προέ-
γνω τὸ μέλλον, οἷα Προφήτης Θεοῦ.

Τῆς ἁμαρτίας μὴ σπασάμενοι, τὸν ἰὸν
ἐκ φλογὸς, ἐῤῥύσθησαν οἱ Παῖδες,
χρυσίου γὰρ ὑπέρτιμοι, ὄντες ἀληθῶς, ἐν κα-
μίνῳ τῆς πλάνης, οὐκ ἐχωνεύθησαν. Δίς.

Μεγαλοφώνως προκηρύττεται, προσ-
δοκία Ἐθνῶν, καὶ σωτηρία Κόσμου, ὁ
ὑπὲρ φύσιν τόκος σου, ἄχραντε σεμνή. ὃν
ὑμνεῖ τῶν Πατέρων, ὅμιλος σήμερον.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, Παρθένος
ἀνεβλάστησας, ἄνθος ἀνθήσασα ἀμά-
ραντον, τὸν πάντων δημιουργὸν, τὸν τὴν
γῆν τοῖς ἄνθεσι, πᾶσαν ὡς Θεὸν κατακοσ-
μοῦντα, ἀναβοῶσαν αὐτῷ· δόξα τῇ δυνάμει
σου Κύριε.



Digitized by Google

Τρώσει με κλαπέντα πονηρᾷ, καὶ γνώμῃ ὀλισθαίνοντα, ὁμοιωθέντα τοῖς ἀλόγοις τε, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἦλθες ἀνακτώμενος, βρέφος γεγονὼς, καὶ ἐπὶ φάτνης, ἀλόγων ἀνακλιθεὶς, δόξα τῇ δυνάμει σου Κύριε. Θεοτοκίον.

Ὄρους κατασκίου Ἰησοῦ, Παρθένου σε σαρκούμενον, ὁ Ἀββακοὺμ προεθεάσατο, τὰ ὄρη τὰ πονηρὰ, καὶ βουνοὺς συντρίβοντα, καὶ ἀφανισμῷ παραδιδοῦντα, ἐπάρσεις τοῦ πονηροῦ, καὶ τὰ τῶν δαιμόνων ὑψώματα.

Καταβασία.

„ Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ Ὄρους ὁ αἰνετὸς, κατασκίου δασέως. ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„ Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται. Δίς.

Τὸ ἐξαστράπτον τῆς χαρᾶς, ὑποτυπῶν ἐμφανῶς ὁ Ἄγγελος, ἐν τῷ τάφῳ λαμπροφόροις δείκνυται, γυναιξὶ κηρύττων ἀνάστασιν, καὶ ἀφέμεναι τὸν κλαυθμὸν ἠγαλλιάσαντο, Χριστοῦ ἀναστάντος, τὸ χαίρετε Ἀποστόλοις διαγγέλλουσαι. Δίς.

Τὴν τῶν Πατέρων ἀπαρχὴν, ὡς ἀρχηγὸν νόμου καὶ τῆς χάριτος, Ἀβραὰμ τὸν Πατριάρχην σήμερον, συνελθόντες πίστει τιμήσωμεν. ὡς Προφήτης γὰρ τοῦ Θεοῦ, προκατηγγείλατο Χριστὸν ἐκ Παρθένου, καὶ τούτου προϋπαντᾷ τὴν θείαν γέννησιν.

Προϋπογράφοντες τρανῶς, τὴν πρὸς ἡμᾶς τοῦ Κυρίου ἔλευσιν, δι' Ἀγγέλου παρουσίας ἔσβεσαν, Ἀβραὰμ οἱ παῖδες τὴν κάμινον, καὶ ἀτμίδα δρόσου, τὸ πῦρ ἀπεργασάμενοι, ἐν τούτῳ τῇ πίστει, εἰκόνος χρυσῆς δόξαν ἐχλεύασαν.

Ἔφραξε στόματα θηρῶν, ὁ Δανιὴλ ἐν τῷ λάκκῳ Πνεύματι, τοῦ πυρὸς δὲ τὴν ἰσχὺν κατέσβεσαν, Ἀβραὰμ οἱ Παῖδες τῇ χάριτι. καὶ σωθέντες οὗτοι φθορᾶς, προκαταγγέλλουσι, Χριστὸν ἐκ Παρθένου, αἰτοῦντες ὡς λυτρωτὴν, τὴν σωτηρίαν ἡμῶν. Θεοτ.

Ἐν θείῳ Πνεύματι δηλῶν, τὴν ἐξ ἡμῶν ἀπαθῶς σου πρόσληψιν, Ἡσαΐας ἀνεβόα Κύριε, γρηγορῶν τῷ νόμῳ τῆς χάριτος. τὸν ἐκ γένους μὲν Ἀβραὰμ, ἐκ τῆς Ἰούδα δὲ φυλῆς κατὰ σάρκα, Παρθένος ἄνευ σπορᾶς, ἔρχεται τίκτουσα.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Ὁ φύσει Δεσπότης, ἐν δούλοις τελεῖς, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ παντέλειος, εὐδόκησας δι' ἔλεος, καλεῖσθαι καὶ Υἱὸς, ἀνθρώπου παμοικτίρμων. διὸ ἐν τῷ Σπηλαίῳ, ἑκουσίως πτωχεύσας, ἔρχῃ τεχθῆναι ὑπεράγαθε.

Ἀχώρητε φύσει, Χριστὲ Βασιλεῦ, πῶς μικρόν σε εἰσδέξεται Σπήλαιον; πῶς φάτνη σε δυνήσεται, χωρῆσαι Ἰησοῦ; Μητρὸς ἐξ ἀπειράνδρου, σαρκὶ ἐπιδημοῦντα, εἰς τὰ ἴδια ὅπως, τοὺς ἐξωσθέντας σώσῃς Κύριε.

Ἀμνὰς τὸν ποιμένα, προσῆλθε τεκεῖν. εὐτρεπίζου τὸ ἅγιον Σπήλαιον. Ποιμένες ἐπισπεύσατε, Ποιμένα καὶ Ἀμνὸν, τεχθέντα θεωρῆσαι. οἱ Μάγοι μετὰ δώρων, εὐτρεπίσθητε τοῦτον, ὡς Βασιλέα, προσκυνῆσαι σαρκί.

Καταβασία.

„ Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν. ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε. Δίς.

Θανάτου τὴν νέκρωσιν, καὶ τοῦ ᾅδου ἀγαθὲ, εἰργάσω τὴν καθαίρεσιν, τριημέρῳ ταφῇ σου θεοπρεπῶς, ζωὴν δὲ ἐπήγασας, ἀναστὰς τοῖς ἐν Κόσμῳ Ἰησοῦ Βασιλεῦ. Θεοτ.

Ὁ τρόπος φιλόξενος, ἡ δὲ πίστις ὑψηλὴ, τοῦ Ἀβραὰμ ὑπάρχουσα, Τριάδος τὸ μυστή-

στη-

ςήειον τυπικῶς, δεξάμενος ἔχαιρε, τοῦ Χριςοῦ δὲ προτείχων νῦν ἀγάλλεται.

Τὴν Κτίσιν ὑπέταξε, νῦν ἡ πίςις τοῖς Παισὶ, τῇ δωρεᾷ τοῦ Πνεύματος. τὸ γὰρ πῦρ τὸ παμφάγον καὶ ἀναιδὲς, ἠδέσθη τοὺς σέβοντας, τοῦ πυρὸς τὸν ἐργάτην, Ἰησοῦν τὸν Χριςὸν

Τοῦ Κόσμου τὸ ἄγριον, τῇ κελεύσει τοῦ Χριςοῦ, ῥυθμίζεσθαι ὑπέφηνεν, εἰρήνην πρὸς τὴν θείαν θεοπρεπῶς, φιμώσας τοὺς λέοντας, Δανιὴλ ὁ Προφήτης ἐν τῷ λάκκῳ ποτέ. Θεοτοκίον.

Ἐνδύος ἐκύησας, ἐκ Παρθένου τὸν Χριςὸν, Μαρία μήτηρ ἀνανδρε, ὃν εἶδον οἱ Προφῆται θεοπτικῶς. αὐτοῦ προχορεύουσιν, οἱ Πατέρες οἱ θεῖοι τὰ γενέθλια.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νέος Οὐρανὸς, ὑπάρχουσα Δέσποινα. ἐκ μήτρας τῆς σῆς, ὡς ἐκ Νεφέλης Χριςὸν, δόξης Ἥλιον, ἀνατεῖλαι ἐπείγει Σπηλαίῳ σαρκὶ, ὡς μέλλοντα ταῖς λάμψεσιν, αὐτοῦ τε τηλαυγῶς, πάντα τὰ τῆς γῆς πληρώματα, καταυγάζειν δι᾽ οἶκτον ἀμέτρητον.

Εἶδες τὴν ἡμῶν, ὀδύνην καὶ κάκωσιν, οἰκτίρμων Χριςὲ, καὶ οὐ παρεῖδες ἡμᾶς, ἀλλ᾽ ἐκένωσας, σεαυτὸν μὴ ἐκςὰς τοῦ Γεννήτορος, καὶ ἐσκήνωσας εἰς μήτραν ἀπειρόγαμον. ἥτις ἀνωδίνως τέξεσθαι, σὲ σαρκὶ ἐν Σπηλαίῳ προέρχεται.

Ὄρη καὶ Βουνοὶ, Πεδία καὶ Φάραγγες, Λαοὶ καὶ Φυλαὶ, Ἔθνη καὶ πᾶσα πνοὴ, ἀλαλάξατε, εὐφροσύνης ἐνθέου πληρούμενα, ἦλθε πάντων ἐπεδήμησεν ἡ λύτρωσις, Λόγος τοῦ Θεοῦ ὁ ἄχρονος, ὑπὸ χρόνον δι᾽ οἶκτον γενόμενος. Καταβασία.

„ Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμε-
„ σεν, ἐνάλιος θὴρ, οἷον ἐδέξατο. τῇ
„ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος καὶ σάρ-
„ κα λαβὼν, διελήλυθε φυλάξας ἀδιαφ-
„ θορον. ἧς γὰρ οὐχ ὑπέςη ῥεύσεως, τὴν
„ τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον. Ἦχος Πλ. β'.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ᾽ ἀγράφῳ οὐσίᾳ θωρακισθέντες τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. ἐν μέσῳ δὲ φλογὸς ἀνυποςάτου ἱςάμενοι, Θεὸν ἐπεκαλεῖσθε. τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ὁ Οἶκος.

Ἔκτεινόν σου τὴν χεῖρα, ἧς πάλαι ἔλαβον πεῖραν Αἰγύπτιοι πολεμοῦντες, καὶ Ἑβραῖοι πολεμούμενοι. μὴ καταλίπῃς ἡμᾶς, καὶ καταπίῃ ἡμᾶς θάνατος ὁ διψῶν ἡμᾶς, καὶ σατᾶν ὁ μισῶν ἡμᾶς. ἀλλ᾽ ἔγγισον ἡμῖν, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν Παίδων σου, τῶν ἐν Βαβυλῶνι ἀπαύςως ἀνυμνούντων σε, καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον, καὶ ἐκ ταύτης κραυγαζόντων σοι. Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ἕτερον. Ἦχος α'. Χορὸς Ἀγγελικός.

Εὐφραίνου Βηθλεέμ, Εὐφραθᾶ ἑτοιμάζου. ἰδοὺ γὰρ ἡ Ἀμνὰς, τὸν Ποιμένα τὸν μέγαν, ἐν μήτρᾳ βαςάζουσα, τοῦ τεκεῖν κατεπείγεται. ὅνπερ βλέποντες, οἱ θεοφόροι Πατέρες χαίρουσι ἐπαγάλλονται, μετὰ Ποιμένων ὑμνοῦντες, Παρθένον θηλάζουσαν.

Ὁ Οἶκος.

Τῆς σῆς Παρθένε κυήσεως τὴν λαμπρότητα, καθορῶντες ἐκλάμπουσαν, Ἀβραὰμ ὁ φιλόθεος, καὶ Ἰσαὰκ ὁ ἀοίδιμος, καὶ Ἰακὼβ, καὶ πᾶς ὁ θεοσύλλεκτος χορὸς τῶν ἁγίων ἀγάλλεται, καὶ τὴν Κτίσιν προσήγαγον, πρὸς σὴν ὑπάντησιν, ἐν χαρμοσύναις λέξεσι. Χαρᾶς γὰρ πρόξενος πᾶσιν ὤφθης ἐν μήτρᾳ συλλαβοῦσα, τὸν ποτὲ ἐν Βαβυλῶνι ὁραθέντα, καὶ τοὺς Παῖδας τοὺς ἐν τῇ Καμίνῳ ἀδίκως βληθέντας, ἀφλέκτους σωτηρήσαντα, ὑπὲρ πᾶσαν ἔννοιαν. Διὸ καὶ ἀναμέλπουσι τὸν ὁρώμενον ἐν χερσὶ νεάνιδος, ὑμνοῦντες Παρθένον θηλάζουσαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρὸ τῆς Χριςοῦ γεννήσεως μνήμην ἄγειν ἐτάχθημεν παρὰ τῶν Ἁγίων καὶ θεοφόρων Πατέρων, πάντων τῶν ἀπ᾽ αἰῶνος Θεῷ εὐαρεςησάντων δικαίων Πατέρων, ἀπὸ Ἀδὰμ ἄχρι καὶ Ἰωσὴφ τοῦ μνήςορος τῆς Ὑπεραγίας Θεοτόκου κατὰ γενεαλογίαν, καθὼς ὁ Εὐαγγελιςὴς Ματθαῖος



Digitized by Google

θαῖος ἰσοβικῶς ἠριθμήσατο, ὁμοίως καὶ τῶν Προφητῶν καὶ Προφητίδων.

Μνήμη τῶν πρωτοπλάστων Ἀδὰμ καὶ Εὔας.

Ὑμνῶ θαρσοῦντας ζώντων γενεᾶς ἀρχηγέτας.
Τοὺς ζῆν με καὶ θνήσκειν μοι τοὺς παραιτίους.

Μνήμη τοῦ δικαίου Ἄβελ, υἱοῦ Ἀδάμ.

Βοᾷ Θεῷ σὸν αἷμα καὶ ψυχῆς δίχα,
Ὦ πρῶτε νεκρῶν, πρῶτε καὶ σεσωσμένων.

Μνήμη τοῦ δικαίου Σὴθ, υἱοῦ Ἀδάμ.

Σὴθ σπέρμα καινὸν τοῖς γονεῦσιν ἀντ' Ἄβελ,
Ἄνθρωπος ἦν δίκαιος, οἷος ἦν Ἄβελ.

Μνήμη τοῦ δικαίου Ἐνὼς, υἱοῦ Σήθ.

Ὀφθεὶς Ἐνὼς μέγιστος ἐκ τῆς ἐλπίδος,
Πολλαῖς ἐνῆκε ζῆλον εἰς τὴν ἐλπίδα.

Μνήμη τοῦ δικαίου Καϊνὰν, υἱοῦ Ἐνώς.

Βίβλῳ Καϊνὰν Μωσέως γεγραμμένος,
Κἂν τῷ παρόντι χρὴ γραφῆναι βιβλίῳ.

Μνήμη τοῦ δικαίου Μαλελεὴλ, υἱοῦ Καϊνάν.

Ὀξὺς προκείσθω Μαλελεὴλ τῷ λόγῳ,
Υἱὸς Καϊνὰν, οὗ προεμνήσθη λόγος.

Μνήμη τοῦ δικαίου Ἰάρεδ, υἱοῦ Μαλελεήλ.

Δίκαιον ὄντος ἐν δικαίων πληθύϊ,
Καὶ τοῦ δικαίου μνημονεύειν Ἰάρεδ.

Μνήμη τοῦ δικαίου Ἐνὼχ, υἱοῦ Ἰάρεδ.

Θεῷ προδήλως εὐαρεστήσας λόγῳ,
Ἐνὼχ ἀδήλοις ἐγκατῳκίσθης τόποις.

Μνήμη τοῦ δικαίου Μαθουσάλα, υἱοῦ Ἐνώχ.

Ἐνὼχ σε τέκνον ἐκμαθὼν Μαθουσάλα,
Ἔγραψα πρὸς μάθησιν ἄλλων ἐνθάδε.

Μνήμη τοῦ δικαίου Λάμεχ, υἱοῦ Μαθουσάλα.

Λάμεχ δύω γνοὺς, δεῖν ἔγνων τιμᾶν ἕνα,
Οὐ τὸν φονευτὴν, ἀλλ' ὁμωνύμως Λάμεχ.

Μνήμη τοῦ δικαίου Νῶε, υἱοῦ Λάμεχ.

Ἀδὰμ βροτοῖς ὄλεθρον, ἐκ ξύλου φέρει,
Διὰ ξύλου δὲ Νῶε πᾶν σώζει γένος.

Μνήμη τοῦ δικαίου Σὴμ, υἱοῦ Νῶε.

Σὴμ πατρικὴν γύμνωσιν ἐμφρόνως σκέπων,
Τὰς πατρικὰς εὕρατο, εὐχὰς εἰς σκέπην.

Μνήμη τοῦ δικαίου Ἰάφεθ, υἱοῦ Νῶε.

Μηθεὶς Ἰάφεθ πατρὸς αἰσχύνης πλάτος.
Βίου πλατυσμὸν εὐχαῖς πατρὸς λαμβάνει.

Μνήμη τοῦ δικαίου Ἀρφαξὰδ, υἱοῦ Ἰάφεθ.

Ζῇ Κύριος ζῶν, οὐ τὸν Ἀρφαξὰδ λείπω.
Καὶ γὰρ χρεὼν, καὶ τοῦτον ἐνταῦθα γράφειν.

Μνήμη τοῦ δικαίου Καϊνὰν, υἱοῦ Ἀρφαξάδ.

Καϊνὰν ἡμῖν ἐξεγήγερται νέος,
Τῷ πρὶν Καϊνὰν, ἐμφερὴς ἐκ τοῦ τρόπου.

Μνήμη τοῦ δικαίου Σάλα, υἱοῦ Καϊνάν.

Συμπατριωτῶν ὁρμαθὸν καὶ συμφύλων.
Ἡ συγγένεια αἰδέσει καὶ τὸν Σάλα.

Μνήμη τοῦ δικαίου Ἔβερ, ἀφ' οὗ καὶ οἱ Ἰουδαῖοι Ἑβραῖοι ἐκλήθησαν.

Μέγας τις ὄντως τοῖς Ἰουδαίοις Ἔβερ,
Ἐξ ἑαυτοῦ δοὺς κλῆσιν Ἑβραίων γένει.

Μνήμη τοῦ δικαίου Φάλεκ, υἱοῦ Ἔβερ,

Πανηγυρίζω καὶ τὸν ἐξ Ἔβερ τόκον,
Ὡς Μωϋσῆς γάρ φησι τίκτει τὸν Φάλεκ.

Μνήμη Ῥαγαὺ, υἱοῦ Φάλεκ.

Πάλιν κύησις, καὶ πάλιν νέος τόκος,
Υἱὸν Ῥαγαὺ τεκόντος ἡμῖν τὸν Φάλεκ.

Μνήμη τοῦ δικαίου Σεροὺχ, υἱοῦ Ῥαγαύ.

Γραφῶν παλαιῶν τοὺς ἀπ' ἀλλήλων τόκους,
Ἂν ἐκλάθωμαι τὸν Σεροὺχ ἁμαρτάνω.

Μνήμη τοῦ δικαίου Ναχὼρ, υἱοῦ Σερούχ.

Γένους ὑπάρχειν τῶν ἄνω λελεγμένων.
Καὶ τὸν Ναχὼρ γνοὺς οὐ διστῶ τοῦ γένους.

Μνήμη τοῦ δικαίου Θάῤῥα, υἱοῦ Ναχώρ.

Υἱὸς προελθὼν ἐκ Ναχὼρ κλῆσιν Θάῤῥας,
Πατὴρ ὑπῆρχε, πατρὸς Ἐθνῶν μυρίων.

Μνήμη τοῦ δικαίου Πατριάρχου Ἀβραὰμ, υἱοῦ Θάῤῥα.

Τὸν Ἀβραὰμ πῶς δεξιοῦμαι τοῖς λόγοις,
Ὃς ἠξιώθη δεξιοῦσθαι καὶ Νόας.

Μνήμη τοῦ Πατριάρχου Ἰσαὰκ, υἱοῦ Ἀβραάμ.

Δεθεὶς Ἰσαὰκ εἰς σφαγὴν τύπος γίνῃ,
Ἐπὶ σφαγὴν ἥξοντος ὑψίστου Λόγου.

Μνήμη τοῦ Πατριάρχου Ἰακὼβ, υἱοῦ Ἰσαάκ.

Διὰ κλίμακος Ἰακὼβ τῆς Παρθένου,
Πρὸς γῆν Θεὸν χωροῦντα πρὶν τόκου βλέπει.

Μνήμη τοῦ Πατριάρχου Ῥουβὶμ, υἱοῦ Ἰσαάκ.

Τῆς υἱότητος Ἰακὼβ τοῦ τιμίου,
Ῥουβὶμ ἔγνων θεῖόν σε ἀρχὴν τιμίαν.

Μνήμη τοῦ Πατριάρχου Συμεὼν, υἱοῦ Ἰακώβ.

Κἂν δευτερεύει Συμεὼν ἐκ τοῦ τόκου,
Κλέος παρ' ἡμῖν, οὐ τὸ δεύτερον φέρει.

Μνη-

Digitized by Google

Μνήμη τοῦ Πατριάρχου Λευΐ, υἱοῦ Ἰακώβ.
Χριστοῦ μεγίστου, θεῖος ὢν ὑπηρέτης,
Τί Λευΐ μεῖζον, τῆς δὲ τῆς δόξης θέλεις;
Μνήμη τοῦ Πατριάρχου Ἰούδα, υἱοῦ Ἰακώβ.
οὗ ἐκ τῆς φυλῆς ὁ Χριστός.
Ἰούδαν αἰνέσαισαν οἱ σεσωσμένοι.
Ἐξ Ἰούδα γὰρ, Χριστὸς ἡ σωτηρία.
Μνήμη τοῦ Πατριάρχου Ζαβουλὼν, υἱοῦ Ἰακώβ. οὗ ἡ Φυλὴ παράλιος.
Ἀκτὰς κατοικεῖν ὁ Ζαβουλὼν ἐκρίθη,
Γῆς καὶ Θαλάττης, εἰς τὴν ἄκρα συνδέων.
Μνήμη τοῦ Πατριάρχου Ἰσάχαρ, υἱοῦ Ἰακώβ. οὗ ἡ Φυλὴ γηπόνος.
Στήσας ἑαυτὸν εἰς τὸ πονεῖν Ἰσάχαρ,
Ζεύξει συνιστᾷ, γῆθεν ἄρτον ἐκφέρων.
Μνήμη τοῦ Πατριάρχου Δὰν, υἱοῦ Ἰακώβ.
οὗ ἡ Φυλὴ κριτής.
Λαοῦ κριτὴς Δὰν, γλῶττα τῆς ἐξουσίας,
Ζυγοῖς δικαίοις, πᾶσιν ἐξάγων κρίσιν.
Μνήμη τοῦ Πατριάρχου Γὰδ, υἱοῦ Ἰακώβ.
οὗ ἡ Φυλὴ λῃστευομένη, ἢ λῃστεύουσα.
Γὰδ πειρατευθεὶς, πειρατεύων ἐκτρέχει,
Νίκαις δὲ πάντων, πειρατῶν κατισχύει.
Μνήμη τοῦ Πατριάρχου Ἀσὴρ, υἱοῦ Ἰακώβ.
οὗ ἡ Φυλὴ πλουσία, ἐπὶ χώρας σιτοφόρου.
Ἀσὴρ δὲ φησὶ, πλείονα πλουτεῖ στάχυν,
Τρέφει τε τοὺς ἄρχοντας ἄρτῳ πλουσίῳ.
Μνήμη τοῦ Πατριάρχου Νεφθαλεὶμ, υἱοῦ Ἰακώβ.
οὗ ἡ Φυλὴ, πολὺ πλῆθος.
Ὡς ἔργον ὄντως, Νεφθαλεὶμ ἀνειμένον,
Εἰς πλῆθος αὐτῷ τῆς φυλῆς ἡπλωμένον.
Μνήμη τοῦ Πατριάρχου Ἰωσὴφ, υἱοῦ Ἰακώβ.
οὗ ἡ Φυλὴ περίδοξος, καὶ περιφανής.
Ηὐξημένον σε, σὸς Πατὴρ υἱὸν λέγων.
Δόξαν φυλῆς σῆς, Ἰωσὴφ διαγράφει.
Μνήμη τοῦ Πατριάρχου Βενιαμὶν, υἱοῦ Ἰακώβ. οὗ ἡ Φυλὴ ἀπὸ ἀγρίας, πραεῖα.
Φαγὼν τὸ πρωῒ, Βενιαμὶν ὡς λύκος,
Πρᾶος φανεὶς, δίδωσι βρῶσιν ἑσπέρας.
Μνήμη Φαρὲς, καὶ Ζαρὰ τῶν διδύμων, υἱῶν Ἰούδα τοῦ Πατριάρχου.
Κοινῶς ἐπαινῶ, σπέρμα κοινὸν Ἰούδα,
Φαρὲς Ζαρά τε, τοὺς διδύμους συγγόνους.

Μνήμη Ἐσρὼμ, υἱοῦ Φαρές.
Ἐκ Φαρὲς Ἐσρὼμ, ὥσπερ ἐκ ῥίζης κλάδος,
Ἄμφω δὲ ῥίζης, Ἀβραὰμ θεῖοι κλάδοι.
Μνήμη Ἀρὰμ, υἱοῦ Ἐσρώμ.
Γέγηθεν Ἐσρὼμ, οὐ νοσῶν ἀτεκνίαν,
Ἀρὰμ γὰρ αὐτῷ τέκνον ἠγαπημένον.
Μνήμη Ἀμιναδὰβ, υἱοῦ Ἀράμ.
Τὸν Ἀμιναδὰβ, ἐξ Ἀρὰμ φῦναι λόγος,
Τοῦτου γὰρ υἱὸν ἡ γραφὴ τοῦτον λέγει,
Μνήμη Ναασσὼν, υἱοῦ Ἀμιναδάβ.
Εἰ καὶ Ναασσὼν τῆς Ἰούδα φυτείας,
Ἐξ Ἀμιναδὰβ, τῆς φυλῆς ἐξ Ἰούδα.
Μνήμη Σαλμὼν, υἱοῦ Ναασσών.
Ηὔξησε σειρὰν ἀβραμιαίου γένους,
Σαλμὼν προελθὼν, τῆς Ναασσὼν ὀσφύος.
Μνήμη Βοὸζ, υἱοῦ Σαλμών.
Εὐαγγελιστὰ, τοῦδε Σαλμὼν υἱέα,
Τίνα γράφεις σύ; τὸν Βοὸζ φησὶ γράφω.
Μνήμη Ὠβὴδ, υἱοῦ Βοὸζ, τοῦ ἐκ τῆς Ῥοὺθ γεννηθέντος.
Ἐκ Ῥοὺθ μὲν Ὠβὴδ, τὴν φυλὴν Μωαβίτης,
Ἐκ τῆς Βοὸζ δὲ, δῆλος Ἰσραηλίτης.
Μνήμη Ἰεσσαὶ, υἱοῦ Ὠβήδ.
Ἰεσσαὶ τίκτε, τικτέτω καὶ σὸν γένος,
Ἕως ἀπ' αὐτοῦ, παῖς Θεὸς τεχθῇ μέγας.
Μνήμη Δαβὶδ Βασιλέως, υἱοῦ Ἰεσσαί.
Ἐγὼ τί φήσω μαρτυροῦντος Κυρίου;
Τὸν Δαβὶδ εὗρον, ὡς ἐμαυτοῦ καρδίαν;
Μνήμη Σολομῶντος Βασιλέως, υἱοῦ Δαβίδ.
Σοφὸς Σολομὼν, πρῶτος ἐν σοφοῖς βίβλοις
Ἔχων τὸ πρῶτον, τῶν καλῶν τῶν τοῦ βίου.
Μνήμη Ῥοβοὰμ Βασιλέως, υἱοῦ Σολομῶντος.
Ἐγκώμιόν σοι, Ῥοβοὰμ πλέκω μέγα.
Σὸν πάππον εἶναι, τὸν μέγαν Δαβὶδ λέγων.
Μνήμη Ἀβιὰ Βασιλέως, υἱοῦ Ῥοβοάμ.
Βοᾷ Ῥοβοὰμ, πρὸς τὸν Ἀβιὰ λέγων,
Ἐγὼ Πατὴρ σὸς, καὶ σὺ μου τὸ τεκνίον.
Μνήμη Ἀσὰ Βασιλέως, υἱοῦ Ἀβιά.
Εὐθῆ τὸν Ἀσὰ, μηνύει Βασιλέα,
Ἡ τετράτιτλος τῶν βασιλειῶν βίβλος.

Μνή-

Digitized by Google

Μνήμη Ἰωσαφὰτ Βασιλέως, υἱοῦ Ἀσά.
Ἰωσαφὰτ τὰ πάντα χρηστὸς ἐν βίῳ.
Εὑρὼν ἀφορμὰς, πατρόθεν χρηστοῦ βίου.
Μνήμη Ἰωρὰμ Βασιλέως, υἱοῦ Ἰωσαφάτ.
Ἰωρὰμ ἡμῖν, ἐξ Ἰωσαφὰτ ἔφυ.
Υἱὸς Βασιλεὺς, ἐκ πατρὸς Βασιλέως.
Μνήμη Ὀζίου Βασιλέως, υἱοῦ Ἰωράμ.
Ἀνῆκε καρπὸν ἄγριον τὸν Ὀζίαν,
Ἄναξ Ἰωρὰμ, Ἰωσαφὰτ ὁ κλάδος.
Μνήμη Ἰωάθαμ Βασιλέως, υἱοῦ Ὀζίου.
Τὸν Ἰωάθαμ, ὡς νεοττὸν Ὀζίου,
Τῆς βασιλείας, ἡ καλιὰ λαμβάνει.
Μνήμη Ἄχαζ Βασιλέως, υἱοῦ Ἰωάθαμ.
Τὸ τῆς κεφαλῆς, στέμμα τὸν Ἰωάθαμ,
Στέφει κεφαλὴν ἀπρεπῶς καὶ τὸν Ἄχαζ.
Μνήμη Ἐζεκίου Βασιλέως, υἱοῦ Ἄχαζ.
Σοβεῖ τελευτὴν δακρύσας Ἐζεκίας.
Τοσοῦτον ἰσχύουσι ῥεῖθρα δακρύων.
Μνήμη Μανασσῆ Βασιλέως,
υἱοῦ Ἐζεκίου.
Σωτηριῶδες πρὸς μετάγνωσιν βάθρον,
Μανασσῆς ἡμῖν, τὴν προσευχὴν πηγνύει.
Μνήμη Ἀμμὼν Βασιλέως, υἱοῦ Μανασσῆ.
Ἀμμὼν κυηθεὶς, τῆς ἀλουργίδος μέσον,
Ἦν καὶ Βασιλεὺς, καὶ βασιλείας τέκνον.
Μνήμη Ἰωσίου Βασιλέως, υἱοῦ Ἀμμών.
Ἰωσίας ἔναντι τοῦ Θεοῦ μέγας.
Ὃν χρὴ ἐπαινεῖν, δειλιῶ μὴ σμικρύνω.
Μνήμη Ἰεχονίου Βασιλέως, υἱοῦ Ἰωσίου.
Ἐκ Βαβυλῶνος τῇ μετοικίᾳ λόγος,
Ἰεχονίαν ἐμπαροικῆσαι βίῳ.
Μνήμη Σαλαθιὴλ, υἱοῦ Ἰεχονίου.
Πρῶτον μετ᾽ αὐτὴν, τὴν μετοικίαν τέκνον.
Τὸν Σαλαθιὴλ, Ἰούδα φυλὴ φύει.
Μνήμη Ζοροβάβελ, τοῦ τὸν ναὸν τῶν
Ἱεροσολύμων καυθέντα
ἀνεγείραντος.
Ναβουζαρδὰν ἔκαυσε ναὸν Κυρίου.
Οὐ καῦσιν ἦρε, κτίσμασι Ζοροβάβελ.
Μνήμη Ἀβιοὺδ, υἱοῦ Ζοροβάβελ.
Ἀβιοὺδ ὄρπηξ, ἐκ φυλῆς Ζοροβάβελ.
Ὡς τῶν φυλῶν ὄν, καὶ τὸν ὄρπηκα γράφω.
Μνήμη Ἐλιακεὶμ, υἱοῦ Ἀβιούδ.
Τὸν Ἐλιακεὶμ, Ἀβιοὺδ γράφει γόνον,
Ματθαῖος ἡμῖν, ἀκριβὴς χρονογράφος,

Μνήμη Ἀζὼρ, υἱοῦ Ἐλιακείμ.
Ὁ θεῖος Ἀζὼρ, ἐξ Ἐλιακεὶμ ἔφυ,
Θεία γραφὴ λέγουσα τοῦτο πεισάτω.
Μνήμη Σαδὼκ, υἱοῦ Ἀζώρ.
Ἀζὼρ κυΐσκων τὸν Σαδὼκ οὐ λανθάνει.
Ὃν συγγραφεὺς γνοὺς, ἐκκαλύπτει τὸν
τόκον.
Μνήμη Ἀχεὶμ, υἱοῦ Σαδώκ.
Τοῖς τοῦ Σαδὼκ ζητοῦσιν υἱὸν Ματθαῖος,
Δείξει τὸν Ἀχεὶμ, ἐκβαλὼν τὸ Βιβλίον.
Μνήμη Ἐλιοὺδ, υἱοῦ Ἀχείμ.
Τεχθεὶς ἀπ᾽ Ἀχεὶμ, Ἐλιοὺδ ὤφθη τέκνον,
Ὀφθήσεται δὲ καὶ πατὴρ τεκνοτρόφος.
Μνήμη Ἐλεάζαρ, υἱοῦ Ἐλιούδ.
Ἰδοὺ τεκόντα, καὶ τὸν Ἐλιοὺδ ἔγνων,
Ἐλεάζαρον τέκνον εἰ βούλει μάθε.
Μνήμη Ματθὰν, υἱοῦ Ἐλεάζαρ.
Ἐλεάζαρ δὲ, τὸν Ματθὰν γεννᾶν λέγει,
Μαιευτρίας ἄκουε ματθαίου Βίβλου.
Μνήμη Ἰακὼβ, υἱοῦ Ματθάν.
Καὶ Ματθὰν εἰσωέγκεν υἱὸν εἰς βίον.
Τὸν Ἰακὼβ γὰρ εἰσενεγκὼν εὑρέθη.
Μνήμη Ἰωσὴφ τοῦ Μνήστορος, υἱοῦ Ἰακώβ.
Μνηστὴρ Ἰωσὴφ, ὃν τὸ Πνεῦμα πρὸ γάμου.
Μνηστὴν ἐκείνου, συλλαβοῦσαν δεικνύει.
Μνήμη τοῦ δικαίου Μελχισεδέκ.
Ἔχει γραφὴ σε, πατρὸς καὶ μητρὸς δίχα.
Χριστοῦ τυποῦντα, Μελχισεδὲκ τοὺς τόκους,
Μνήμη τοῦ δικαίου Ἰώβ.
Ὕψιστον εὑρὼν, ἀξίως ἐπαινέτην.
Ἰὼβ ἐπαινῶν, οὐ δέη μοι γηίνων.
Μνήμη τῶν Προφητῶν, Μωσέως,
Ὢρ, καὶ Ἀαρὼν, τῶν ἱερέων.
Σὺν Ὢρ Ἀαρὼν, προγράφει Χριστοῦ πά-
θος.
Ὑψοῦντες ἄμφω, σταυρικῶς τὸν Μωσέα.
Μνήμη Ἰησοῦ τοῦ Ναυῆ.
Ὑμνεῖν Ἰησοῦν ποῖος ἀρκέσει λόγος,
Ὧ συλλαλῶν ὑπῆρχε καὶ Θεὸς Λόγος.
Μνήμη τοῦ Ἁγίου Προφήτου Σαμουήλ.
Ὀφθαλμὸν ἡμῖν, Σαμουὴλ Θεοῦ τίθει,
Ὀφθαλμοῦ θείου, καὶ τὰ μέλλοντα βλέπων.
Μνήμη τοῦ Προφήτου Νάθαν.
Ἁμαρτιῶν ἔλεγχος, ὀξὺς ὢν Νάθαν,
Ἡμάρτομεν λέγουσι, συγγνώμην νέμοις.
Μνή-

Digitized by Google

Μνήμη τοῦ Ἁγίου Προφήτου Δανιήλ.

Καὶ θηρία φρίττουσιν, ἀρετῆς φίλον.
Ἔργοις Δανιὴλ τοῦτο πιστοῦται μέγας.

Μνήμη τῶν Ἁγίων τριῶν Παίδων.

Καὶ πῦρ τὸ πῦρ ἦν τῆς καμίνου καὶ δρόσος,
Πρὸς δυσσεβεῖς πῦρ, πρὸς δὲ τοὺς Παῖδας δρόσος.

Μνήμη τῆς δικαίας Σάῤῥας, γυναικὸς Ἀβραάμ.

Νεύσει Θεοῦ, καὶ στεῖρα νικᾶται φύσις,
Καὶ μάρτυς ὠδίνουσα Σάῤῥα παιδίον.

Μνήμη τῆς δικαίας Ῥεβέκκας. γυναικὸς Ἰσαάκ.

Καὶ τὴν ἀρίστην, τῶν γυναικῶν Ῥεβέκκαν,
Ἄριστος εὗρεν, ἀνδρῶν κοινωνὸν λέχους.

Μνήμη τῆς δικαίας Λείας, πρώτης γυναικὸς Ἰακώβ.

Λείας προσώπῳ, Κύριος μὴ δοὺς χάριν,
Κυήσεως δίδωσι τῇ μήτρᾳ χάριν.

Μνήμη τῆς δικαίας Ῥαχὴλ, δευτέρας γυναικὸς Ἰακώβ.

Θεοὺς πατρῴους, ἡ Ῥαχὴλ κλέπτει πάλαι,
Ἐν ἐσχάτῳ δὲ, τὸν Θεὸν ποθεῖ λόγον.

Μνήμη τῆς δικαίας Ἀσινὲθ, γυναικὸς Ἰωσὴφ τοῦ παγκάλλου.

Κάλλει παρῆλθεν ἥλιος μὲν ἀστέρας,
Ἡ δ' Ἀσινὲθ μοι τὰς ὑφ' ἥλιον κόρας.

Μνήμη τῆς δικαίας Μαρίας, ἀδελφῆς Μωϋσέως.

Ἄσωμεν εἶπε, καὶ πάλιν τῷ Κυρίῳ,
Εὐχῆς κροτοῦσα, τύμπανον νῦν Μαρία.

Μνήμη τῆς δικαίας Δεβόῤῥας, τῆς κρινάσης τὸν Ἰσραήλ.

Ὑπὲρ γυναῖκας, ἡ Δεβόῤῥα τὴν φρένα,
Βάθει φρενὸς κρίνουσα λαὸν Κυρίου.

Μνήμη τῆς δικαίας Ῥούθ.

Ἔθνος λιποῦσα, Ῥοὺθ ἑαυτῆς καὶ σέβας,
Ἔθνει προσῆλθε, καὶ Θεῷ τοῦ Μωσέως.

Μνήμη τῆς δικαίας Σαραφθίας, πρὸς ἣν Ἠλίας ἀπεστάλη.

Ἄναρτον εἶχε, τὴν τροφὴν Σαραφθία,
Καινὸν λαχοῦσα, λήϊον τὸν Ἠλίαν.

Μνήμη τῆς δικαίας Σωμανίτιδος, τῆς ξενοδοχησάσης τὸν Ἐλισσαῖον.

Ἐλισσαῖός σου κλεῖθρα νηδύος λύει,
Ὦ κλεῖθρα Σωμανῖτις ἣν οἶξας δόμου.

Μνήμη τῆς δικαίας Ἰουδὴθ, τῆς ἀνελούσης τὸν Ὀλοφέρνην.

Ὃν πᾶς ἀνὴρ ἔφριττε δεινὸν ὁπλίτην.
Γυνὴ καθεῖλεν, Ἰουδὴθ, Ὀλοφέρνην.

Μνήμη τῆς δικαίας Ἐσθὴρ, τῆς λυτρωσαμένης τὸν Ἰσραὴλ ἐκ θανάτου.

Ἔσωσεν Ἐσθὴρ ἄνδρας Ἰσραηλίτας,
Ἅδου σκηνὴν μέλλοντας εἰσδῦναι πάλαι.

Μνήμη τῆς δικαίας Ἄννης, τῆς μητρὸς Σαμουὴλ τοῦ Προφήτου.

Εὐχῆς τέκνον τεκοῦσα, Σαμουὴλ μέγαν,
Νικᾷ Φεννάνναν, Ἄννα πολλοῖς ἐν τέκνοις.

Μνήμη τῆς δικαίας Σωσάννης.

Καινὸν πρόκειται, σωφρονούσαις ἐν βίῳ,
Ὁ τῆς Σωσάννης, σωφρονέστατος βίος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους Παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ. Δίς.

Ὑπερφρόνων θαῦμα, ὁ ἐν ὑψίστοις καθήμενος, ἐπὶ θρόνου, Κύριος αὐτὸς, προσλήψει σαρκὸς, θάνατον ὑπέμεινεν. ἀλλ' ἐξανέστη Θεότητος ἰσχύϊ, συνεγείρας νεκροὺς τοὺς ἀπ' αἰῶνος. Δίς.

Χριστὸν γεννήσας, τὸν κατὰ σάρκα τῆς πίστεως, ἀρχηγέτα, Πάτερ Ἀβραὰμ, ἐδείχθης Ἐθνῶν, Πνεύματι Πατὴρ ἐναργῶς, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ἄψυχου ἤχου, διακρινῆς ἀλλαξάμενος, τῶν ἐμψύχων, ἤμβλυνεν ᾠδὴ, καμίνου πυρὸς, φλεγομένοις σώμασι, καταπατοῦντες οἱ Παῖδες ἀνεβόων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Τῇ θεωρίᾳ, ἐνατενίσας τοῦ Πνεύματος, ὁ Προφήτης, πάλαι Δανιὴλ, Χριστοῦ

προ-

Digitized by Google

τυποῖ, τὴν δευτέραν ἔλευσιν, καὶ τὰ ἐν ταύτῃ φρικτὰ προκαταγγέλλει, ἐκβοῶν· ὁ Θεὸς, εὐλογητὸς εἶ. Θεοτοκίον.

Τὸ ξένον θαῦμα, τὸ ἐν Προφήταις θρυλλούμενον, καὶ πατράσι, πάλαι ἐμφανῶς, Παρθένος Ἁγνὴ, τεξομένη πάρεστιν, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς, εὐλογητὸς εἶ.

Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ.

Ἡ ἄμπελος ἡ θεία, τὸν ἀκήρατον βότρυν περκάζουσα, ἐγγίζει ἥκει τοῦ τεκεῖν, εὐφροσύνης οἶνον βλύζοντα, καὶ ποτίζοντα ἡμᾶς, αὐτῷ κραυγάζοντας· ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Ἡ θεία μυροθήκη, τὸ εὐῶδες μύρον ἔνδον φέρουσα, ἐν τῷ Σπηλαίῳ Βηθλεὲμ, ἐκκενῶσαι τοῦτο ἔρχεται, εὐωδίας μυστικῆς πληροῦν τοὺς μέλποντας. ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Λαβὶς ἣν Ἡσαΐας, ὁ Προφήτης πάλαι ἐθεάσατο, τὸν θεῖον ἄνθρακα Χριστὸν, ἐν κοιλίᾳ ἥκει φέρουσα, πᾶσαν ὕλην ἁμαρτίας καταφλέγοντα, τῶν δὲ πιστῶν τὰς ψυχὰς φωταγωγοῦντα. Καταβ.

„ Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Ἔκστηθι φρίττων Οὐρανὲ, καὶ σαλευθήτωσαν, τὰ θεμέλια τῆς γῆς, ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις Θεὸς, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Ὢ τῆς ἀφάτου σου Χριστὲ, συγκαταβάσεως, δι᾽ ἡμᾶς τοὺς ταπεινούς. ἰδοὺ γὰρ θανάτου γευσάμενος, Θεὸς ἀθάνατος ὢν, ἐν τάφῳ ὡς βροτὸς κατετέθης. ἀλλ᾽ ἐξανέστης Λόγε, συνεγείρας τοὺς κάτω, σὲ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Σοῦ τὴν σφαγὴν προεκτυπῶν, ὁ Ἀβραὰμ Χριστὲ, ὃν ἐκύησεν Υἱὸν, ἐν ὄρει πειθαρχῶν σοι Δέσποτα, καθάπερ πρόβατον, ἀνῆλθε θυσιάσων ἐν πίστει. ἀλλ᾽ ἐπανῆκε χαίρων, Ἰσαὰκ καὶ πρεσβύτης, σὲ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Φλὸξ ἡ ἀκάματος Χριστὲ, ἐνδυσαμένη σε, ὡς ἱμάτιον τὸ πῦρ, τὸ θεῖον, τῶν Ἁγίων Παίδων σου, ἀπημαυρώθη σφοδρῶς, καὶ δρόσος τῇ σῇ συγκαταβάσει, τοῖς ψάλλουσιν ἠχεῖτο, Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δίδοται λέουσι βορὰ, ἀρρήτοις κρίμασιν, ὁ Προφήτης Δανιὴλ, ἀλλ᾽ ἔσχεν ἐγκρατείας δόγμασι, συνηστῶτας εὐσεβῶς, τοὺς θῆρας ἐν τῷ βόθρῳ τοῦ λάκκου. αὐτοῦ ταῖς ἱκεσίαις. Ἀβραὰμ καὶ τῶν Παίδων, σῶσον ἐν εἰρήνῃ, Χριστὲ τοὺς σὲ ὑμνοῦντας. Θτ.

Ὃν προκατήγγειλαν πιστῶς, προφητικαὶ φωναὶ, Ἰησοῦν Ἐμμανουὴλ, ἀνθρώπου ἐν μορφῇ ἐρχόμενον, τὸν τοῦ Θεοῦ καὶ Πατρὸς, Υἱόν τε καὶ συνάναρχον Λόγον, ἐκ Πνεύματος Ἁγίου, ἡ Παρθένος Μαρία, τίκτει ἀπειράνδρως, ἐν Βηθλεὲμ τῇ Πόλει.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Δόξα ἐν ὑψίστοις Θεῷ μετ᾽ Ἀγγέλων, ἐκβοήσωμεν ἐν εὐφροσύνῃ. ὁ Σωτὴρ τεχθήσεται. ὁ Δεσπότης ἐπιδημεῖ, ὃν Ἀστὴρ ὑποδεικνύει. Μάγοι σπεύδουσιν, αὐτὸν ἐπὶ φάτνης τοῦ θεάσασθαι· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Δούλοις ἀπογραφῆς ἑκὼν ὁ Δεσπότης, τῷ τοῦ Καίσαρος ὑπείκων νόμῳ. ὅπως τὸ ἀνθρώπινον, τῆς δουλείας τοῦ πονηροῦ, ὡς Θεὸς ἐλευθερώσῃς Πολυέλεε, διὸ γεγηθότες ἀναμέλπομεν. εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκ.

Βρέφος νέον φέρω σε Ἄναρχε Λόγε, πεῖραν δὲ ὅλως ἀνδρὸς οὐκ ἔγνων, ἡ Παρθένος ἔλεγεν, ἀποροῦσα τίνα ἐν γῇ ὀνομάσω σου, Πατέρα οὐκ ἐπίσταμαι; διὸ μετὰ πάντων ἀναμέλπω σοι· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας. Καταβασία.

„ Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε Κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο, φλέγει νέους, ὡς οὐδὲ πῦρ, τῆς θεό-

Digitized by Google

„ θεότητος, Παρθένε, τὴν ὑπὲρ νοῦν. διὸ
„ ἀνυμνοῦντες ἀναμέλψωμεν ἀλογεῖτω ἡ
„ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψοῦ-
„ τω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν
„ τάφῳ, ὃν ἐν Γαστρὶ ἄνευ σπορᾶς,
„ συνέλαβες Υἱόν, ἀναστήσομαι γὰρ καὶ δο-
„ ξασθήσομαι καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως
„ ὡς Θεός, τοὺς ἐν πίστει καὶ πόθῳ, σὲ με-
„ γαλύνοντας, Δίς.

Νῦν ἐποδήρη ἡ Κτίσις, ἐν Σταυρῷ καθο-ρῶσα, καὶ ἐν σορῷ τὸν τῆς ζωῆς, Δεσπότην καὶ Θεόν; ἀναστήσεται γὰρ καινοποιῶν σε φαιδρῶς, τριημέρῳ ἐγέρσει, τὸν ᾅδην καθελών, καὶ νεκροὺς συνεγείρας, ἀνυμνοῦντας αὐτόν.

Νῦν ὢν πρὸ τοῦ νόμου Πατέρων, ἑορτὴν ἐκτελοῦντες, τὸν ἐξ αὐτῶν θεοπρεπῶς, τιμῶμεν Ἰησοῦν. Ἀβραὰμ γὰρ ὁμοῦ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Προφητῶν καὶ τοῦ νόμου, ἐδείχθησαν κρηπῖς, καὶ τῆς χάριτος πίστει, πραγματικαὶ ἀπαρχαί.

Ὁ ἐν πυρὶ ὑποδείξας, τῷ Μωσῇ ἐν τῇ βάτῳ, τὸ ὑπὲρ νοῦν θεοπτικῶς, μυστήριον Θεός, ἐν πυρὶ τοῖς παισὶ συγκαταβὰς ὁ αὐτός, τῷ πυρὶ τῆς ἐμφύτου, Θεότητος αὐτοῦ, τῆς καμίνου τὴν φλόγα, δρόσον ἀπέδειξε.

Νῦν ὁ Ἀβραὰμ συνελθόντες, οἱ Πανάγιοι Παῖδες, καὶ Δανιὴλ ὁ Θαυμαστός, Προφήτης τοῦ Θεοῦ, Ἰσαὰκ Ἰακὼβ μετὰ Μωσῆ καὶ Ἀαρών, τοῦ Χριστοῦ πρὸ τοῦ τόκου, χορεύουσι πιστῶς, δυσωποῦντες ἀπαύστως, εἰς τὸ σωθῆναι ἡμᾶς.

Θεοτοκίον.

Συγχαίρει πᾶσα ἡ Κτίσις, τῷ σῷ τόκῳ Παρθένε. τὴν γὰρ Ἐδὲμ ἡ Βηθλεέμ, διήνοιξεν ἡμῖν. καὶ ἰδοὺ τῆς ζωῆς, τοῦ ξύλου ἅπαντες ἀπολαύοντες, πίστει βοῶμεν ἐκτενῶς, τὰς ἡμῶν ἱκεσίας, Δέσποινα πλήρωσον. Ἄλλος. Μυστήριον ξένον.

Μυστήρια ξένα, φρικτὰ καὶ παράδοξα, ὁ τῆς δόξης Κύριος, ἦλθεν ἐπὶ τῆς γῆς, καὶ Σπηλαίῳ πτωχεύσας, ὑπέδυ σάρκι, τὸν Ἀδὰμ ἀνακαλέσασθαι ζητῶν, καὶ τὴν Εὔαν τῶν ὠδίνων ἐκλυτρώσασθαι.

Ἐπαρχαγοῖς συνλύεις, σειρὰς παραπτώσεων. τῇ πολλῇ πτωχείᾳ δέ, πάντας καταπλουτίζεις Οἰκτίρμων. ἀλόγου κακίας τε θεὶς, ἐν φάτνῃ τῶν ἀλόγων δέ, βροτοὺς ἀπαλλάττεις, τοῦ Θεοῦ Λόγε προανάρχε. Θεοτ.

Κηρύγματα, τῶν Προφητῶν πέρας εἴληφεν. ὃν γὰρ προεφήτευσαν, ἥξειν ἐν συντελείᾳ τῶν χρόνων, ἐπέστη ἐφάνη Ἁγνῆς, ἐκ Παρθένου σωματούμενος. αὐτὸν διανοίᾳ καθαρᾷ ὑποδεξώμεθα. Καταβασ.

„ Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον.
„ Οὐρανὸν τὸ Σπήλαιον, Θρόνον
„ Χερουβικόν, τὴν Παρθένον, τὴν Φάτ-
„ νην χωρίον. ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρη-
„ τος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες με-
„ γαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς.

Πατριαρχῶν οἱ πρόκριτοι, καὶ πρὸ νόμου Πατέρες, ἐν πίστει προεξέλαμψαν, Ἀβραὰμ Ἰσαάκ τε, καὶ Ἰακὼβ ὡς Φωστῆρες. ἅπαντες γὰρ Προφῆται, καὶ Δίκαιοι ἀνήφθησαν, ἐξ αὐτῶν ὡς λαμπάδες, φωτοειδεῖς καὶ τὴν Κτίσιν, ἀκτῖσι κατεφώτισαν, τῆς σεπτῆς Προφητείας. Ἕτερον. Ὅμοιον.

Εὐφραίνου Βηθλεὲμ καὶ σύ, Εὐφραθᾶ ἑτοιμάζου· ἡ Θεοτόκος ἥκει γάρ, ἐν Σπηλαίῳ καὶ φάτνῃ, τεκεῖν Θεὸν ἀπορρήτως· ὢ φρικτοῦ μυστηρίου· οὗ νῦν τὴν θείαν γέννησιν, Ἀβραὰμ Ἰσαάκ τε, καὶ Ἰακώβ, Πατριάρχαι, ἅπαντες καὶ Προφῆται, φαιδρῶς προεορτάζουσι, καὶ βροτοὶ σὺν Ἀγγέλοις.

Εἰς τοὺς Αἴνους, ἡ΄. Ἀναστάσιμα τῆς Ὀκτωήχου, δ΄. τῶν Ἁγίων Πατέρων, προσόμοια. Ἦχος Πλ. α΄.

Πρός, Χαίροις ἀσκητικῶν.

Χαῖρε ὄρος σου τὴν φωνὴν ἀληθῶς, Σιὼν Θεοῦ ἡ θεία Πόλις καὶ κήρυξον, Πατέρων τὴν θείαν μνήμην, σὺν Ἀβραὰμ Ἰσαάκ, Ἰακὼβ τιμῶσα τὸν ἀοίδιμον. ἰδοὺ σὺν Ἰούδα τε, καὶ Λευῒ μεγαλύνομεν, Μωσῆν τὸν μέγαν, Ἀαρὼν τὸν θαυμάσιον, καὶ γεραίρομεν, σὺν Δαβὶδ Ἰησοῦν Σαμουήλ. πάντες τὴν προεόρτιον, Χριστοῦ θείαν Γέννησιν, ὑ-

μνοις

Digitized by Google

μνοις ἐνθέοις κροτοῦντες, τῆς παρ᾽ αὐτοῦ ἀγαθότητος, τυχεῖν ἐξαιτοῦμεν, τοῦ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δεῦρο ὁ ἐν πυρίνῳ ποτὲ, ἐπιδιφρεύσας Ἠλιοῦ θείῳ ἅρματι, Θεόφρων Ἐλισσαιέ τε, σὺν Ἐζεκίᾳ ὁμοῦ, Ἰωσία ἅμα συμπαγάλλεσθε, σεπτὴ δωδεκάς τε, τῶν Προφητῶν ἡ Θεόπνευστος, τοῖς γενεθλίοις, τοῦ Σωτῆρος συγχορεύει, καὶ ἐν ᾄσμασι, πάντες Δίκαιοι ᾄσατε. Παῖδες οἱ Παμμακάριστοι, οἱ δρόσῳ τοῦ Πνεύματος, σβέσαντες φλόγα καμίνου, ὑπὲρ ὑμῶν ἱκετεύσατε, Χριστὸν δυσωποῦντες, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Ὤφθη ἡ ἀπ᾽ αἰῶνος ἐν γῇ, κηρυττομένη, Προφητῶν ἐν τοῖς φθέγμασι, Παρθένος ἡ Θεοτόκος, ἣν Πατριάρχαι σοφοὶ, καὶ Δικαίων δῆμοι καταγγέλλουσι. μεθ᾽ ὧν συγχορεύει, καὶ γυναικῶν ἡ εὐπρέπεια, Σάρρα Ῥεβέκκα, Ῥαχὴλ καὶ ἡ Ἄννα τε, καὶ ἡ ἔνδοξος, Μαριὰμ ἡ Μωσέως ὁμοῦ, ταύταις συνεπαγάλλονται, καὶ Κόσμου τὰ πέρατα, σύμπασα Κτίσις γεραίρει, ὅτι Θεὸς παραγίνεται, σαρκὶ τοῦ τεχθῆναι, καὶ δωρήσασθαι τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δευτεροῦμεν τὸ, ά. Δόξα. Ἦχος Πλ. δ΄.

Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος. τὴν ἐν σαρκὶ ἐμφανίζει τοῦ Χριστοῦ θείαν Γέννησιν. τοὺς πρὸ τοῦ Νόμου τὴν χάριν εὐαγγελιζομένους, ὡς ὑπὲρ Νόμου τῇ πίστει ὑπάρξαντας. ὅθεν τῆς φθορᾶς ἀπαλλαγὴν ἔσχον πρόξενον. ταῖς ἐν ᾅδῃ κατεχομέναις ψυχαῖς προεκήρυττον, διὰ τῆς ἀναστάσεως. Κύριε δόξα σοι. Καὶ νῦν. Ὑπερδεδοξασμένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ, καὶ ἐκ τοῦ Κανόνος τῶν Πατέρων, Ὠδὴ γ΄. καὶ ϛ΄.

## Τῷ αὐτῷ Μηνὶ Κ΄.

**Τοῦ Ἁγίου Ἱερομάρ. Ἰγνατίου τοῦ Θεοφόρου.**

Ἀπὸ ταύτης ἀρχόμεθα τῶν προεορτίων τῆς κατὰ σάρκα Γεννήσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Δεῖ εἰδέναι, ὅτι τὴν Ὀκτώηχον οὐ ψάλλομεν, μέχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Ἁγίων Θεοφανείων, ἤγουν ἀπὸ τῆς κ΄. τοῦ Δεκεμβρίου Μηνὸς, μέχρι τῆς ιδ΄. τοῦ Ἰαννουαρίου Μηνός.

Εἰς τὸ λυχνικὸν, ἡ συνήθης στιχολογία. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν προεόρτια, στιχηρὰ ἰδιόμελα τρία, Ἦχος ά. Ἀνατολικά.

Προεορτάσωμεν λαοὶ, Χριστοῦ τὰ γενέθλια, καὶ ἐπάραντες τὸν νοῦν, ἐπὶ τὴν Βηθλεὲμ ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὴν Παρθένον, τοῖς ψυχικοῖς λογισμοῖς, ἐπειγομένην τίκτειν ἐν Σπηλαίῳ, τὸν τῶν ὅλων Κύριον καὶ Θεὸν ἡμῶν. ὃν Ἰωσὴφ κατιδὼν, τῶν θαυμάτων τὸ μέγεθος, ἐδόκει ἄνθρωπον θεωρεῖν, ὡς βρέφος σπαργανούμενον, ὑπενόει δὲ ἐκ τῶν πραγμάτων, Θεὸν εἶναι ἀληθινὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Προεορτάσωμεν λαοὶ, Χριστοῦ τὰ γενέθλια, καὶ τὸν νοῦν ἐπάραντες, ἐπὶ τὴν Βηθλεὲμ, ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὸ ἐν Σπηλαίῳ μέγα μυστήριον. ἠνοικται γὰρ ἡ Ἐδὲμ, ἐκ Παρθένου Ἁγνῆς, Θεοῦ προερχομένου, τέλειος ὑπάρχων ὁ αὐτὸς ἐν Θεότητι καὶ ἀνθρωπότητι. διὸ κράξωμεν· Ἅγιος ὁ Θεὸς, ὁ Πατὴρ ὁ Ἄναρχος. Ἅγιος Ἰσχυρὸς, ὁ Υἱὸς ὁ σαρκωθείς. Ἅγιος Ἀθάνατος, τὸ παράκλητον Πνεῦμα. Τριὰς Ἁγία δόξα σοι.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ. ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, πρόεισι τεχθῆναι, ἐκ Κόρης Ἀπειράνδρου, εὐδοκίᾳ, τοῦ φύσαντος αὐτὸν ἀπαθῶς, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Βηθλεὲμ εὐτρέπιζου, ἄνοιγε πύλην ἡ Ἐδέμ. ὅτι ὁ ὢν, γίνεται ὃ οὐκ ἦν, καὶ ὁ πλαστουργὸς πάσης Κτίσεως ἀναπλάττεται, ὁ παρέχων τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρὰ προσόμοια, τοῦ Ἁγίου. Ἦχος δ΄.

Ὁ ἐξ ὕψους κληθείς.

Ὁ Θεοφόρος καλούμενος ἀξίως, ὅτε ὁ Δι-



Digitized by Google

πότης σε, Μάκαρ Ἰγνάτιε, ὡς συμπαθὴς ἠγκαλίσατο, φιλοσοφίας, τῆς ἀνωτάτης φαίνων τὰ δόγματα, τότε τὴν πολύφωτον. αἴγλην εἰσδέδεξαι, καθάπερ σπόγγος τὰ νάματα. ἐκ τῆς ἀβύσσου, τῶν φωτισμάτων ἀνιμησάμενος. ὅθεν κατ' ἴχνος ἠκολούθησας, τῷ καλοῦντι Χριστῷ τῷ Θεῷ ἡμῶν, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Ὁ τετρωμένος ἀγάπῃ τῇ τελείᾳ, ὅτε ὁ πρηστήριος, ἔρως ἀνέφλεγε, σοῦ τὴν ψυχὴν Ἱερώτατε, πρὸς τὸν Δεσπότην, σὲ κατεπείγων, Πάτερ πορεύεσθαι, τότε τὸν ἀοίδιμον, λόγον ἐβόησας, σῖτος ὑπάρχω τοῦ Κτίσαντος, καὶ δι' ὀδόντων, δεῖ με θηρίων πάντως ἀλήθεσθαι. ἵνα τῷ λόγῳ καθαρώτατος, ἄρτος φανῶ τῷ Θεῷ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Ὅμοιον.

Συνεσταυρώθης Χριστῷ Ἱεροφάντωρ, ὅτε τὸν Θεόπνευστον λόγον ἀνέκραξας. ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ κοινωνῆσαι, τούτῳ τοῦ πάθους λίαν ἐπείγομαι. ἐντεῦθεν Ἰγνάτιε, καθάπερ Ἥλιος, ἀνατολῆς ἐξορμώμενος, ἐπὶ τὴν δύσιν, καταφωτίζων Μάκαρ διέδραμες, καὶ βασιλείας διαδήματι, ἐκοσμήθης Χριστῷ προσαγόμενος. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος Πλ. δ'. Ἀνατολίου.

Θεοφόρε Ἰγνάτιε, τὸν σὸν ἔρωτα, Χριστὸν ἐνστερνισάμενος, μισθὸν ἐκομίσω, τῆς ἱερουργίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, τὸ τελειωθῆναι δι' αἵματος. διὸ σῖτος γενόμενος, τοῦ ἀθανάτου Γεωργοῦ, δι' ὀδόντων θηρίων ἠλέσθης, καὶ ἄρτος ἡδὺς αὐτῷ ἀνεδείχθης, πρέσβευε ὑπὲρ ἡμῶν, Ἀθλητὰ μακάριε.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν. Φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

Εἰς τὸν στ. στ. ἰδιόμελα. Ἦχος β'. Κυπριανοῦ.

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον Σπήλαιον, ἐν ᾧ Θεὸς σαρκὶ τίκτεται, διὰ Ἀπειρογάμου Ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Στίχος. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ἀνδρέου Πυροῦ.

Δεῦτε ἅπαντες, Χριστοῦ τὰ γενέθλια, πιστῶς προεορτάσωμεν. καὶ νοητῶς τὸν ὕμνον, ὡς ἀστέρα προβαλλόμενοι, μαγικὰς δοξολογίας, μετὰ Ποιμένων βοήσωμεν. ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ παρθενικῆς νηδύος, πιστοὺς ἀνακαλούμενος.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Κυπριανοῦ.

Οἶκος τοῦ Εὐφραθᾶ, ἡ Πόλις ἡ Ἁγία, τῶν Προφητῶν ἡ δόξα, εὐτρέπισον τὸν οἶκον, ἐν ᾧ τὸ Θεῖον τίκτεται.

Δόξα. τοῦ Ἁγίου. Ἦχος α'. Τοῦ Στουδίτου.

Τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς, Ἀξιομακάριστε Ἰγνάτιε. σὺ γὰρ πρὸς τὸν ὄντως σὸν ἐραστήν, ἀνένδοτον ἔχων τὴν ἔφεσιν ἔλεγες. οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον, ὕδωρ δὲ μᾶλλον ζῶν, καὶ λαλοῦν ἐν ἐμοί, ἔνδοθέν μοι λέγον· δεῦρο πρὸς τὸν Πατέρα. ὅθεν θείῳ Πνεύματι πυρπολούμενος, θῆρας ἠρέθισας, κόσμου σε θᾶττον χωρίσαι, καὶ πρὸς τὸν ποθούμενον παραπέμψαι Χριστόν. ὃν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν,

Καὶ νῦν. Ἦχος β'. Κυπριανοῦ.

Ἤδη καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ, ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας. ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ, ὃν ἔπλασεν ἄνθρωπον ὡς φιλάνθρωπος.

Τροπάριον, προεόρτιον. Ἦχος δ'.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ. εὐτρεπίζου Εὐφραθᾶ, ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γὰρ, ἡ ἐκείνης Γα-

Digitized by Google

Γαστὴρ, ἐδείχθη νοητὸς, ἐν ᾧ τὸ θεῖον φυτόν. ἐξ οὗ φαγόντες ζήσωμεν. οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα. Καὶ τοῦ Ἁγίου. Ἦχος ὁ αὐτός.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος, τῶν Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες Θεόπνευστε, τῆς θεωρίας ἐπίβασιν. διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρις αἵματος, Ἱερομάρτυς Ἰγνάτιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ πάλιν τὸ Προεόρτιον, Ἑτοιμάζου Βηθλεέμ. Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ Ὄρθρου.

Τριῴδιον ψαλλόμενον ἐν τοῖς ἀποδείπνοις. Οὗ ἡ ἀκροστιχίς.

Τῇ δευτέρᾳ. Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός.

„Τῷ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι, ἀναξηράναντι, καὶ πεζεῦσαι δι᾽ αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

Ἡ ἀπόρρητος, Λόγου Θεοῦ κατάβασις, εἴπερ αὐτὸς θεάνθρωπος, Χριστὸς γινώσκεται, τὸ Θεὸς οὐχ ἁρπαγμὸν, εἶναι ἡγησάμενος, ἔρχεται δούλου μορφὴν, ἀναδεξάμενος, Κόρης ἁγνῆς Θεόπαιδος.

Διακονῆσαι, Χριστὸς ἑκὼν προέρχεται, οὗ τὴν μορφὴν ὁ πλαστουργὸς νῦν ὑποδύεται, τῷ πτωχεύσαντι Ἀδὰμ, ὁ πλουτῶν Θεότητι, ξένην ἀνάπλασιν, καὶ ἀναγέννησιν, ὡς εὔσπλαγχνος δωρούμενος.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Ἔφριξε παίδων ἁγνῶν, τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα, καὶ εἶδε τὸ τραφὲν ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ. ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπετο. τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

῾μᾶς μου πάντας συγγενεῖς ἄρτι θήσομαι, εἰ τὰς ἐμὰς ἐντολὰς, τηρήσητε φησὶν, ὁ Χριστὸς τοῖς ἀνθρώποις ἐκ μήτρας Ἁγνῆς προερχόμενος, οἷς τὴν εἰρήνην διδοὺς, τὰ ταπεινὰ φρονεῖν νῦν ὑποτίθεται, καὶ Κύριον γινώσκειν τοῦτον καὶ ψάλλειν σε ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Πράξεως ἔμπαλιν ἐν σοὶ, σαρκικῆς ἐστιν ὁ τόκος Λόγε Θεοῦ. οὐχ αἷμα γὰρ, καὶ σὰρξ σε Ἁγίαν συνίστησιν, ἀλλὰ Πνεύματος Ἁγίου παρουσία, καὶ τοῦ Ὑψίστου θεία ἐπισκίασις. ὡς Κύριον γινώσκοντές σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Ἐμεγάλυνας Χριστὲ, τὴν τεκοῦσάν σε Θεοτόκον. ἀφ᾽ ἧς ὁ Πλάστης ἡμῶν, ὁμοιοπαθὲς ἡμῖν περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων. ταύτην μακαρίζοντες, πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

Ῥύπον πάντα ἐμπαθῆ, ἀπωσάμενοι ἐπαξίως, τῆς παρουσίας Χριστοῦ, γνώμην ἀναλάβωμεν ἔμφρονα. καὶ γὰρ ῥυπαρῶς προέρχεται σάρκα φορέσαι, καὶ πᾶσι δωρήσασθαι, θείαν διὰ Πνεύματος ἀνάπλασιν.

Ὑψοῦντες εἰς Χριστὸν, ταπεινούμενον, ὑψωθῶμεν, ἐκ χαμαιζήλων παθῶν. ζήλῳ δὲ καλῷ μὴ φρονεῖν ὑψηλὰ, πίστει παιδευθέντες, ἐν Πνεύματι ταπεινωθῶμεν. ὅπως τὸν τικτόμενον, ἐν ὑψοποιοῖς ἔργοις ὑψώσωμεν.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α΄. στιχολ. κάθισμα. Ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὁ κλίνας Οὐρανοὺς, καὶ Παρθένῳ οἰκήσας, προέρχεται σαρκὶ, Βηθλεὲμ ἐν Σπηλαίῳ, τεχθῆναι καθὼς γέγραπται, ὁραθῆναί τε νήπιος, ὁ τὰ νήπια, ζωογονῶν ἐν τῇ μήτρᾳ. τούτῳ χαίροντες, νῦν ὑπαντήσωμεν πάντες, καρδίας εὐθύτητι.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν δευτέραν στιχολ. κάθισμα. Ὅμοιον.

Ἀγάλλου ἡ Σιὼν, Βηθλεὲμ εὐτρέπιζε, ὁ πάντων συνοχεὺς, τὸν Ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι, τῶν Οὐρανῶν αἱ Δυνάμεις, ὅμως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Φιλάνθρωπος.

Δόξα,

Digitized by Google

Δόξα, ἐ νῦν. τὸ αὐτό.

Ο Ν. ἐ οἱ Κανόνες, ὁ προεόρτιος μετὰ τῶν εἱρμῶν, εἰς η. ἐ τοῦ Ἁγίου, εἰς ς'. Τῷ Κυρίῳ ᾄσωμεν, ὃ λέγομεν, ἕως τῆς ιθ. τοῦ Ἰαννουαρίου Μηνός. ἐν ᾗ ἐ τὸ ἀπόλυτρον τῶν Φώτων ἐπιμετρεῖται.

Κανὼν ὁ προεόρτιος. οὗ ἡ ἀκροστιχίς.

Ἄδει ταῦτα τὰ προεόρτια, ὁ Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

„ Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες, „ Θεῷ τῷ ποιήσαντι, θαυμαστὰ τέρα„ τα, βραχίονι ὑψηλῷ, ἐ σώσαντι τὸν „ Ἰσραήλ, ὅτι δεδόξασται.

Τροπάριον.

Ἀρξώμεθα σήμερον, προεορτάζειν, Χριστοῦ τὰ γενέθλια, τοῦ τεχθέντος σώματι, ἐκ τῆς Παρθένου Μητρός, ἐν τῷ Σπηλαίῳ Βηθλεέμ, δι' εὐσπλαγχνίαν πολλήν.

Δεσμῶν ἀπολύων με, τῆς ἁμαρτίας, σπαργάνοις εἱλίσσεται, ἐ ἐν Φάτνῃ τίθεται, βρέφος ὁρώμενος, ὁ προαιώνιος Θεός. δόξα τῷ κράτει αὐτοῦ.

Ἐδὲμ διανοίγεται, σοῦ γενομένου, ἐκ Κόρης Θεόπαιδος, ἐν τῇ Πόλει Δέσποτα, τῇ Βηθλεὲμ ἐν σαρκί. ὑμνολογοῦμεν τὴν φρικτὴν οἰκονομίαν σου.

Ἰδοὺ νῦν πεπλήρωται, τοῦ Ἡσαΐου, ἡ πρόῤῥησις Πάναγνε, τοῦ τεκεῖν τὸν ἄχρονον, ἐν Σπηλαίῳ γὰρ Υἱόν, ἐλήλυθας πᾶσα ἡ γῆ, διὸ εὐφραίνεται.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, ἐν ᾧ ἱστῶμεν στίχους ς'. ποίημα Ἀνδρέου Κρήτης.

Ἦχος ἐ Εἱρμός, ὁ αὐτός.

Φαιδρῶς ἑορτάζοντες, εὐωχηθῶμεν, ὁ Μάρτυς Ἰγνάτιος, ἱερῶς προτρέπεται, τὴν Ἐκκλησίαν Χριστοῦ, ἐπὶ τὴν ἄθλησιν αὐτοῦ, τὴν πολυύμνητον.

Τὴν ἔνδοξον μνήμην σου, πάντες τιμῶμεν, Παμμάκαρ Ἰγνάτιε, ἐ ψαλμοῖς γεραίρομεν, τὸν στεφανώσαντα, τὴν πάνσεπτόν σου κορυφήν, Θεομακάριστε.

Φωστὴρ διαυγέστατος, τῆς Ἐκκλησίας, ὑπάρχων Ἰγνάτιε, καταλάμπεις ἅπαντα, τῆς γῆς τὰ πέρατα, ἐ τὴν ἑσπέραν δαδουχεῖς, ἐκ τῆς ἑώας ἄθλων.

Τοῦ Παύλου μιμούμενος, τοὺς κατὰ τόπους κινδύνους Ἰγνάτιε, ἐ ὑπάρχων δέσμιος, ὁ κατεμάφκησας, στηρίζων γράμμασι πυκνοῖς, τὰς Ἐκκλησίας Χριστοῦ. Δόξα.

Μονὰς Ὑπερούσιε, μία Θεότης, Μονὰς Τρισυπόστατε, τοὺς πιστῶς βοῶντάς σοι, Ἅγιος, Ἅγιος, Ἅγιος, ὦ Δημιουργέ, σῶσον ἐλέησον. Καὶ νῦν. Θεοτοκίον.

Ἐδὲμ εὐτρεπίσθητι. ἡ Εὐφραθᾶ γάρ, τῷ Κτίστῃ ἡτοίμασται, γεννηθῆναι μέλλοντι, ἐκ τῆς Παρθένου Μητρός, ἐν τῷ Σπηλαίῳ Βηθλεέμ, δι' εὐσπλαγχνίαν πολλήν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Λίθον ὃν ἀπεδοκίμασαν, οἱ οἰκοδομοῦν„ τες. οὗτος ἐγενήθη, εἰς κεφαλὴν „ γωνίας. αὐτός ἐστιν ἡ πέτρα, ἐν ᾗ ἐστε„ ρέωσε Χριστός, τὴν Ἐκκλησίαν αὐτοῦ. „ ἣν ἐξ Ἐθνῶν ἐξηγοράσατο.

Τροπάριον.

Ταύτην τοῦ Χριστοῦ τὴν σάρκωσιν, γνοὺς ὁ Ἡσαΐας, Πνεύματι Ἁγίῳ, ἐμφανῶς προλέγει, Παιδίον ἐκ Παρθένου, γεννᾶται ὁ Κύριος, εἰς ἀναγέννησιν ἡμῶν. οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Ἄστρον ἤδη ἀνατέταλκεν, ἐκ φυλῆς Ἰούδα, ὅπερ ἐπιγνόντες, Βασιλεῖς κινήσεις, ἀνατολῶν ποιοῦνται, ἐ φθάσαι ἐπείγονται, ὅπως θεάσωνται Χριστόν, ἐν Βηθλεὲμ σαρκὶ τικτόμενον.

Ὕμνον πᾶσα προεόρτιον, προσαδέτω Κτίσις, τῷ πρὸ ἑωσφόρου, ἐκ Πατρὸς γεννηθέντι, ἐ νῦν ἐκ τῆς Παρθένου, ἀῤῥήτως ἐκλάμποντι, ἐ τικτομένῳ σαρκικῶς, ἐν Βηθλεὲμ δι' εὐσπλαγχνίαν πολλήν.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Τύπος ἱερῶς ἀθλήσεως, ἀνεδείχθης Μάκαρ, στήλη καρτερίας, καὶ καινὸν ἀνδρείας, ἐ στῦλος Ἐκκλησίας, καὶ Πίστεως ἔρεισμα, ἐ ἀρετῆς ὑπογραμμός, ἄθλοις σεπτοῖς, στεφανωθεὶς ἐν τῷ Χριστῷ.

Ὄντως φερωνύμως κέκλησαι, Θεοφόρος Πάτερ. νήπιος γὰρ ἔτι, κομιδῇ ὑπάρχων, εἰς χεῖρας τοῦ Κυρίου, φερόμενος ἵστασο, ἀναφωνοῦντος πρὸς ἡμᾶς. γίνεσθέ μοι ὡς τὸ παιδίον τοῦτο.

Ποῖος τόπος οὐχ ἡγίασται, τοῖς παθήμασί σου; ποία παροικία, οὐκ ἐγνώσθης Μάρτυς; ἢ ποία φυλακή σε, σχεδὸν οὐκ ἐδέξατο, δέσμιον Μάρτυρα Χριστοῦ; ζῆλος γάρ σε θεῖος ἠρέθιζε.

Σῖτος καθαρὸς Θεῷ ἡμῶν, ἀνεβόας πέλων, σπεύδω ἀλεσθῆναι, ὑπὸ θηρῶν ἀγρίων, θλασθήτω τὰ ὀστᾶ μου, βρωθήτω τὰ μέλη μου, καὶ βρῶμα γένωμαι θηρῶν, ἵνα Χριστῷ, καθαρὸς ἄρτος ὀφθῶ.

Ξένον Μαρτυρίου στάδιον, ἱερῶς ἀνύσας, ξένην παρὰ πάντας, τοὺς προηθληκότας, ἀνδρείαν ἐπεδείξω, τῷ πόθῳ αἰρόμενος, τοῦ ἀνενδότου ἐραστοῦ, ὅς τις ὡς πῦρ τὴν σὴν ἀνῆπτε ψυχήν.

Ζέων εἰς ἀεὶ τῷ Πνεύματι, ὁ Ἱερομάρτυς, ἔκραζε σὺν πόθῳ, ἐν μέσῳ τῶν κινδύνων, Χριστὸν διώκω χαίρων, Χριστῷ συνεσταύρωμαι. ζῶ δὲ οὐκ ἔτι μὲν ἐγώ, ζῇ δὲ φησὶν, ἐν ἐμοὶ μόνος Χριστός. Δόξα.

Μίαν προσκυνῶ Θεότητα, ὡς ἀρχὴν καὶ τέλος, πάντων τῶν ὄντων, καὶ τῶν γενησομένων, Πατέρα ἀγέννητον, Υἱὸν ἀχρόνως γεννητὸν, Πνεῦμα θεῖον ἐκπορευτὸν ἐκ Πατρός. Καὶ νῦν. Θεοτοκ.

Δεῦρο Ἡσαΐα βόησον. ἰδοὺ ἡ Παρθένος, ἔχει ἐν κοιλίᾳ, τὸν Λυτρωτὴν τοῦ Κόσμου, καὶ τέξει ἐν Σπηλαίῳ, καὶ ἔσται τὸ ὄνομα, τοῦ τικτομένου Ἰησοῦς, Θεὸς μεθ᾽ ἡμῶν, Ἐμμανουὴλ Σαβαώθ.

Κοντάκιον. τῆς Ἑορτῆς. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Ὁ Οἶκος.

Ἱεραὶ Προφητῶν ῥήσεις, τὸ πέρας δέχονται. ἡ Παρθένος ἰδοὺ, τίκτει Θεὸν ἐν σαρκὶ, Βηθλεὲμ ἐν Πόλει, ἔνδον τοῦ Σπηλαίου. ἡ Κτίσις πᾶσα καταπλουτίζεται. ἀγάλλου καὶ χόρευε. μετὰ τῶν δούλων συναναστρέφεσθαι, πάντων ὁ Δεσπότης παραγέγονε, τῆς δεσποτείας τοῦ ἀλλοτρίου ἀπολυτρούμενος ἡμᾶς, καθυπαχθέντας τῇ φθορᾷ. καὶ ὁρᾶται ὡς βρέφος σπαργανούμενον ἐν φάτνῃ, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Εἶτα τὰ Καθίσματα. Ἦχος Πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἐξ ἑῴας ἐκλάμψας ὥσπερ ἀστὴρ, καὶ ἀκτῖσι τῶν λόγων λαμπαδουχῶν, τὸν Κόσμον ἐφώτισας, καὶ τὸ σκότος ἐμείωσας, καὶ ὡς ὁ Παῦλος τὸν δρόμον, γενναίως διανύσας, ὑπομείνας κινδύνους, ἐν Ἔθνεσί τε καὶ Πόλεσιν. Ὅθεν καὶ ὡς σῖτος, τῶν θηρῶν τοῖς ὀδοῦσιν, ἠλέσθης Μακάριε, προσφορὰ τῷ Κυρίῳ σου, Θεοφόρε Ἰγνάτιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων.

Ἕτερον, τοῦ Ἁγίου. Ἦχος γ΄.

Δόξα. Τὴν ὡραιότητα.

Χειροθετούμενος, ὑπὸ Χριστοῦ τοῦ Θεοῦ, νῦν κατελάμπρυνας, τὴν ἱεράν σου στολὴν, καὶ μαρτυρίου ἀληθῶς, ἐπέτυχες Θεοφόρε. θῆρας γὰρ ἠρέθισας, ἐκ τοῦ Κόσμου χωρίσαι σε, Παῦλον ἐκμιμούμενος, τὸν θεσπέσιον ἔνδοξε. διὸ καὶ ἐν τῇ Ῥώμῃ ἐπλήρωσας, Πάτερ ἀξίως τὸ μαρτύριον.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Χαρᾶς πεπλήρωνται, πάντα τὰ πέρατα. ἡ Θεοτόκος γὰρ, γεννᾶν ἐπείγεται, τὸν Βασιλέα τοῦ παντός· ὢ θαύματος ἀνερμηνεύτου. ἄρχεται ὁ Ἄναρχος, καὶ σαρκοῦται ὁ Ἄσαρκος. Σπήλαιον εἰσδέχεται, τὸν συνέχοντα ἅπαντα. ἡ Βηθλεὲμ ἀγάλλου καὶ χόρευε, ἡ Κτίσις ἡμέραν προεόρτιον.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Ἐν Πνεύματι προβλέπων, Προφῆτα „ Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκωσιν ἐ„κήρυττες βοῶν, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐ„πιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν „ ἀναδειχθήσῃ· δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ ὄρη οἱ βουνοί τε, καὶ ξύλα τοῦ δρυμοῦ, Ποταμοὶ καὶ Θάλασσαι, καὶ ἅπασα πνοὴ, ἐν εὐφροσύνῃ σκιρτήσατε νῦν ἐγγίζει, ἡ σωτηρία Ἰησοῦς ἐκ τῆς Παρθένου, Πόλει Βηθλεὲμ ἀποτίκτεσθαι.

Ἀνάλαβε Προφῆτα, ψαλτήριον Δαβὶδ, καὶ μελῴδει Πνεύματι, Ἁγίῳ ἐμφανῶς, ἐκ τῆς Παρθένου γεγέννηται ἀσυγ-

χύ-

Digitized by Google

χύτως, πρὸς ἑωσφόρου, ἐκ Γαστρὸς Πατρὸς ἐκλάμψας, Κύριος τῆς δόξης Χριστὸς ὁ Θεός.

Πῶς δέξεταί σε Λόγε, τικτόμενον σαρκὶ, Σπήλαιον σμικρότατον, καὶ λίαν ἀτελές; πῶς εἱλιχθήσῃ σπαργάνοις ὁ περιβάλλων, Πόλον νεφέλαις; πῶς ἐν φάτνῃ τῶν ἀλόγων, ἐπανακλιθήσῃ ὡς Νήπιον;

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ἐφαίδρυνας τῇ αἴγλῃ, τῶν ἄθλων σου τὴν γῆν, Ἱερὲ Ἰγνάτιε, δεσμώτης ἀπαχθείς. διαδραμὼν γὰρ ὡς Ἥλιος ταῖς ἀκτῖσι, τοῦ μαρτυρίου τὴν Ἑσπέραν ἐξ Ἑῴας, πᾶσαν δαδουχῶν κατεφώτισας.

Ὡς Παῦλος δεδεμένος, θηρίοις λογικοῖς, ἐπὶ Ῥώμην ἔτρεχες, Ἰγνάτιε σοφέ. ἀλλ' οὐκ ἐπαύσω καὶ δέσμιος ὢν στηρίζων, τὰς Ἐκκλησίας ἐπιστέλλων κατὰ Πόλιν, πᾶσι τοῖς Χριστοῦ Ἱεράρχαις θαρρεῖν.

Θηρίων μοι γενέσθω, τὰ στόματα σφαγὴ, καὶ γαστέρες μνήματα, ἐβόας Ἀθλητά. μηδεὶς ὀχλείτω, μηδείς μου θρύψει τὸν τόνον. ἐγὼ γὰρ ἀπάδω ἀλεσθῆναι ὥσπερ σῖτος, ἄρτος εὑρεθῆναι Θεοῦ καθαρός.

Χριστοῦ ἀπάδω γενέσθαι, Χριστοῦ μόνου ἐρῶ. ὅλος γὰρ αὐτοῦ εἰμι, ἐβόας Ἀθλητά. αὐτὸν διώκω, αὐτὸν ἐπείγομαι φθάσαι. καὶ διὰ τοῦτο πῦρ καὶ ξίφος καὶ θηρία, πάντα καρτερῶ, ἵνα τύχω αὐτοῦ.

Διανύσας τὸ σκάμμα, ζεούσῃ τῇ ψυχῇ, Μάρτυς καρτερόψυχε, τῷ ἔρωτι τρωθεὶς, τοῦ ἐραστοῦ σου. Χριστὸς γὰρ ἦν σοι ὁ ἔρως. ὃν ἀναπνέων καὶ διώκων ἐκαρτέρεις. πάντων τῶν δεινῶν τὰ ἐπίπονα.

Τριαδικόν.

Τριάδα ἐν Μονάδι δοξάσωμεν πιστοὶ, ἀσιγήτοις στόμασι, βοῶντες πρὸς αὐτήν. ἡ ἐν Μονάδι Τριὰς Ἁγία προσκυνουμένη, καὶ Τριάδι ὑμνουμένη ἀσυγχύτως, δόξα σοι Τριὰς Ὁμοούσιε.

Θεοτοκίον.

Σπηλαίῳ ὑπογαίῳ, τεχθῆναι δι' ἡμᾶς. Θεὸς ὢν ἠξίωσας πτωχεῦσαι Ἀγαθέ, τὴν ἡμετέραν πτωχείαν δι' εὐσπλαγχνίαν, καὶ ἐκ Παρθένου προελθὼν σεσαρκωμένος, μείνας εἷς Υἱὸς ἐκ Πατρὸς καὶ Μητρός.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Τὴν σὴν εἰρήνην δὸς ἡμῖν Υἱὲ τοῦ Θεοῦ. „ ἄλλον γὰρ ἐκτός σου, Θεὸν οὐ γινώσκο„μεν. τὸ ὄνομά σου ὀνομάζομεν, ὅτι Θεὸς „ ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Ῥανάτωσαν γηθόμεναι, Νεφέλαι γλυκασμόν. ἤδη γὰρ ἐγγίζει, ὁ Κύριος ἀποτεχθῆναι, ὥσπερ νήπιον, ἐκ τῆς Ἁγνῆς Παρθένου, ἐν ἀτελεῖ σπηλαίῳ.

Οἱ θεῖοι νῦν σκιρτήσατε, Προφῆται τοῦ Θεοῦ. ἥκει γὰρ Χριστὸς ἡ ἀλήθεια, ἀποπληρῶσαι τὰ κηρύγματα, ὑμῶν τῆς θείας γλώσσης, τικτόμενος ὡς βρέφος.

Ἐδὲμ πάλαι κλεισθεῖσά μοι, ἀνοίχθητι λοιπὸν, βλέπουσα Χριστὸν σαρκὶ νηπιάσαντα, καὶ ἐν τῇ Πόλει ὡς ηὐδόκησε, τῆς Βηθλεὲμ ἐκ Κόρης, τικτόμενος Παρθένου.

Τοῦ Ἁγίου. ὁ αὐτός.

Τοιοῦτος ἡμῖν ἔπρεπε, σοφὸς Ἀρχιερεύς. Ὅσιος πιστὸς, ἀμίαντος ἄκακος, βοῶν ὁ Παῦλος προϋπέγραφε, τὴν ἱερὰν ἀκάμα, τῶν ἱερῶν σου τρόπων.

Καινόμα ἀπαράτρωτον, καὶ τύπον εὐσεβῆ, ἔχοντες τὴν σὴν, τοῦ βίου ἀκρόπολιν, πρὸς ταύτην Πάτερ ἀναγόμεθα, οἱ τῆς ἀρχαίας δόξης, τυχεῖν ἐπιποθοῦντες.

Τὰ Παύλου κατορθώματα, ζηλώσας εὐσεβῶς, ὅλους τοὺς αὐτοῦ, κινδύνους ὑπέμεινας, Ἱερομάρτυς ἀξιάγαστε, τὸ τῆς ἑῴας φέγγος, καὶ τῆς ἑσπέρας ἄστρον.

Δεσμώτης ἀπαγόμενος παθεῖν Ἀρχιερεὺς, δέσμιος Χριστοῦ, Ἰγνάτιε ἔγραφες, ταῖς Ἐκκλησίαις καὶ ταῖς Πόλεσιν, ἐπιστηρίζων πάντας ἐν τῇ ὁμολογίᾳ.

Ὡς στῦλος καὶ ἑδραίωμα, καὶ πρόβολος ἡμῶν, Μάρτυς καὶ Ποιμὴν, ἀσάλευτον φύλαττε, τῆς Ἐκκλησίας τὴν ὁμόνοιαν, ἐν τῇ ὁμολογίᾳ, τῆς Χριστοῦ ἀληθείας.

Δόξα.

Τριάδος τὸ ὁμότιμον, ὑμνῶ καὶ προσκυνῶ. μίαν προσφυῶς, δοξάζων Θεότητα, τρισὶ Προσώποις ἀδιαίρετον, καὶ ἐν μιᾷ Οὐσίᾳ, ἀεὶ γνωριζομένην. Καὶ νῦν. Θεο.

Θεὸς ἀνθρώποις ὅμοιος, γενόμενος ἐκ σοῦ, βρέφος δι' ἡμᾶς, γεννᾶται Θεόνυμφε,



Digitized by Google

ϗ μένει ὅλως ἀναλλοίωτος, ϗ ἐν σαρκὶ ὁρᾶται, Θεὸς ἐνανθρωπήσας.

·Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος „ βοῶ, τὴν ζωήν μου Ἀγαθὲ, ἐλευθέ„ ρωσον φθορᾶς, ϗ σῶσόν με, Σωτὴρ τοῦ „ Κόσμου, κράζοντα δόξα σοι.

Οὐρανὸς ἐπὶ τῆς γῆς, τὸν Οὐράνιον δηλοῖ, Βασιλέα δι᾽ ἡμᾶς, δι᾽ ἀστέρος φαινοῦ, τικτόμενον, τοῖς Ἀστρολόγοις, νῦν ἐν τῇ Πόλει Δαβίδ.

Ῥητορεύει ϗ βοᾷ, ὁ Προφήτης ἐμφανῶς, οἶκος σὺ τοῦ Εὐφραθᾶ, Βηθλεὲμ ἐν σοὶ Θεὸς, ὀφθήσεται, ἐκ τῆς Παρθένου, σκίρτα ϗ χόρευε.

Ἐν Σπηλαίῳ Βηθλεὲμ, Κόρη τίκτει ἐμφανῶς, τὸν Θεὸν τὸν τοῦ παντὸς, Ποιητὴν ϗ ὡς βροτὸν, εἰλίσασα, σπαργάνοις φάτνῃ, ἐπανακλίνει νυνί.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ὡς τὸν ὄντως ἐραστὴν, ἀγαπήσας ἀκλινῶς, καὶ τὸ πῦρ τὸ πρὸς αὐτὸν, ἀναβλέψας νοερῶς, Ἰγνάτιε, τὸ ὕδωρ ἔχες, ἐν σοὶ τὸ ζῶν ϗ λαλοῦν.

Εἰ ϗ ἔπιες Χριστοῦ, τὸ ποτήριον καινὸν, ἀλλ᾽ ἐνέμεινας διψῶν, τὸ θανεῖν ὑπὲρ τὸ ζῆν, ϗ ἔκραζες· οὐδέν μοι ταῦτα, πρὸς τὸ τυχεῖν με τοῦ ζῆν.

Τὸ μαρτύριον τῆς σῆς, συνειδήσεως πληρῶν, οὐκ ἐνάρκησας ὁρῶν, τῶν θηρίων τὰς ὁρμὰς, οὐκ ἔπτηξας, ὡς σῖτος μέλλων, μύλαις ἀλήθεσθαι.

Ὑπερζέων Ἀθλητὰ, τῇ ἀγάπῃ τοῦ Χριστοῦ, πρὸς τὸ πῦρ τῶν πειρασμῶν, ὡς εἰς δρόσον πρωϊνὸν, ἀνέτρεχες, ἐκεῖνον φθάσαι, τὸν ὄντως ὄντα ἐραστήν.

Τοὺς μακροὺς σου πειρασμοὺς, ϗ τὰ ἄλυτα δεσμὰ, τοὺς ἐν Ῥώμῃ σπαραγμοὺς, ϗ τὸ πῦρ τῶν διωκτῶν, οὐδὲν ἡγοῦ, Ἱερομάρτυς, διὰ τὸν σὸν ἐραστήν.

Τριαδικόν.

Ὑπερούσιε Τριὰς, ὑπεράγαθε Μονὰς, ὁ Πατὴρ ϗ ὁ Υἱὸς, ϗ τὸ Πνεῦμα τὸ αὐθὲς, ἐλέησον, τοὺς προσκυνοῦντας, τὸ θεῖον κράτος σου.

Καὶ νῦν.

Εὐτρεπίζου Βηθλεὲμ, ἑτοιμάζου Εὐφραθᾶ, ὁ Ἀμήτωρ ἐκ Πατρὸς, ϗ Ἀπάτωρ ἐκ Μητρὸς βαστάζεται, κυοφορεῖται, τίκτεται σώζων ἡμᾶς.

Κοντάκ. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῶν λαμπρῶν ἀγώνων σου, ἡ φωτοφόρος ἡμέρα, προκηρύττει ἅπασι, τὸν ἐκ Παρθένου τεχθέντα. τοῦτον γὰρ διψῶν ἐκπόθου κατατρυφῆσαι, ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι. διὰ τοῦτο ϗ Θεοφόρος, προσηγορεύθης Ἰγνάτιε ἔνδοξε. Ὁ Οἶκος.

Ἀβραὰμ μὲν ποτὲ τὸν υἱὸν ἐθυσίαζε, τὴν σφαγὴν προτυπῶν τοῦ τὰ πάντα κατέχοντος, ϗ νῦν ἐν Σπηλαίῳ σπεύδοντος τεχθῆναι. σὺ δὲ Θεόφρων, ὅλον προσήγαγες σαυτὸν ὡς περ σφάγιον. καὶ τῶν θηρίων βρῶμα γενόμενος, σῖτος καθαρὸς ὤφθης τῷ Κτίσαντι σου, ἐν ἀποθήκαις ἐπουρανίαις διαιωνίζων ἀληθῶς, ϗ τοῦ σοῦ ἔρωτος τρυφῶν. δι᾽ ὃν πάντα τὸν Κόσμον καταλείψας Παμμάκαρ, Θεοφόρος προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε.

Τῷ αὐτῷ Μηνὶ Κ΄. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

Στ. Λέουσιν Ἰγνάτιε δεῖπνον προὐτέθης,
Κοινωνὲ δείπνου μυστικοῦ θάρσυνε λέον.
Εἰκάδι Ἰγνάτιος θάνε γαμφηλῇσι λεόντων.

Οὗτος ἦν διάδοχος τῶν Ἀποστόλων, τῆς τῶν Ἀντιοχέων Ἐκκλησίας δεύτερος μετ᾽ Εὔοδον Πατριάρχης καταστὰς, μαθητὴς γενόμενος Ἰωάννου τοῦ Θεολόγου, ἅμα Πολυκάρπῳ τῆς Σμυρναίων Ἐκκλησίας προέδρῳ. Προσήχθη δὲ Τραϊανῷ τῷ Βασιλεῖ διαβαίνοντι ἐπὶ Πάρθους. Καὶ πολλὰ αὐτῷ διαλεχθεὶς, ϗ τὸ ἀμετάθετον αὐτοῦ τῆς εἰς Χριστὸν πίστεως γνωρίσας, αὐτίκα μολυβδίναις σφαίραις τύπτεται, καὶ τὰς χεῖρας ἁπλωθεὶς πῦρ ὑποδέχεται, πυρίοις ἐλαίῳ λιπανθεῖσι τὰς πλευρὰς φλέγεται. ἐπ᾽ ἀνθράκων ἵσταται, σιδηροῖς ὄνυξι ξέεται. Ἀνώτερος δὲ τούτων γενόμενος, ἀπεστάλη δεδεμένος ὑπὸ δέκα στρατιωτῶν ἐν Ῥώμῃ τοῖς θηρίοις γενέσθαι βορρά.

Στη-

Digitized by Google

Στηρίξας οὖν τὰς κατὰ πόλιν Ἐκκλησίας ἐν αἷς διήρχετο, εἰς τὴν Ῥώμην ἀχθεὶς, προσηύξατο ὑπὸ τῶν θηρίων βρωθῆναι, ἵνα φησὶν ἄρτος γένωμαι καθαρὸς τῷ Θεῷ. Ὅθεν βληθεὶς εἰς τὸ ἀμφιθέατρον, ὑπὸ τῶν ἀφεθέντων ἐπ' αὐτὸν λεόντων διεσπάσθη, καταλιπόντων μόνον τὰ παχύτερα τῶν ὀστέων αὐτοῦ. ἃ συλλεγέντα, ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν. Οὗτος δὲ ἦν ὁ μακάριος, ὃν ἔτι νήπιον ὄντα, κρατῆσαι φασὶ τὸν Δεσπότην, καὶ ἐναγκαλισάμενον εἰπεῖν· ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, καὶ ὃς ἐὰν τῶν τοιούτων παίδων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. διὰ τοῦτο καὶ Θεοφόρος ἐκλήθη. Τοῦτον καὶ ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος ἐγκωμίοις ἐτίμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις, ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, Εὐγενίου καὶ Μακαρίου.

Στ. Πρὸ τοῦ θανεῖν ἤντλουν δεινὰ μυρία,
Εὐγένιος καὶ Μακάριος ἅμα.

Οὗτοι ὑπῆρχον ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. συσχεθέντες δὲ παρέστησαν αὐτῷ. καὶ ἐλέγξαντες αὐτοῦ τὴν δυσσέβειαν, βασάνοις καὶ πυρὶ καὶ ἑρπετοῖς ἰοβόλοις ἐκδίδονται. ἐξ ὧν φυλαχθέντες ἀβλαβεῖς, δέσμιοι εἰς Μαυριτανίαν ἐκπέμπονται, εἰς Πόλιν λεγομένην Ἀντιδόμα. Ἣν τῇ ἐπιγνώσει τοῦ Χριστοῦ φωτίσαντες, καὶ διάφορα πεποιηκότες θαύματα, καὶ τὸν ἐν τῷ ὄρει λυμαινόμενον δράκοντα τοὺς προσοικοῦντας ἀποκτείναντες, ἐν εἰρήνῃ Κυρίῳ τῷ Θεῷ ἡμῶν τὰς ψυχὰς ἐναπέθεντο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Φιλογονίου, γενομένου ἀπὸ Δικολόγου Ἐπισκόπου Ἀντιοχείας.

Στιχ. Φιλογόνιος ἐντολαῖς λιπεῖ βίον,
Δραμὼν ἀεὶ στενὴν ἐντολῶν Θεοῦ τρίβον.

Οὗτος ὁ μακάριος, τῇ μαθήσει τῶν θείων γραμμάτων ἐκδοθεὶς, ἀνάθημα τῷ Θεῷ ἐγένετο. διὰ πάσης γὰρ διελθὼν παιδεύσεως, ὡς μίαν ἁπάσας κατόρθωσεν. Ὅθεν λαμπρὸν ἐπεδείξατο βίον, καίτοι γυναῖκα ἔχων καὶ θυγατέρα, καὶ ἐν δικαστηρίοις στρεφόμενος, καὶ ἀνθρώποις ἀδικουμένοις συνηγορῶν, καὶ χεῖρα βοηθείας ὀρέγων. Οὗτος ὑπὲρ Ἥλιον ἔλαμψεν, ὡς αὐθέως ἐκεῖθεν ταύτης ἄξιος φανῆναι τῆς ἀρχῆς, καὶ ἀπὸ βήματος ἐπὶ βῆμα ἤγετο. Καὶ πρῶτον μὲν ἀνθρώποις συνηγόρει, τοὺς ἠδικημένους τῶν ἀδικούντων ἰσχυροτέρους ποιῶν. ἔπειτα δὲ τὸ τοῦ Χριστοῦ ποίμνιον ἐνεχειρίσθη. Ὅταν δὲ ἐπὶ τὸν θρόνον τοῦτον ἀνήγετο, πολλὴ ἦν ἡ δυσκολία, ἄρτι τοῦ διωγμοῦ παυσαμένου, καὶ τῶν λειψάνων ἔτι μενόντων τῆς χαλεπωτάτης ζάλης, ἧς καὶ τάχα ἡ τῶν αἱρετικῶν ἐπανάστασις ἐπ' αὐτοῦ τὴν ἀρχὴν λαβοῦσα, ὑπὸ τῆς ἐκείνου σοφίας ἐνεκόπτετό τε, καὶ ἐκωλύετο, καθὼς καὶ ὁ τίμιος Χρυσόστομος, ἐγκωμίοις αὐτὸν τιμήσας, καὶ πλατύτερον τὰ περὶ αὐτοῦ ἐφιλοσόφησεν. Οὗτος θεαρέστως ποιμάνας τὸ πιστωθὲν αὐτῷ ποίμνιον, καὶ ἀγγελικῶς ἐπὶ γῆς βιώσας, καὶ διαπρέψας τῇ Ἀρχιερωσύνῃ, πρὸς Κύριον ἐξεδήμησεν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς,

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Τοὺς ἐν καμίνῳ Παῖδάς σου Σωτὴρ, οὐχ
„ ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ.
„ τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμ-
„ νουν καὶ εὐλόγουν λέγοντες. εὐλογητὸς ὁ
„ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὴν τοῦ Χριστοῦ ἐν σώματι δηλῶν, ἀνάδειξιν, ὁ Ἱερεμίας ἐκβοᾷ· ἐπὶ τῆς γῆς σωματωθεὶς ὁ Θεὸς, ὤφθη ἐπιστήμης εὗρέ τε, πᾶσαν ὁδὸν γεννηθεὶς, ἐν Βηθλεὲμ ἐκ Μητρός.

Ἰδοὺ ἐκ ῥίζης ῥάβδος Ἰεσσαὶ, ἐβλάστησεν ἄνθος ἀναθάλλουσα Χριστὸν, καὶ ἐπ' αὐτῷ νῦν τικτομένῳ ἐν Σπηλαίῳ, Πνεῦμα ἀναπαύσεται, συνέσεως καὶ βουλῆς, καὶ θείας γνώσεως.

Ἀκουτισθῶμεν λόγων ἱερῶν, ὁ Κύριος τίκτεται παιδίον δι' ἡμᾶς· οὗ ἡ ἀρχὴ, ἐπὶ τοῦ ὤμου ἐγενήθη, καὶ καλεῖται Ἄγγελος, βουλῆς μεγάλης Πατρὸς, ἄρχων εἰρήνης Χριστός.



Digitized by Google

Τοῦ Ἁγίου, ὁ αὐτός.

Οὐκ ἔσχες πῦρ φιλοῦλον ἐν σοὶ, Ἰγνάτιε, ὕδωρ δὲ ζῶν μᾶλλον καὶ λαλοῦν. δεῦρο πρὸς τὸν Πατέρα, ὕδωρ τὸ ἀλλόμενον, τὸ ἐκ ζωῆς εἰς ζωὴν, μετοχετεῦον ἡμᾶς.

Οἱ τῶν θηρῶν ὀδόντες μοι φησὶ, γινέσθωσαν, ξίφη καὶ ῥομφαῖαι καὶ σφαγαί. τάφος δέ μοι τὰ τῶν λεόντων σπλάγχνα, ἔσω καὶ τὸ πῦρ μενέσθωσαν, πρὸ τῆς φθορᾶς, τῆς δορᾶς τὸ ἐγκατάλειμμα.

Τὸ ζῆν ἐμοὶ οὐκ ἔστιν ἐραστὸν, ἐν σώματι. Πνεύματι γὰρ ζῆν ἐπιποθῶ. ἐμοὶ τὸ ζῆν Χριστὸς ὁ θεῖος ἔρως. πρὸς αὐτὴν ἐπείγομαι, αὐτὸν φησὶν ἀγαπῶ, αὐτοῦ τυχεῖν προσδοκῶ.

Ἐμοὶ γλυκὺς ὁ θάνατος φησὶν, ἡδέα μοι, πάντα τὰ τῶν πόνων ἀλγεινὰ, θῆρες τερπνοὶ, δρόσος τὸ πῦρ ἐστί μοι τοῦτο, εἰ τοῦ ζῆν ἀνθέξωμαι. διὸ καὶ σπεύδω θανεῖν, ἵνα συζήσω Χριστῷ. Δόξα.

Τριαδικὴν προσάξωμεν ᾠδὴν, δοξάζοντες, Ἄναρχον Πατέρα καὶ Υἱὸν, Πνεῦμα εὐθὲς, μοναδικὴν μίαν Οὐσίαν, ἣν τελεσφόρως ὑμνήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος, κράζοντες, ὁ τῶν Πατέρων Θεός.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ τοῖς Προφήταις πάλαι προρρηθεὶς, ἐγγίζει μοι, βρέφος ἐκ Παρθένου κυηθείς. χαίρει Ἀδὰμ, καὶ ἡ Προμήτωρ Εὔα, τῶν ὠδίνων λέλυται, καὶ συγχορεύει Δαβὶδ, ὁ τῆς Παρθένου Πατήρ.

Ὠδὴ ηʹ. Ὁ Εἱρμός.

„ Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι „ Στρατιαὶ, ὡς Κτίστην καὶ Κύριον, „ ὑμνεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐ„ λογεῖτε Λαοὶ, καὶ ὑπερυψοῦτε, εἰς πάν„ τας τοὺς αἰῶνας.

Τροπάριον.

Ὁ Κύριος ἔρχεται, ἐν ξένῳ τοκετῷ, σαφῶς εἰς τὰ ἴδια, δεξώμεθα αὐτὸν· ὅπως ἐξωσθέντας Παραδείσου τρυφῆς, πάλιν οἰκειώσῃ, τικτόμενος Σπηλαίῳ.

Ἰδοὺ ἡ ἀνάκλησις, ἡμῶν ἐπιδημεῖ, ἠχήσωμεν ᾄσματα χαρμόσυνα σπουδῇ, καὶ ᾄσωμεν μέλη προεόρτια, τῷ ἐν σμικροτάτῳ, χωρουμένῳ σπηλαίῳ.

Ὡς ὤμοσε Κύριος, πεπλήρωκεν ἰδοὺ, ἐκ σπέρματος δοὺς ἡμῖν, Δαβὶδ τὴν ἑαυτοῦ, Μητέρα Παρθένον ἐξ ἧς βρέφος, σαρκὶ ἐτέχθη ἐν πόλει, Βηθλεὲμ ὑπὲρ λόγον. Τοῦ Ἁγίου, ὁ αὐτός.

Ὑμνείσθω Ἰγνάτιος, ὁ μέγας Ἱεροῦς, διττῶς ἐστεφανωμένος, ὡς Μάρτυς καὶ Ποιμήν. ἀθλήσας γὰρ οὗτος, δι' ἀγάπην Θεοῦ, ἐρῶν τοῦ ἐρᾶσθαι, παθεῖν οὐ παρῃτεῖτο.

Διψῶν τὸ ποτήριον, τοῦ πάθους τοῦ Χριστοῦ, δεσμώτης ἀνέτρεχες, Ἰγνάτιε σοφὲ, καὶ φθάσας τὸ σκάμμα, οὐκ ἐπαύσω βοῶν· διψῶ τοῦ διψᾶσθαι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῖς δρόμοις τῆς Πίστεως, ὡς Ἥλιος τὴν Γῆν, γενναίως διέδραμες, ἀπ' ἄκρων Οὐρανοῦ, καὶ δύνας ἀδύτως, ἀπὸ γῆς εἰς Χριστὸν, τὸ φῶς συναστράπτεις, αὐτῷ τῆς ἀφθαρσίας.

Δεσμοῖς κατεχόμενος διώδευσας τὴν Γῆν, μυήσας τοῖς ἄθλοις σου, ἡμᾶς τοὺς ἐν αὐτῇ. καὶ νῦν μετὰ τέλος, ὥσπερ χείμαρρον ἀγροῦ, καὶ χειμὸν πεδίου, ἡμᾶς ἐνωδιάζεις. Δόξα. Τριαδικόν.

Μονὰς οὐσιότητι, ὑμνείσθω ἡ Τριάς, Τριὰς ὑποστάσεσι, τιμάσθω ἡ Μονάς. ὡς μία τῇ φύσει, τοῖς προσώποις δὲ τρεῖς, οὐ διαιρουμένη, οὐ συναλοιφομένη.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἄστρον ἀνέτειλε, Χριστὸς ἐξ Ἰακὼβ, καὶ Μάγοι συντρέχουσιν, ἐν Πόλει Βηθλεὲμ, ὑμνῆσαι τιμῆσαι, προσκυνῆσαι αὐτῷ, τεχθέντι ἐκ μητρὸς, Ἁγνῆς τῆς Θεοτόκου.

Ὠδὴ θʹ. Ὁ Εἱρμός.

„ Τὴν ζωοδόχον πηγὴν τὴν ἄφθονον, „ τὴν φωτοφόρον Λυχνίαν τῆς χά„ ριτος, τὸν Ναὸν τὸν Ἅγιον, τὴν Σκη„ νὴν τὴν πάγχρυσον, τοῦ Οὐρανοῦ καὶ τῆς „ γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον οἱ „ πιστοὶ μεγαλύνωμεν. Τροπάριον.

Σὺν Πατριάρχαις Δικαίοις τε ἅπασι, καὶ τοῖς Ἁγίοις Προφήταις σκιρτήσωμεν, ἐκ Παρθένου Κύριος, Ἰησοῦς ὁ Λυτρωτής, ὁ φω-

Digitized by Google

ὁ φωτισμὸς ἡ ζωὴ ἡ σωτηρία, νῦν ἐν τῇ Πόλει, Δαβὶδ ἀποτίκτεται.

Ἤδη τῆς Θείας τοῦ Λόγου σαρκώσεως, πᾶσιν ἠνοίχθη σαφῶς τὰ προπύλαια, Οὐρανοὶ ἀγάλλεσθε, Ἄγγελοι σκιρτήσατε, καὶ εὐφραινέσθω ἡ γῆ σὺν τοῖς ἀνθρώποις, μετὰ Ποιμένων καὶ Μάγων ἐν Πνεύματι.

Φέρει Χριστὸν ὥσπερ μύρον ἀκένωτον, τὸ νοητὸν ἡ Παρθένος ἀλάβαστρον, τοῦτο προέρχεται, ἐν Σπηλαίῳ Πνεύματι, ἀποκενῶσαι σαφῶς, ὅπως πληρώσῃ, τῆς εὐωδίας αὐτοῦ τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ὁ Θεοφόρος ἡμᾶς εἱστιάσατο, τοὺς ἱεροὺς αὐτοῦ ἄθλους προθεὶς ἡμῖν. δεῦτε Φιλομάρτυρες, ἱερῶς δρεψάμενοι, τὰ μυστικὰ τῶν τερπνῶν ᾀσμάτων ἄνθη, τὰς κορυφὰς ἑαυτῶν στεφανώσωμεν.

Ἣν ἱεράρχου στολὴν Ἱερώτατε, ἱερωτέραν εἰργάσω τοῖς ἄθλοις σου. διὸ καὶ τὸν στέφανον, διττῶς κοσμησάμενος, μετὰ Μαρτύρων ὑμνεῖς καὶ Ποιμένων, Ἱερομάρτυς Χριστὸν τὸν Θεὸν ἡμῶν.

Σῖτος Θεοῦ καθαρὸς εἰμὶ ἔλεγες, καὶ δι' ὀδόντων θηρείων ἀλήθομαι, ἵνα ἄρτος γένωμαι, ἱεροτελούμενος, τῷ ἐραστῇ καὶ Θεῷ κεκαθαρμένος, ὃν καὶ ποθῶν, οὐ πτοοῦμαι τὸν θάνατον.

Ὡς ὑπερόπτης τῶν κάτω Ἰγνάτιε, καὶ ὑπηρέτης τῶν ἄνω μυήσεων, ὡς λατρείαν ἄμωμον, τελῶν καὶ τελούμενος, ἱερουργεῖς σεαυτὸν τῷ μαρτυρίῳ, καὶ πρὸς θηρία καὶ πῦρ ἑτοιμάζεσαι.

Σπλάγχνα θηρείων σοι τάφος γεγόνασιν, ἔχεις δὲ νῦν τὴν Σιὼν ἐνδιαίτημα, καὶ ζῇς ἐν καινότητι, ζωηφόρου Πνεύματος, ἐν Οὐρανοῖς τῷ Χριστῷ συμβασιλεύων, καὶ ἐντρυφῶν τῆς αὐτοῦ ὡραιότητος.

Τῷ ἀπροσίτῳ φωτὶ ἐλλαμπόμενος, καὶ ἐν ταῖς ἄνω μοναῖς αὐλιζόμενος, ἱερὲ Ἰγνάτιε, τῷ Θεῷ καὶ Κτίστῃ σου, ὑπὲρ τῆς ποίμνης σου ταύτης ἐντυγχάνων, ἀδιαλείπτως μὴ παύσῃ δεόμενος. Δόξα.

Τὸ ὑπεράρχιον φῶς ἡ ζωὴ ἡμῶν, Πατὴρ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τρισὶν ὑποστάσεσι, καὶ μιᾷ Θεότητι, ὑπερουσίως ἀεὶ θεολογείσθω, Τριὰς ἁπλῆ συμφυὴς καὶ ὁμότιμος.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Ἁγνὴ τοῦ Θεοῦ Πόλις ἔμψυχε, ἐν ᾗ Θεὸς χωρηθῆναι εὐδόκησε. μὴ λιπὼν τὰ ἄνω γάρ, πρὸς σὲ καταβέβηκεν, ὡς ὑετὸς ἐπὶ γῆς Θεογεννῆτορ, καὶ ἐν τῇ Πόλει Βηθλεὲμ βρέφος τίκτεται.

Ἐξαποστειλάριον, προεόρτιον.

Ἐπεσκέψατο ἡμᾶς.

Ἑτοιμάζου Βηθλεέμ, Σπήλαιον εὐτρεπίσθητι, ὑπόδεξαι καὶ ἡ Φάτνη, τὸν ἀπερίγραπτον Θεόν, σαρκὶ περιγραφόμενον. ἔρχεται γὰρ τεχθῆναι, καθῶσπερ εὐδόκησεν.

Τοῦ Ἁγίου. Τοῖς μαθηταῖς συνέλθωμεν.

Σῖτος ὑπάρχω ἔλεγες, τοῦ Θεοῦ καὶ Σωτῆρος, καὶ δεῖ με νῦν ἀλήθεσθαι, δι' ὀδόντων θηρείων, Ἰγνάτιε Θεοφόρε, ὅπως ἄρτος ἡδύς τε, καὶ καθαρὸς ὀφθήσωμαι, τῇ Ἁγίᾳ Τριάδι, ᾗ παρεστώς, μνημονεύοις πάνσοφε τῶν τελούντων, τὴν φωτοφόρον μνήμην σου, Ἱεράρχα καὶ Μάρτυς.

Ἕτερον, πρός, Γυναῖκες ἀκουτίσθητε.

Ὡς τετρωμένος ἔρωτι, ἀγάπης τοῦ Κυρίου σου, ὁ ἐμὸς ἔρως ἐβόας, Χριστὸς ἐσταύρωται θέλων. διὸ διψῶ τοῦ διψᾶσθαι, καὶ ζῶν ἐρῶ τοῦ ἐρᾶσθαι. οὐ κοινωνὸς γενήσεσθαι, ἐπιποθῶ καὶ τοῦ πάθους, καὶ τῆς αὐτοῦ βασιλείας.

Προεόρτιον. Ὅμοιον.

Πιστοὶ τὰ προεόρτια, τῶν γενεθλίων, ᾄσματα, νῦν προηχήσωμεν πίστει. ἔρχεται ἥκει γὰρ Χριστός, ἐν Βηθλεὲμ τεχθήσεσθαι, ὡς βροτὸς ἐκ Παρθένου, καὶ ὁρασθῆναι νήπιος, σπαργάνοις ἐνειλιμένος, ὁ πρὸ αἰώνων ὑπάρχων.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος Πλ. β'.

Κατὰ ἀλφάβητον.

Ποίημα Ῥωμανοῦ τοῦ Μελῳδοῦ.

Αἱ Ἀγγελικαὶ προπορεύεσθε Δυνάμεις. οἱ ἐν Βηθλεέμ, ἑτοιμάσατε τὴν Φάτ-



Digitized by Google

ψήν. ὁ Λόγος γὰρ γεννᾶται. ἡ σοφία προέρχεται, δέχου ἀσπασμὸν ἡ Ἐκκλησία. εἰς τὴν χαρὰν τῆς Θεοτόκου, λαοὶ εἴπωμεν. εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι.

Ἀνίσχει ὁ Ἀστὴρ, Ἰακὼβ ἐν τῷ Σπηλαίῳ. δεῦτε καὶ ἡμεῖς, προεόρτια τελοῦντες, συνδράμωμεν τοῖς Μάγοις, τοῖς Ποιμέσι συνέλθωμεν. ἴδωμεν Θεὸν ἐν τοῖς σπαργάνοις. ἴδωμεν Παρθένον γαλουχοῦσαν. φρικτὸν θέαμα. ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Βουνοὶ γλυκασμὸν, σταλαξάτωσαν ἰδοὺ γὰρ, ἥκει ὁ Θεὸς, ἐκ Θαιμάν. Ἔθνη ἡττᾶσθε. ἀγάλλεσθε Προφῆται, Πατριάρχαι σκιρτήσατε. ἄνθρωποι χορεύσατε ἐνθέως. ὁ ἰσχυρὸς καὶ μέγας Ἄρχων, Χριστὸς τίκτεται ὁ Βασιλεὺς τῶν Οὐρανῶν, ἐν γῇ παραγίνεται.

Τοῦθεν ἀνάκτων, τοὺς βροτοὺς ὁ Πλάστης ἥκει, τὴν βασιλικὴν, καινουργῶν αὖθις εἰκόνα. συγχάρητε τῶν ἄνω, αἱ Δυνάμεις ὑμνήσατε. ἔχθρας τὸ μεσότειχον ἐλύθη, ἦλθεν ᾧ ἀπέκειτο. Θεὸς γὰρ, βροτὸς γίνεται, ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Δεῦτε οἱ πιστοὶ, ὑπαντήσωμεν τῷ Κτίστῃ, ἥκοντι εἰς γῆν, ἐκ Παρθένου ἀνατεῖλαι. ἁγνείᾳ λαμπρυνθῶμεν, ἀρεταῖς ἀστραφθείημεν, τρόμῳ καὶ χαρᾷ ἑτοιμασθῶμεν, Χριστὸν ἐδέσθαι βρεφωθέντα, νοὸς ὄμμασιν, ἡμᾶς θεοῦντα τοὺς βροτοὺς, ἄκρᾳ ἀγαθότητι. Δόξα. Ὅμοιον.

Ἐγγίζει ὁ Χριστὸς, Βηθλεὲμ προετοιμάζου. ἤδη τῶν Ἐθνῶν, τὸ σωτήριον αὐγάζει, εὐτρέπισον τὴν Φάτνην, τοὺς Ποιμένας συνάγαγε, κάλεσον τοὺς Μάγους ἐκ Περσίδος. αἱ Στρατιαὶ τῶν Ἀσωμάτων, Νόων κράζουσιν. ὁ Βασιλεὺς τῶν Οὐρανῶν, Χριστὸς παραγίνεται. Καὶ νῦν. Ὅμοιον.

Ζῆλος τε καὶ πῦρ, καταφάγεταί σε ἄφρων, πλάνε ἀληθῶς, καὶ τῷ νόμῳ συκοφάντα. ἰδοὺ γὰρ ἡ Παρθένος, Ἡσαΐας ὡς ἔφησεν, ἔχει ἐν γαστρὶ καὶ ἐπὶ φάτνης, ἀνακλινεῖ τὸν Βασιλέα. διὸ ἅπαντες, οἱ ἐκ τῆς Ἰούδα τῆς φυλῆς, δυνάσται ἐκλείψουσιν.

Εἰς τὸν Στ. Στ. ἰδιόμελα. Ἦχος δ'.

Βηθλεὲμ εὐτρεπίζου, ὕμνησον Πόλις Σιών. ἀγάλλου ἡ ἔρημος, προμνηστευθεῖσα τὴν χαράν. ἀστὴρ γὰρ προέρχεται, ἐν Βηθλεὲμ μηνύων, μέλλοντα τίκτεσθαι Χριστόν. καὶ Σπήλαιον δέχεται, τὸν ἀχώρητον παντὶ, καὶ Φάτνη ἑτοιμάζεται, ὑποδέξασθαι ζωὴν τὴν αἰώνιον. αὐτῷ πάντες ᾄσωμεν καὶ βοήσωμεν· σῶσον τὰς ψυχὰς ἡμῶν, Ἰησοῦ ὁ Θεὸς, ὁ σαρκωθεὶς δι' ἡμᾶς.

Στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἀνατολίου.

Χριστὸς ὁ ἐρχόμενος, ἐμφανῶς Θεὸς ἡμῶν. ἥξει καὶ οὐ χρονιεῖ, ἐκ ἀπειρογάμου Νύμφης ὀφθήσεται, ἐν σπηλαίῳ δὲ λοιπὸν προσαναπαύσεται, καὶ φάτνη τῶν ἀλόγων, ὃν οὐκ ἐχώρει Οὐρανὸς ὑποδέχου, μέλλοντα σπαργανοῦσθαι ἐν σοὶ, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλογίας ἡμᾶς. Ἀστὴρ μηνύει, Μάγοι προσκυνοῦσι, Ποιμένες ἀγραυλοῦσι, θαῦμα ὁρῶντες τὸ φρικτὸν, καὶ Ἄγγελοι μέλπουσιν, ἐπὶ γῆς θεώμενοι, τὴν ἀπολύτρωσιν τοῦ γένους ἡμῶν.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἡσαΐα χόρευε, Λόγον Θεοῦ ὑποδέξαι. προφήτευσον τῇ Κόρῃ Μαριὰμ, Βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδὲμ, καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν Φάτνῃ σπαργανούμενον, ὃν Ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ Σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Δόξα. τοῦ Ἁγίου. Ἦχος α'. Τοῦ Στουδίτου.

Στήλη ἔμψυχος, καὶ ἔμπνους εἰκὼν, ἡ ἐτήσιός σου ἐπέστη ἑορτὴ, Θεοφόρε Ἰγνάτιε, τὰς μυσταγωγίας σου, καὶ τὰς ἀριστείας σου κηρύττουσα, τὴν ὑπὲρ τῆς Πίστεως μέχρις αἵματος ἀντικατάστασιν, τὴν μακαρίαν ἐκείνην, καὶ ἀοίδιμον φωνὴν, τὴν ὅτι σῖτος εἰμὶ Θεοῦ λέγουσαν, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι. διὸ μιμητὴς τοῦ πάθους τῷ Χριστῷ σὺ γεγονὼς, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτ. Ἦχος πλ. β'. Βυζαντ.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμ-

Digitized by Google

ἔμβρυον φέρουσα Χριστόν. φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως, ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν, καὶ Μάγοι ἐκ Περσίδος, Χρυσὸν καὶ Λίβανον, καὶ Σμύρναν, τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος, ἐκ Παρθένου Μητρός. ὅνπερ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς. πῶς ἐνεσπάρης μοι, ἢ πῶς μοι ἐνεφύης, ὁ Λυτρωτής μου καὶ Θεός;

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

Τὸ Τρισάγιον, καὶ τὰ Τροπάρια.

Ἑτοιμάζου Βηθλεέμ. Καὶ τρόπων μέτοχος.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

Εἰδέναι χρή, ὅτι εἰς τὴν αὐτὴν τάξιν, οὕτω γίνεται ἡ Ἀκολουθία καθ᾽ ἑκάστην, ἄχρι τῆς Παραμονῆς.

## Τῷ αὐτῷ Μηνὶ ΚΑ΄.

### Τῆς Ἁγίας Μάρτυρος Ἰουλιανῆς, τῆς ἐν Νικομηδείᾳ.

Ἡ Ἀκολουθία ἡ προεόρτιος, καὶ τῆς Ἁγίας. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια, προεόρτια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος, πρὸς αὐτὸν ἀνακέκραγε, Προφήτης ἐν Πνεύματι, πᾶσαν ὁδὸν ἐξεῦρε, πᾶσαν ἐπιστήμης, μετὰ δὲ ταῦτα τοῖς βροτοῖς, σάρκα φορέσας ὁμοιωθήσεται. Παρθένου γὰρ Θεόπαιδος, ἀποτεχθῆναι ἐπείγεται, προσιτός μοι γενόμενος, ὁ τῇ φύσει ἀπρόσιτος.

Θαυμαστὴ ἀλώμος, ἡ σὴ κοιλία Παναμώμε, Θεοτόκε γνωρίζεται, στάχυν ἀγεώργητον, ὑπὲρ νοῦν καὶ λόγον, φέρουσα ἀφράστως. ὃν ἐν Σπηλαίῳ Βηθλεέμ, ἀποκυήσεις τὴν Κτίσιν ἅπασαν, ταῖς θείαις ἐπιγνώσεσι, μέλλοντα θρέψειν ἐν χάριτι, καὶ λιμοῦ τὸ ἀνθρώπινον, ψυχοφθόρου λυτρώσασθαι.

Δάμαλις ἡ Ἄμωμος, τὸν ὑπὲρ τὸν Μόσχον φέρουσα, ἐν κοιλίᾳ προέρχεται, εἰς Ἅγιον Σπήλαιον, παραδόξῳ λόγῳ, τοῦτον ἀποτέξαι, καὶ σπαργανῶσαι ὡς βροτόν, καὶ ἀνακλῖναι φάτνῃ ὡς νήπιον. ἡ Κτίσις προεόρταζε, χαρμονικῶς μεγαλύνουσα, τὸν τοιαῦτα παράδοξα, ἐπὶ γῆς ἐργαζόμενον.

Ἕτερα Στιχηρὰ τῆς Ἁγίας. Ἦχος ὁ αὐτός, πρός, Ὡς γενναῖον ἐν Μάρτυσι.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, σωτήριον ἱμάτιον, σεαυτῇ Πανεύφημε ἐπιχρώσασα, καὶ λαμπρυνθεῖσα τῷ Πνεύματι, Κυρίῳ μεμνήστευσαι, ἀθανάτῳ Βασιλεῖ, συντηροῦντί σε Ἄμωμον, ἀδιάφθορον, εἰς αἰῶνα αἰῶνος ἐν θαλάμοις, οὐρανίοις ὡς Παρθένον, περικαλλῆ καὶ ἀκήρατον.

Αἰκισμοῖς ὁμιλήσασα, καὶ πυρὶ προσπελάσασα, καὶ σαρκὸς σπαράγματα καρτερήσασα, καὶ τῶν λεβήτων τὰ βράσματα, γενναίως ἐνέγκασα, οὐχ ἡττήθης λογισμῷ, οὐ ξοάνοις ἐπέθυσας, ἀλλὰ κλίνασα, τῷ Θεῷ τὸν αὐχένα τῇ τοῦ ξίφους, τιμωρίᾳ στεφηφόρος, πρὸς Οὐρανοὺς ἀνελήλυθας.

Ὥσπερ προῖκα πολύτιμον, τῷ Νυμφίῳ προσήγαγες, Ἀθληφόρε ἔνδοξε δῆμον ἅγιον, τοὺς θαυμασίοις πιστεύσαντα. οἷς πίστει ἐτέλεσας, ἀνωτέρα καὶ ποινῶν, καὶ τροχοῦ καταφλέγοντος, καὶ στρεβλώσεων, ἐν Χριστῷ δεικνυμένη τῷ τὴν νίκην, οὐρανόθεν σοι Παρθένε, θεουργικῶς χορηγήσαντι.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. β΄.

Σιὼν πανηγύριζε, Ἱερουσαλὴμ εὐφραίνου. Πόλις Χριστοῦ τοῦ Θεοῦ, ὑπόδεξαι τὸν Κτίστην, καὶ Σπηλαίῳ καὶ Φάτνῃ χωρούμενον. ἀνοίξατέ μοι πύλας, εἰσελθὼν ἐν αὐταῖς, ὄψομαι τὸν ὡς βρέφος σπαργανούμενον, καὶ τὸν δρακὶ συνέχοντα τὴν Κτίσιν. ὃν ὑμνοῦσιν Ἄγγελοι, ἀκαταπαύστῳ φωνῇ, Ζωοδότην Κύριον, τὸν σώζοντα τὸ γένος ἡμῶν.

Ἀπόστιχα. προεόρτια, προσόμοια. Ἦχος β΄. Πρός, Οἶκος τοῦ Εὐφραθᾶ.

Πάντων τῶν Προφητῶν, αἱ προῤῥήσεις πληροῦνται. ὁ Χριστὸς γὰρ γεννᾶται, ἐν Βηθλεὲμ τῇ Πόλει, ἐκ τῆς Ἁγνῆς Θεόπαιδος.

Στίχ.

Digitized by Google

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Δόξα τῶν ἡγεμόνων, καὶ καύχημα καὶ κλέος, Βηθλεὲμ ἡ τιμία, μητρόπολις ἡ θεία, ὑπόδεξαι τὸν Κτίστην σου.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Λόγος ὁ τοῦ Πατρὸς, δι᾽ οὗ τὸ πᾶν ὑπέστη, ἀπαθῶς καὶ ἀῤῥεύστως. Ὑπόστασις ὁρᾶται, μία ἐκ δύσεων.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ἡ πόλις Βηθλεὲμ, εὐτρέπισον τῷ Κτίστῃ, τὸ Σπήλαιον τὴν φάτνην, τὸ σπάργανα ἐν σοὶ γὰρ, τεχθῆναι παραγίνεται. Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, Καὶ τὰ τροπάρια. Ἑτοιμάζου Βηθλεέμ. Καὶ τῆς Ἁγίας. Ἡ ἀμνάς σου Ἰησοῦ. Καὶ πάλιν, Ἑτοιμάζου Βηθλεέμ.

Εἰς τὸ ἀπόδειπνα ψάλλομεν τὸ Τριώδιον. Οὗ ἡ ἀκροστιχίς.

Τρίτῃ τε.

Ὠδὴ η´. Ἦχος β´. Ὁ Εἱρμός.

„Τῷ δόγματι τῷ τυραννικῷ, οἱ Ὅσιοι
„τρεῖς Παῖδες μὴ πεισθέντες, ἐν τῇ
„καμίνῳ βληθέντες Θεὸν, ὡμολόγουν
„ψάλλοντες. Εὐλογεῖτε, τὰ ἔργα Κυρίου
„τὸν Κύριον.

Τῆς εὐθυμίας ὕμνον ἀφ᾽ ἡμῶν, βαλλώμεθα καὶ ψυχῶν ἐγρηγόρσει, τῷ τικτομένῳ ἐκ Κόρης Ἁγνῆς, Χριστῷ ὑπαντήσωμεν, εὐλογεῖτε, τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥαινέσθω πράξις ἀγαθὴ, ἡμῖν τῷ τῆς ψυχῆς ταμείῳ. ὅπως φαιδρῷ τῷ προσώπῳ Χριστῷ, τικτομένῳ ψάλλομεν. Εὐλογεῖτε, τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ τάλαντον ἔργοις ἀγαθοῖς, αὐξήσαντες ὥσπερ δῶρα τῷ δόντι, ἀντὶ χρυσοῦ καὶ λιβάνου Χριστῷ, καὶ σμύρνης προσάξωμεν, ἐρχομένῳ, τεχθῆναι ἐκ Κόρης Θεόπαιδος.

Ὠδὴ θ´. Ὁ Εἱρμός.

„Ἡ τὸν ἀχώρητον Θεὸν, ἐν Γαστρὶ χω-
„ρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσα-
„σα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένον.

Τοῖς ἐπιγνοῦσι Χριστὸς, γρηγορεῖν ἐντέταλται, τὴν αὐτοῦ ἐλπίζουσιν ἔλευσιν. ἐκ Παρθένου, καὶ γὰρ ἥκει τεχθῆναι.

Ἐν τῇ δευτέρᾳ σου Χριστὲ, ἐνδημίᾳ σύσκηνον, δεξιοῖς με δεῖξον προβάτοις σου, σὴν τιμῶντα, ἐν σαρκὶ παρουσίαν.

Ἐν τῇ προτέρᾳ σου Χριστὲ, παρουσίᾳ ἔσωσας, τὸν Ἀδὰμ, ἀλλ᾽ ἐν τῇ δευτέρᾳ σου, τοὺς τιμῶντας, τὴν γέννησίν σου σῶζε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. εἰς δὲ τὴν α´. στιχολ. κάθισμα. Ἦχος β´.

Ὁ εὐσχήμων Ἰωσήφ.

Ὁ ἀπρόσιτος Θεὸς, δι᾽ εὐσπλαγχνίαν πρόσιτος, γενόμενός μοι θέλων, προέρχεται σαρκὶ, γεννηθῆναι ὡς ἄνθρωπος. ἐν πόλει Βηθλεὲμ, ἐκ Παρθένου νεάνιδος. ὃν ὑποδέξασθαι προθύμως σπουδάσωμεν, ἀνακράζοντες φόβῳ· Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Εἰς τὴν β. στιχολ. κάθισμα. Ἦχος γ. Τὴν ὡραιότητα.

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον. ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκὶ, ἐκ τῆς Παρθένου δι᾽ ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται. Μάγοι μετὰ δώρων δὲ, ὡς Βασιλεῖ προσκυνήσουσι. Ποιμένες μετ᾽ Ἀγγέλων τε, δοξολογοῦσιν αὐτόν. μεθ᾽ ὧν καὶ ἡμεῖς βοῶμεν, δόξα τῷ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντι. Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Ὁ Ν´. καὶ ὁ Κανὼν ὁ προεόρτιος, οὗ ἡ ἀκροστιχίς. Κατὰ ἀλφάβητον.

Ὠδὴ α´. Ἦχος δ´. Ὁ Εἱρμός.

„Ἀρχιστρατήγους κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρ-
„θένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς
„τὸ τριμερὲς, καταπόντισον δέομαι. ὅπως
„σοὶ ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώ-
„ματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ἀγάλλου Οὐρανὲ, καὶ ἡ γῆ εὐφραινέσθω. ὁ Θεὸς γὰρ μεθ᾽ ἡμῶν, γενόμενος σαρκὶ, ἐκ Παρθένου νεάνιδος, τίκτεται καὶ σπαργανοῦται, τὰς σειρὰς διαλύει δὲ, τῶν ἐμῶν ἐγκλημάτων ὡς εὔσπλαγχνος.

Βασίλισσα Ἁγνὴ, Βασιλέα τῶν ὅλων, ἀποτίκτει ὑπὲρ νοῦν, τὸν ἄνω τοῖς πιστοῖς, βασιλείαν ἀνοίγοντα, καὶ τὴν ἐν ἡμῖν ἀθλίως, βασιλεύσασαν πάντοτε, ἁμαρτίαν τελείως ἐξαίροντα.

Γραφαὶ προφητικαὶ, περαιοῦνται ἰδοὺ γὰρ, ὃν προήγγειλαν Χριστὸν, ἐν Πόλει Βηθλεέμ,

Digitized by Google

θλεὲμ, φαμερῦται σαρκύμεμος. τύτυ μιῶ προεορτάσαι, τὰ γεμέθλια ασάσωμεμ, διαμοίας εὐθύτητι σήμερομ.

Ἕτερος Καμὼμ τῆς Ἁγίας.

Ὠδὴ ά. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖομ πέλαγος.

Μαρτύρωμ περιφαμῶς λαμπρότητα, περιελιας ράπτυσα, περὶ Θεὸμ χορεύεις ἱερῶς, θευμεμὴ Παμάφημε, ἐ φωτισμὸμ πρεσβείαις συ, παρεχομεμὴ τοῖς ὑμμυσί σε.

Ἐτρώθης τῷ γλυκυτάτῳ ἔρωτι, Χρις̃ῦ Πεμάφημε, ἐ σαρκικὰς λιπῦσα ἡδομὰς, ἐ μμης̃ῆρα ἐπίκηρομ, κατεγγυήθης ἄμωμος, Ἁγμὴ Παρθεμος τῷ Νυμφίῳ συ.

Λαμπρυμάς φωτοφαμέσι κάλλεσι, τὴμ σὴμ διαμοιαμ, ὁ Πλας̃υργὸς τῶμ ὅλωμ καὶ Θεὸς, Οὐραμίωμ θαλάμωμ σε, παρθεμικῶς χορέυσαμ, Μάρτυς Θεόφρωμ κατηξίωσεμ.

Θεοτοκίομ.

Η Παρθεμος τὸμ Πλας̃υργὸμ τῆς φύσεως, τεκεῖμ ἐπείγεται, ἐμ τῷ Σπηλαίῳ σάρκα ἐξ αὐτῆς, καθ' Ὑπόςασιμ ἄρρητομ, ὑπερφυῶς φορέσαμτα, ὅπως θεώσῃ τὸ ἀμθρώπιμομ.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Ὅτι ςεῖρα ἔτεκεμ, ἡ ἐξ Ἐθμῶμ Ἐκ-
„ κλησία, ἐ ἡ πολλὴ ἐμ τέκμοις. ἠσθέ-
„ μησε συμαγωγὴ, τῷ θαυμας̃ῷ Θεῷ βοή-
„ σωμεμ· Ἅγιος εἶ Κύριε.

Δαμιὴλ ἐξ ὄρους σε, παρθεμικοῦ λίθομ Λόγε, ἀποτμηθέμτα βλέπει, ἐ ἐκλεπτύμομτα βωμὺς, εἰδωλικὺς τῷ κράτει συ, διὰ τῦτο φόβῳ σε δοξάζομεμ.

Ἐξ ἑώας Μάγοι σε, τῷ Βασιλεῖ τῶμ ἁπάμτωμ, ὁδηγηθέμτες ἄςρῳ, δῶρα προσάγυσι Χριςὲ, Σμύρμαμ Χρυσὸμ ἐ Λίβαμομ, ἐκπλαγέμτες τὴμ σὴμ συγκατάβασιμ.

Θεοτοκίομ.

Ζωηφόρομ ἄςαχυμ, χώρα ἀμήροτος φέρει, ἀποτεκεῖμ ἐμ Πόλει, τῆς Βηθλεὲμ ἡ Μαριὰμ, πάμτωμ ψυχὰς ἐκτρέφομτα, τῶμ βοώμτωμ, Ἅγιος εἶ Κύριε.

Ἐ' Ἄλλος. Εὐφραίμεται ἐπὶ σοί.

Ἐτέλεσας τὴμ ψυχὴμ, Ναὸμ Παμάγιομ Θεῦ εὐδοξε, θείοις μαοῖς πάμτοτε, ὕμμοις ἐ εὐχαῖς παρεδρεύυσα.

Μεγίςωμ ἐπιτυχεῖμ, ἐφιεμέμη δωρεῶμ Παμσεμμε, πόμυς σαρκὸς ἔφερες, ὡς ἐμ ἀλλοτρίῳ τῷ σώματι.

Αἱμάτωμ σου ςαλαγμοῖς, τῆς ἀθείας τὴμ πυρὰμ ἔσβεσας, ἐ τῶμ πις̃ῶμ ἠρδευσας, Ἰυλιαμὴ τὰ φρομήματα. Θτ.

Ῥυόμεμος τοὺς βροτὺς, ὁ συμπαθὴς ἐκ τῆς Ἁγμῆς τίκτεται, ἐμ Βηθλεὲμ σπάργαμα, μήπιομ καθάπερ δεχόμεμος.

Κα. προεόρτιομ. Ἦχ. γ΄. Τὴμ ὡραιότητα.

Χαρᾶς ἐμπλήσθητε, πάμτα τὰ πέρατα, ἡ Θεοτόκος γὰρ, γεμμᾷμ ἐπείγεται, τὸμ Βασιλέα τῦ παμτός. ὢ θαύματος ἀμεκφράςυ. ἄρχεται ὁ Ἄμαρχος, ἐ σαρκῦται ὁ Ἄσαρκος. Σπήλαιομ εἰσδέχεται, τὸμ συμέχομτα ἅπαμτα. ἡ Βηθλεὲμ ἀγάλλυ ἐ χόρευε, ἡ Κτίσις ἡμέραμ προεόρτιομ.

Δόξα. Τῆς Ἁγίας. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐμ τῷ Σταυρῷ.

Πεποικιλμέμη ἀρεταῖς θεοσδότοις, διλωθισμέμη τῷ σεπτῷ μαρτυρίῳ, ὅλη καλὴ ἐ ἄμωμος ὡράθης Σεμμή. ὅθεμ συ ὁ Κύριος, μῦμ ἠράσθη τῦ κάλλυς, ἐ πρὸς φωτειμότατομ, σε μυμφῶμα εἰσῆξεμ. ἐμ ᾧ χορεύεις Ἰυλιαμὴ, μετὰ Μαρτύρωμ Χριςὸμ μεγαλύμυσα. Καὶ μῦμ. Προεόρτιομ.

Ταχὺ προκατάλαβε.

Παρθέμοι προεξάρξατε, τῇ τῆς Παρθέμου χαρᾷ. Μητέρες αἰμέσατε, τὴμ προπομπὴμ τῆς Μητρὸς, Χριςῦ τῦ Θεῦ ἡμῶμ. Μάγοι σὺμ τοῖς Ἀγγέλοις, σὺμ ἡμῖμ οἱ Ποιμέμες, ἔρχεται γὰρ ἐμ πόλει Βηθλεὲμ τῦ γεμμῆσαι. αὐτῆς ταῖς ἱκεσίαις, σῶσομ ἡμᾶς ὁ Θεός.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„ Ὁ καθήμεμος ἐμ δόξῃ, ἐπὶ θρόμυ Θεό-
„ τητος, ἐμ Νεφέλῃ κύφῃ, ἦλθεμ
„ Ἰησῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλά-
„ μῃ ἐ διέσωσε, τὺς κραυγάζομτας. δόξα
„ Χριςὲ τῇ δυμάμει συ.

Ἡ ἁγία μυροθήκη, τῦ σεπτῦ ἁγιάσματος, Βηθλεὲμ ἐμ Πόλει. τῦτο ἐκκεμῶσαι προέρχεται, ἁγιασμὸμ ἡμῖμ πᾶσι πα-

Digitized by Google

παρεχόμενον, τοῖς κραυγάζουσι· δόξα Χριστὲ τῇ δυνάμει σου.

Θεηγόρε Ἡσαΐα, τὰ σεπτά σου κηρύγματα, γεγονότα βλέπων, πράγματα ἀγάλλου καὶ χόρευε· ἡ γὰρ Παρθένος ἀσπόρως ἀπεκύησεν, ἐν Σπηλαίῳ σαρκὶ, Βηθλεὲμ τὸν ἀχώρητον.

Ἰησοῦς σαρκὶ γεννᾶται, καὶ ἐν χρόνῳ ὁ ἄχρονος, καθορᾶται βρέφος, λύων μου τὰ χρόνια πταίσματα, καὶ τῇ ἀφάτῳ πτωχείᾳ νῦν πλουτίζει με, τὸν πτωχεύσαντα, φθοροποιαῖς παραβάσεσιν.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα.

Μεταμελεῖν τὴν διάνοιαν κεκτημένη, πρὸς τὸν τῶν ὅλων Κύριον, σαρκὸς τεταμένης, καὶ μαστιζομένης δεινῶς, οὐδ' ὅλως ἐφρόντισας, Ἰουλιανὴ Καλλιπάρθενε.

Ὑπερέχυσαν οἱ ἔρωτες τοῦ Δεσπότου, τοὺς τῆς σαρκὸς Πανεύφημε, Μάρτυς ἀμαυρῶσαι. ὅθεν κατεφρόνησας, καὶ πλούτου καὶ μνήστορος, καὶ τῶν πολυτρόπων κολάσεων.

Ἐπὶ τὴν ἄσπιλον ἀμνάδα καθάπερ λύκοι, οἱ δυσμενεῖς σπαράττοντες, Μάρτυς ταῖς αἰκίαις, ἄμωμον ὁλόκληρον, Θεοῦ ἀπετέλεσαν, θεῖον ἱερεῖον καὶ σφάγιον.

Θεοτοκίον.

Παρθενίαν μετὰ τόκον ἐσφραγισμένην, ἡ Θεοτόκος βλέπουσα, θάμβει συσχεθεῖσα, τέκνον ἀνεκραύγαζε· πῶς νῦν σπαργανώσω σε, ψάμμῳ σπαργανοῦντα τὴν Θάλασσαν;

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„ Ἀσεβεῖς οὐκ ὄψονται, τὴν δόξαν σου
„ Χριστὲ, ἀλλ' ἡμεῖς σε Μονογενὲς,
„ Πατρικῆς ἀπαύγασμα, δόξης θεότητος.
„ καὶ πρὸς σὲ ὀρθρίζοντες, ἀνυμνοῦμέν σε
„ φιλάνθρωπε.

Κόρης ἀποτίκτεται, Θεὸς Ἐμμανουὴλ, καὶ ἐν Φάτνῃ ἀνακλιθεὶς, τὴν ἡμῶν ἀνάκλησιν, θέλων ἐργάζεται, τούτου τὰ γενέθλια, εὐσεβῶς προεορτάσωμεν.

Λόγος ὢν προάναρχος, Πατρὸς καὶ συμφυὴς, ἐπὶ φάτνης ἀνακλιθεὶς, τῶν ἀλόγων ἔλυσας, τῆς ἀλογίας ἡμᾶς, τοὺς προεορτάζοντας, εὐσεβῶς τὰ σὰ γενέθλια.

Μακαρία πέφυκεν, ἡ ῥίζα Ἰεσσαὶ, ἐκβλαστήσασα τὴν Ἁγνὴν, ἄνθος φέρουσαν, Χριστὸν τὸν Κύριον. οὗ προεορτάσωμεν, τὰ γενέθλια γηθόμενοι.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Ῥοὰς οὐ Μάρτυς δυσσεβοῦς, ἀθεΐας ἐξήρανας, τοῖς ῥεύμασι τῶν αἱμάτων, τῶν ἀδίκως χυθέντων, καὶ πῦρ ἀπάτης ἔσβεσας.

Ὁλόκληρον σεαυτὴν, τῷ Θεῷ προσενήνοχας. ἐρύθημα Παρθενίας, ταῖς βαφαῖς τῶν αἱμάτων, λαμπρότερον τελέσασα.

Ἐρῶ κάλλει τὴν ψυχὴν, τετρωμένη παρέδραμεν, ὦ Δέσποτα ἡ Παρθένος, τὰ ὁρώμενα κάλλη, ἀθλήσει διαλάμπουσα.

Θεοτοκίον.

Θαῦμα καινοπρεπὲς, ἡ Παρθένος ἐπείγεται, ἡ Ἄχραντος ἐν Σπηλαίῳ, Βηθλεὲμ τοῦ κυῆσαι, Θεὸν ἐνανθρωπήσαντα.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Ἦλθον εἰς τὰ βάθη τῆς Θαλάσσης,
„ καὶ κατεπόντισέ με, καταιγὶς
„ πολλῶν ἁμαρτημάτων. ἀλλ' ὡς Θεὸς,
„ ἐκ βυθοῦ ἀνάγαγε, τὴν ζωήν μου Πο-
„ λυέλεε.

Νέον ἐπὶ γῆς ἡμῖν παιδίον, τεχθεὶς ὁ πρὸ αἰώνων, ἐκ Πατρὸς ἀρρήτως ἀμαλάμψας, τῆς παλαιᾶς, πάντας ἠλευθέρωσε. παραβάσεως ὡς εὔσπλαγχνος.

Ξένα καὶ παράδοξα ἠκούσθη, ἐν Βηθλεὲμ τῇ Πόλει, γεννηθέντος σου Ἄναρχε Λόγε. Ποιμένες γὰρ, μετ' Ἀγγέλων ὕμνον σοι, ὡς Δεσπότῃ προσεκόμιζον.

Ὁ ἀστὴρ τὸν τῆς δικαιοσύνης, καταμηνύει Μάγοις, ἀπορρήτως Ἥλιον τεχθέντα. οὗ τὰ σεπτὰ, νῦν προεορτάσωμεν, ἀγαλλόμενοι γενέθλια.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Ἔρωτι, τετρωμένη τῷ θείῳ ἐκραύγαζες, Χριστὸν ἐπείγομαι φθάσαι, τὸν ὡραῖον κάλλει. ὅθεν βασάνους ὑπομένω, ἀκλινεῖ γηθομένη φρονήματι.

Ξαίνεσθαι, ἀνηλεῶς καὶ ῥάβδοις συντρίβεσθαι, τὴν τοῦ Κυρίου ἀμνάδα, πονηρὸς διώκτης προσέταττε, τεταμένην, πρὸς Χριστὸν τὸν ἀνέσπερον Ἥλιον.

Ὠδὴ ζ΄.

Digitized by Google

Ὤρθρισας, πρὸς Χριστὸν τὸν ἀνέσπερον Ἥλιον, καὶ ταῖς αὐτοῦ φρυκτωρίαις, καὶ ψυχὴν Θεόφρων, καὶ τὴν καρδίαν, κατηυγάσθης, καὶ πρὸς φῶς μετετέθης ἀΐδιον. Θεοτοκίον.

Θάλασσαν, σπαργανώσας ὁμίχλῃ βουλήματι, κυοφορεῖται ὁ Κτίστης, ἐκ Παρθένου Κόρης καὶ σπάργανα, ὥσπερ βρέφος, καταδέχεται Κόσμον λυτρούμενος.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἐν τῇ Βηθλεέμ, ὁρῶντες σπαργανούμενον, τὸν πᾶσαν τὴν γῆν, κρατοῦντα τῇ χειρὶ αὐτοῦ, προεόρτια ᾄσματα, τῇ Τεκούσῃ τοῦτον προσενέγκωμεν. μητρικῶς γὰρ ἀγάλλεται, κρατοῦσα ἐν κόλποις τὸν Υἱὸν τοῦ Θεοῦ. Ὁ Οἶκος.

Τὸν τοῦ Θεοῦ Υἱὸν, ἡ Παρθένος ἐν ἀγκάλαις κρατοῦσα, μητρικοῖς ἀσπασμοῖς καταφιλοῦσα ἐφθέγγετο. σπορὰν οὐκ ἔγνων ἐν τῇ συλλήψει καὶ φθορὰν οὐχ ὑπέστην ἐν τῇ γεννήσει. νῦν δὲ Ἁγνὴ ὥσπερ πρώην εἰμὶ καὶ μετὰ γέννησιν. διό σου προσκυνῶ Τέκνον τὴν πολλὴν εὐσπλαγχνίαν, καὶ ἄφατον μεγαλουργίαν, ἣν ἔδειξας εἰς ἐμέ. ὅθεν καὶ ἀγάλλομαι, κρατοῦσα ἐν κόλποις τὸν Υἱὸν τοῦ Θεοῦ.

Τῷ αὐτῷ Μηνὶ ΚΑ'. Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἰουλιανῆς.

Στίχ. Ἰουλιανῆς ἀγλάϊσμα τὸ ξίφος.
Ὡς προξενῆσαν ἀγλαὸν ταύτῃ στέφος.
Ἔκτανον εἰκάδι πρώτῃ Ἰουλιανὴν ἐρατεινήν.

Αὕτη ἦν ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως, πλουσίων γεννητόρων παῖς ὑπάρχουσα, καὶ μνηστεύεται παρ' αὐτῶν Ἐλευσίῳ τινὶ συγκλητικῷ. Οὗ βουλομένου τὸν γάμον ποιῆσαι, οὐ κατεδέξατο ἡ Ἁγία εἰποῦσα ἐὰν μὴ πρότερον τὴν τῆς Πόλεως ἐπαρχίαν σχῇς, οὐ συνέρχομαί σοι εἰς γάμον. Εἰς δὲ τὴν τοῦ Ἐπάρχου τιμὴν καταστάντος αὐτοῦ, πάλιν πρὸς αὐτὸν λέγει· ἐὰν μὴ ἀπὸ τῆς τῶν εἰδώλων θρησκείας ἐπὶ τὴν τῶν Χριστιανῶν πίστιν μεταστραφῇς, τὴν διὰ γάμου πρὸς σὲ κοινωνίαν οὐ καταδέχομαι. Ὁ δὲ τῷ πατρὶ τῆς Παρθένου ἐξεῖπε πάντα. Μὴ δυνηθέντος δὲ τοῦ πατρὸς ἀπὸ τῆς εἰς Χριστὸν Πίστεως αὐτὴν μεταβαλεῖν, αὐτῷ τῷ μνηστῆρι καὶ Ἐπάρχῳ εἰς τὴν κατὰ τοὺς κρατοῦντας νόμους ἐξέτασιν παρεδόθη. Ὁ δὲ τοῦ χιτῶνος γυμνώσας αὐτὴν, καὶ βουνεύροις ὠμοῖς ὑπὸ ἑκκαίδεκα στρατιωτῶν καταξάνας, καὶ τῶν τριχῶν ἐκκρεμάσας, ὡς ἐκσπασθῆναι τὸ δέρμα τῆς κεφαλῆς αὐτῆς, καὶ σιδήροις πεπυρωμένοις τὰς πλευρὰς αὐτῆς καταφλέξας, καὶ ἕτερόν τι σιδήριον πεπυρακτωμένον ἀπὸ τοῦ μέσου τῶν μηρῶν αὐτῆς διελάσας, καὶ ταῖς πλευραῖς τὰς χεῖρας αὐτῆς περιδήσας, τῇ εἱρκτῇ ταύτην ἀπαχθῆναι διεκελεύσατο. Ταύτῃ οὖν τῇ νυκτὶ ἐν ᾗ ἀπερρίφη, προσευχομένης αὐτῆς, πρόσεισιν αὐτῇ ὁ ἀφανὴς πάντων ἐχθρὸς καὶ πολέμιος, ἐν σχήματι Ἀγγέλου, προτρεπόμενος αὐτὴν θῦσαι καὶ ἀπολυθῆναι. Ἡ δὲ Ἁγία τοῦτον ἀπωσαμένη, τὰ κατ' αὐτὸν πάντα, καὶ μὴ βουλόμενον, ὁμολογῆσαι ἐποίησεν. Ἀχθεῖσα δὲ πρὸς τὸν Ἔπαρχον, καὶ τῆς εἰς Χριστὸν ἀγάπης ἀμετάθετος μένουσα, καμίνῳ λίαν ἐξαφθείσῃ ἐμβάλλεται. Καὶ ταύτης παραδόξως σβεσθείσης, πεντακόσιοι ἄνδρες ἐπίστευσαν τῷ Χριστῷ, καὶ αὐτίκα ξίφει ἐτελειώθησαν, μετὰ γυναικῶν ἑκατὸν τριάκοντα. Τῆς δὲ Μάρτυρος εἰς λέβητα ἐμβληθείσης διακαῆ, λουτρὸν ὁ λέβης τῇ μακαρίᾳ ἐγένετο. Λυθεὶς δὲ καὶ ἐκχυθεὶς ὥσπερ ὑπότιμος μηχανῆς, τοὺς κύκλῳ ἀπίστους διώλεσεν. Ἐπεὶ δὲ ἀνωτέρα πάντων ἡ Μάρτυς ἐγένετο, τὴν διὰ ξίφους ὑφίσταται τελευτήν. Ἦν δὲ ὅτε ἐμνηστεύθη τῷ Ἐλευσίῳ, χρόνων ἑξκαίδεκα. ὅτε δὲ τῷ Χριστῷ διὰ τοῦ μαρτυρίου, χρόνων δεκαοκτώ. Τελεῖται δὲ ἡ αὐτῆς Σύναξις ἐν τῷ μαρτυρίῳ αὐτῆς, τῷ ὄντι πλησίον τῆς Ἁγίας Μάρτυρος Εὐφημίας ἐν τῷ Πετρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι πεντακόσιοι Μάρτυρες οἱ ἐν Νικομηδείᾳ, ξίφει τελειοῦνται.

Στίχ. Πεντακοσίους εἶδεν ἐκτετμημένους,
Ἡ Νικομήδης Μάρτυρας νικηφόρους.

Τῇ

Digitized by Google

Τῇ αὐτῇ ἡμέρᾳ, Αἱ Ἅγιαι ἑκατὸν τριάκοντα γυναῖκες, αἱ ἐν Νικομηδείᾳ ξίφει τελειοῦνται.

Σὺν πενταπλῇ πρότερον εἰκάδι ξίφος,
Τριπλῆ γυναικῶν Μαρτύρων δεκὰς κάρας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Θεμιστοκλέους.

Στ. Τὰς ἐκ σιδηρῶν ἥλων ξέσεις τρισμάκαρ,
Ὥς τις σιδηροῦς, καρτερεῖς Θεμιστόκλες.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Δεκίου, ἐκ Μύρων τῆς Λυκίας, ποιμὴν προβάτων ὑπάρχων. Τοῦ οὖν ἄρχοντος διωγμὸν κατὰ τῶν Χριστιανῶν κινήσαντος, καὶ τοῦ Ἁγίου Διοσκορίδους ἐπιζητουμένου, ἐπεὶ πρὸς τὸ ὄρος κατέφυγεν, οἱ δὲ ζητοῦντες αὐτὸν, εὗρον νέμοντα τὸν Θεμιστοκλέα, καὶ ἀνηρώτων περὶ τοῦ Διοσκορίδους. ὁ δὲ ἐκεῖνον μὲν ἀπέκρυψε, μὴ εἰδέναι λέγων ἔνθα ἐστὶν, ἑαυτὸν δὲ παρέδωκεν ὁμολογήσας εἶναι Χριστιανόν. Καὶ τὸν Χριστὸν κηρύξας ἐνώπιον τοῦ ἄρχοντος Ἀσκληπιοῦ, καὶ παῤῥησιασάμενος, ἐτύφθη κατὰ γαστρὸς ἕως ἐῤῥάγη, καὶ ἐπὶ ξύλου ἐκρεμάσθη. Εἶτα σύρεται ἐπὶ τριβόλων σιδηρῶν. ὑφ᾽ ὧν ὅλον τὸ σῶμα περονούμενος, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα „τυραννικὸν, εἰς φλήναφον θέμενοι, „ἐν μέσῳ πυρὸς ἀνεβόων· εὐλογητὸς εἶ „Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πῶς σε σπήλαιον χωρήσει, ἐρχόμενον δι᾽ ἡμᾶς, τεχθῆναι ἀχώρητε; πῶς σε γαλουχήσει Παρθένος, τροφέα πάντων εὔσπλαγχνε, Ἰησοῦ χρηματίζοντα;

Ῥήμασιν ἀκολουθοῦντες, τοῦ Μάντεως Βαλαὰμ, Μάγοι ἐπισπεύδουσι, Χριστὸν προσκυνῆσαι σὺν δώροις. ἐπεγνωκότες τοῦτον, πάσης πνοῆς βασιλεύοντα.

Θεοτοκίον.

Στειρεύουσα τῶν ἀνθρώπων, φύσις πάσης ἀρετῆς, ἀγάλλου καὶ χόρευε. ἥκει γὰρ Χριστὸς ἐκ Παρθένου, σαρκὶ τεχθῆναι, ὅπως δείξῃ καλοῖς εὐτεκνοῦσάν σε.

Ἄλλος. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ἐν ἀφροσύνῃ, πυρακτωθέντι σε λέβητι Μάρτυς, δικαστὴς προσρίπτει ἀνηλεῶς. δι᾽ Ἀγγέλου δὲ ὁ Κύριος, ἀδιαλώβητόν σε διέσωσε, τοῦτον γεραίρουσαν.

Οὐ δειλιῶσα, ἀνδρειοφρόνως μᾶλλον δὲ πάνσεμνε, Μάρτυς, τῇ πυρᾷ προσέρχῃ ἀναψυχῆς, αἰθομένης κραυγάζουσα· εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Σοῦ τῷ Νυμφίῳ, καθάπερ προῖκα προσήγαγες, δῆμον, καὶ λαὸν πιστώσαντα εἰς αὐτὸν, καὶ τῆς πλάνης ἀμαυρότητα, ταῖς φωτοβόλοις σου, θαυματουργίαις ἀποκρουσάμενον.

Χαῖρε χωρίον, τοῦ ἀχωρήτου Μητροπάρθενε. τοῦτον, σαρκοφόρον μέλλεις γὰρ δι᾽ ἡμᾶς, ἐν Σπηλαίῳ τίκτειν Ἄχραντε, ἐπανορθούμενον, τῶν οἰκείων χειρῶν τὸ πλαστούργημα.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Λυτρωτὰ τοῦ παντὸς Παντοδύναμε, „τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, „συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλ-„πειν. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖ-„τε τὸν Κύριον.

Τὸν πολλαῖς με Χριστὲ παραβάσεσι, τῶν λῃστῶν χρηματίσαντα σπήλαιον, δι᾽ εὐσπλαγχνίαν ἄφατον, διασώζων τεχθῆναι, ἐν τῷ Σπηλαίῳ, ἐκ Παρθένου Ἁγνῆς κατηξίωσας.

Ὑπογράφων τελείαν μοι ἄφεσιν, ἀπεγράφης τῷ Καίσαρος δόγματι, ὁ Ποιητὴς τῆς Κτίσεως σὺν τοῖς δούλοις ὑμνῶ σου, τῆς εὐσπλαγχνίας, τὸ ἀμέτρητον ἔλεος Δέσποτα.

Θεοτοκίον.

Φωτεινὸν τοῦ Δεσπότου Παλάτιον, πῶς ὑπῆλθες σμικρότατον Σπήλαιον, τὸν Βασιλέα Κύριον, δι᾽ ἡμᾶς σαρκωθέντα, ἀποκυῆσαι, πανάγια Παρθένε θεόνυμφε.

Ἄλλος. Χεῖρας ἐκπετάσας.

Ἄνω σου τὸ ὄμμα καὶ τὸν νοῦν, πρὸς τὸν δυνάμενον, ἔχουσα σώζειν Θεὸν, λεβήτων βράσματα χάριτι, θείου Πνεύματος κατέ-

κατέσβεσας, ἀνaβοῶσα τὴν ᾠδὴν, τῶν Παίδων Μάρτυς πιστῶς· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ρήμασι τυράννων δυσμενῶν, ὑπηρετούμενοι, πυρὸς ἐπάξιοι, οἱ ματαιόφρονες ζῶσαν σε, τῇ πυρᾷ Μάρτυς ἐνέβαλον. ἀλλ᾽ οὐκ ἐφλέχθης τῷ πυρὶ, τῇ τοῦ Νυμφίου στοργῇ, Θεοφόρε, δροσιζομένη καὶ τοῦτον γεραίρουσα.

Ἵστασο πρὸ βήματος, Χριστὸν ἀνακηρύττουσα, Θεὸν ἀθάνατον, καθυπομείναντα σταύρωσιν, καὶ τὴν πλάνην θανατώσαντα, καὶ τὴν ἀθάνατον ζωὴν, πιστοῖς παρέχοντα, τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Νέφει τὴν ἐπίβασιν αὐτοῦ, τιθεὶς ὁ Κύριος. διὰ νεφέλης ἡμῖν, Παρθένου τίκτεσθαι ἔρχεται, ὅπως λύσῃ τῶν ψυχῶν ἡμῶν, τῆς ἁμαρτίας ζοφερὰ, νέφη βοώντων αὐτῷ, εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, „ τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρ„ θένε Θεοτόκε, τῷ τῆς κυοφορίας βλα„ στήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήν„ θησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Χορεύσωμεν ἅπαντες πιστοὶ σκιρτήσωμεν, καὶ συμφώνως ἀλαλάξωμεν. ἥκει ἡ πάντων σωτηρία, ἐγγίζει τοῦ τεχθῆναι ὁ Κύριος, καὶ σῶσαι τοὺς αὐτοῦ τὰ γενέθλια, εὐσεβοφρόνως ἑορτάζοντας.

Ψαλτήριον ἅγιε Δαβὶδ ἀνάλαβε, καὶ κιθάραν καὶ μελῴδησον, τοῦ Εὐφραθᾶ οἶκος Ἐφραΐμ. Πατὴρ γὰρ ἐκ γαστρὸς ὃν ἐγέννησεν, ἐν σοὶ περιφανῶς ἀποτίκτεται, ἐκ τῆς Παρθένου σωματούμενος. Στ.

Ὡς ὄμβρος ὡς μέγας ὑετὸς ἐν μήτρᾳ σου, ὁ Δεσπότης καταβέβηκε, καὶ αὐχμηρείᾳ ἀθείας, τὴν γῆν κεχερσωμένην κατήρδευσε, καὶ πλάνης τὰς θαλάσσας ἐξήρανε, Θεογεννῆτορ Μητροπάρθενε.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Ἰουλιανῆς ἀθλοφόρου. τοὺς ὑπὲρ Πίστεως ἀγῶνας, Ἄγγελοι ἐθαύμασαν ὅπως, ἐν γυναικείᾳ φύσει κατήσχυνε, τὸν τὴν

αὐτῆς προμήτορα, ἐν Παραδείσῳ θανατώσαντα.

Ὡς περικαλλὴς ἀθλοφόρος, καὶ περιδέξιος Παρθένος, στέφος ἀνεπλέξω νομίμως, δικαιοσύνης καταπατήσασα, μετὰ σαρκὸς τὸν ἄσαρκον, καὶ νικηφόρος χρηματίσασα.

Σὲ τὴν νοητὴν Χελιδόνα, καὶ ἀδιάφθορον Τρυγόνα, καὶ Περιστερὰν μαρτυρίῳ, κεχρυσωμένας ἔχουσαν πτέρυγας, καὶ πρὸς Θεὸν πετάσασαν, καὶ καταπαύσασαν γεραίρομεν.

Ἤνθησας κοιλάσιν ὡς κρῖνον, ταῖς τῶν μαρτύρων ἀθλοφόρε, Ἰουλιανὴ καὶ ὡς ῥόδον, τὴν Παρθενίαν εὔοσμον φέρουσα, τῷ νοητῷ νυμφίῳ σου, θεῖον ὀσφράδιον γεγένησαι. Θεοτοκίον.

Φέρουσα τὸν φέροντα πάντα, πρὸς Βηθλεὲμ ἔρχῃ Παρθένε, τοῦτον καὶ κυῆσαι καὶ Φάτνῃ, προσανακλῖναι καθάπερ νήπιον, τὴν τῶν βροτῶν ἀνάκλισιν, διαφερόντως ἐργαζόμενος.

Ἐξαποστειλ. Ἐπεσκέψατο ἡμᾶς.

Τὸν νυμφῶνά σου Λόγε, ἡ Μάρτυς ἐπιποθοῦσα, βασάνων ἅπασαν πεῖραν, στερρῶς ὑπέστη ῥοπῇ σου. ἧς ταῖς πρεσβείαις ὁ Θεὸς, οἰκτειρον δέομαί σου, τὴν ψυχήν μου καὶ σῶσόν με.

Προεόρτ. Τὸν νυμφῶνά σου βλέπω.

Βηθλεὲμ γῆ Ἰούδα, εὐτρέπισον τὰς εἰσόδους. ἐν σοὶ γὰρ ἡ Παρθένος, καὶ Θεοτόκος ἤδη ἥκει, τοῦ τεκεῖν ἐν Σπηλαίῳ, καὶ Φάτνῃ, τὸν Θεόν μου καὶ Κύριον.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν γ. προσόμοια. Ἦχος Πλ. β΄.

Αἱ Ἀγγελικαί.

Ὁ δημιουργὸς, νῦν προέρχεται Σοφία. αἱ προφητικαὶ, διανοίχθῶσι νεφέλαι. ἡ χάρις αἰθριάζει, ἡ ἀλήθεια ἔλαμψε. παύεται αἰνίγματα σκιώδη, ἡ τῆς Ἐδὲμ ἠνοίγη πύλη. Ἀδὰμ χόρευε, ὁ πλαστουργὸς Θεὸς ἡμῶν, ἑκὼν πεπλαστούργηται.

Θεσπίσματα πληρῶν, Προφητῶν καὶ τὰς ὁράσεις, τίκτεται σαρκὶ, καὶ παχύνεται ὁ Λόγος, καὶ φάτνῃ τῶν ἀλόγων, γεννηθεὶς

μηθεὶς ἀνακλίνεται. τούτου συγκατάβασις ἡ ἄκρα. τούτου ἡ φρικτὴ οἰκονομία. δι᾽ ἧς ψάλλομεν, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.

Ἴνα τῆς φθορᾶς, τὸν ἰὸν ἀποκαθάρῃς, καὶ τὴν ἀρχικὴν, ἀναπλάσῃς μοι εἰκόνα, σαρκοῦσαι καὶ θηλάζεις, καὶ σπαργάνοις ὁ νεύματι, πάντα περιάγων ἐνειλίσσῃ, τερατουργὲ ὑμνῶσε Λόγε, βουλῆς Ἄγγελε, τῆς πατρικῆς δι᾽ ἧς ἐγὼ, ἀπαθανατίζομαι.

Κόλπων Πατρικῶν, οὐκ ἐκστὰς βροτὸς ὡράθης, καὶ Παρθενικαῖς, ἐποχούμενος ὠλέναις, τοὺς Μάγους ἐκ Περσίδος, δι᾽ ἀστέρος ἐκάλεσας, ἄνακτα Θεόν σε προσκυνοῦντας, πνεύματι χειλέων ἀσεβοῦντας, ἐθνῶν ἄρχοντας· οὓς ἀνελεῖς καὶ ποιμανεῖς, λαὸν περιούσιον. Δόξα. Ὅμοιον.

Λόγος ὁ Πατρὶ, ὁμοούσιος ὑπάρχων, ἐκ παρθενικῶν, φυραθεὶς ἁγνῶν αἱμάτων, καὶ πλάττεται καὶ αὔξει, χρονικῷ διαστήματι, αὖθίς τε γεννᾶται ἐν Σπηλαίῳ, ἔκπληξις. Ἀλλ᾽ Ἄγγελοι κροτοῦσι, βροτοὶ μέλπουσιν, ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Καὶ νῦν. Ὅμοιον.

Μαντέως χρησμοὶ, Βαλαὰμ ἀποπληροῦνται. οἱ γὰρ Περσικαῖς, τερατείαις κεχρηκότες, ἀστέρος ἀσυνήθους, τῇ ἐλλάμψει τὸν ἄδυτον, Ἥλιον Χριστὸν καταυγασθέντες, ἐν Βηθλεὲμ σωματωθέντα, Θεὸν ἄνακτα, καὶ ἐθελούσιον νεκρὸν, τοῖς δώροις τεκμαίρονται.

Εἰς τὸν στ. στ. προσόμοια. Ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Προλάμπει ὁ ἀστὴρ, ἤδη ἐν τῷ Σπηλαίῳ. Ποιμένες μετ᾽ Ἀγγέλων, οἱ Μάγοι μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ἴνα τῶν Προφητῶν, πληρώσῃ τὰς προρρήσεις, ἐν Βηθλεὲμ γεννᾶται, καὶ τὴν Ἐδὲμ ἀνοίγει, τοῖς ἐξ Ἀδὰμ ὁ Κύριος.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Μύρισον Βηθλεὲμ, τὴν Φάτνην τὴν ἁγίαν. ἐν σοὶ γὰρ ὁ Δεσπότης, προσέφαπλοῖ ἀκτῖνας, τῆς ἑαυτοῦ Θεότητος.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Λεῦτε οἱ γηγενεῖς, συμφώνως τὴν Παρθένον, Θεοτόκον Μαρίαν, ὑμνήσωμεν ἀπαύστως, ἐξ ἧς ὁ Χριστὸς τίκτεται.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Μηνὶ ΚΒ.

## Τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας, τῆς Φαρμακολυτρίας.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλ. στ. προσόμ. προεόρτια. Ἦχος Πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ὁ ἄδυτος Ἥλιος, Παρθενικῶν ἐκ λαγόνων, ἀνίσχειν ἐπείγεται, τοῦ φωτίσαι ἅπασαν τὴν ὑφήλιον. καθαροῖς ὄμμασι, καὶ ἁγναῖς πράξεσιν, ὑπαντῆσαι τούτῳ σπεύσωμεν, καὶ ὑποδέξασθαι, νῦν ἑτοιμασθῶμεν ἐν πνεύματι, ἐρχόμενον εἰς ἴδια, ξένῳ τοκετῷ ὡς ηὐδόκησεν. ὅπως ξενωθέντας, ἡμᾶς τῆς ἐν Ἐδὲμ διαγωγῆς, ἐπαναγάγῃ ὡς εὔσπλαγχνος, Βηθλεὲμ τικτόμενος.

Ὁ νώτοις ὀχούμενος, Χερουβικοῖς Θεὸς Λόγος, σαρκὶ καθ᾽ ὑπόστασιν, ἑνωθεὶς παναμώμου μήτραν ᾤκησε, καὶ βροτὸς γέγονε, καὶ εἰς γῆν ἔρχεται, τοῦ Ἰούδα ἀποτίκτεσθαι. Σπήλαιον ἅγιον, τῷ Παμβασιλεῖ εὐτρεπίσθητι, ὡς μέγιστον παλάτιον, Φάτνη δὲ ὡς θρόνος πυρίμορφος, ἐν ᾧ ὥσπερ βρέφος, Παρθένος Μαριὰμ ἀνακλινεῖ, ἐπ᾽ ἀνακλήσει τοῦ πλάσματος, αὐτὸν ὡς ηὐδόκησεν.

Λόγον ἐν φάτνῃ ὑμῖν, ἀνακλινεῖ ἡ Παρθένος, Θεοῦ Λόγε ἄναρχε, ἀρχὴν εἰσδεξάμενον ὑπὲρ ἔννοιαν, τὴν ἐμὴν λῦσαι γὰρ, ἀλογίαν ἔρχῃ, ἣν ὑπέστην φθόνῳ ὄφεως. ἐσπαργανώθης δὲ, ὅπως διαρρήξῃς τὰ σπάργανα, σειρὰς τε τῶν πταισμάτων μου, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε. ὅθεν σε δοξάζω, ὑμνῶ καὶ προσκυνῶ περιχαρῶς, τὴν ἐν σαρκὶ παρουσίαν σου, δι᾽ ἧς ἠλευθέρωμαι.

Ἕτερα στ. προσόμ. τῆς Ἁγίας. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ὡς περικαλλέστατα τὰ σὰ, Μάρτυς προτερήματα, ὡς εὐκλεεῖς οἱ ἀγῶνές σου, ὡς

ὡς περιβόητος, ἡ ὁμολογία, ὡς πολλὰ τὰ θαύματα, καὶ ἄπειρα τὰ θεῖα τεράστια, δι' ὧν δοξάζει σε, εἰς αἰῶνας ὃν ἐδόξασας, ἐναθλοῦσα, τοῖς σεπτοῖς σου μέλεσι.

Στέργουσα τὴν εὔκλειαν σεμνή, τῶν ἀθλούντων ἐσπούδασας, τούτων τὸν ζῆλον μιμήσασθαι. ὅθεν ὑπήνεγκας, πόνους σφοδροτάτους, καὶ νῦν θείᾳ χάριτι, καθίζεις πάντα πόνον πανεύφημε, ἐκ τῶν ψυχῶν ἡμῶν, καὶ σωμάτων τῶν τιμώντων σου, τοὺς ἀγῶνας, καὶ τὰ προτερήματα.

Ἤστραψας φαιδρότερον σαφῶς, τοῦ Ἡλίου ἔνδοξε, τὸν σὸν ἀγῶνα τελέσασα, καὶ ταῖς ἀκτῖσί σου, τῶν πολλῶν θαυμάτων, πάντων τὰ νοήματα, φωτίζεις τῶν πιστῶς προσιόντων σου, τῇ θείᾳ λάρνακι, πηγάζουσα θεῖα νάματα, Ἀναστασία Μάρτυς μεγαλώνυμε.

Δόξα. τῆς Ἁγίας, ἰδιόμ. Ἦχος β'.

Τῆς ἀναστάσεως εἴληφας τὸ ὄνομα, Ἀναστασία πανεύφημε, ἀθληφοροῦσα ἐν τῷ σταδίῳ. δαιμόνων γὰρ ἐξηφάνισας πληθύν, καὶ πόντῳ παρέδωκας Ἀθληφόρε, Μάρτυς ἀξιοθαύμαστε.

Καὶ νῦν. Ἦχος Πλ. β'. Βύζαντος.

Ἀνύμφευτε Παρθένε, πόθεν ἥκεις; τίς ὁ τεκών σε; τίς καὶ ἡ Μήτηρ σου; πῶς τὸν Κτίστην φέρεις ἐν ἀγκάλαις; πῶς οὐκ ἐφθάρης τὴν νηδύν; μεγάλων χαρισμάτων ἐπὶ σοί, φρικτῶν μυστηρίων, ἐπὶ γῆς τελουμένων, ἰδόντες Πανάγια, καὶ προευτρεπίζομεν ἐπάξιόν σοι χρέος, ἐπὶ γῆς τὸ Σπήλαιον. καὶ Οὐρανὸν αἰτοῦμεν, παρασχεῖν τὸν ἀστέρα. καὶ Μάγοι δὲ προέρχονται, ἀπὸ ἀνατολῶν τῆς γῆς, εἰς δυσμὰς θεάσασθαι, τὴν Σωτηρίαν τῶν βροτῶν, ἀγκάλαις δαδουχούμενον.

Εἰς τὸν στ. π. προσόμ. προεόρτια. Ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἔρχεται ὁ Χριστός, τὸν πονηρὸν συντρίψαι, τοὺς ἐν σκότει φωτίσαι, καὶ λῦσαι τοὺς δεσμίους. αὐτῷ προϋπαντήσωμεν.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ἄσατε Πατριαί, Ἐθνῶν αἶνον καὶ δόξαν. αἱ Μάγοι μετὰ δώρων. Ποιμένες ἀγραυλοῦντες, προθύμως ἐπισπεύσατε.

Στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ὄρη τε καὶ βουνοί, κοιλάδες καὶ πεδία, οἱ ποταμοὶ καὶ πᾶσα, ἡ Κτίσις νῦν τὸν Κτίστην, τικτόμενον μεγάλυνε.

Δόξα. τῆς Ἁγίας. Ἦχος δ'. Τοῦ Στουδίτου.

Τῆς ζωηφόρου ἀναστάσεως Χριστοῦ, ἐπώνυμος γενομένη σεμνή, πολιτείαν τῇ κλήσει, διαφόρως ἐξηκολούθησας. καὶ τὴν φύσιν νευρώσασα, ἀρρενωθεῖσά τε τῷ φρονήματι, ἀλουργίδα ἐξύφανας, τῇ πορφυρίδι τῶν αἱμάτων σου. καὶ βασιλικῶς ὥσπερ σκῆπτρον, τὸν Σταυρὸν κατέχουσα, τῷ Θεῷ καὶ Σωτῆρι συμβασιλεύεις, Ἀναστασία παμμακάριστε. αὐτὸν ἱκέτευε, καὶ ἡμᾶς ἐλλαμφθῆναι, τῆς θείας δόξης αὐτοῦ.

Καὶ νῦν. προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἠσαΐα χόρευε, Λόγον Θεοῦ ὑπόδεξαι, προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ, καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν Σωτηρίαν, ἐν Φάτνῃ σπαργανούμενον. ὃν ἀστὴρ ἐμήνυσεν, ἐπάνω τοῦ Σπηλαίου, ζωοδότην Κύριον, τὸν σώζοντα τὸ γένος ἡμῶν.

Ἕτερα π. τῆς Ἁγίας προσόμ. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, σωτηρίου ἱμάτιον, σεαυτῇ Πανεύφημε ἐπιχρώσασα, καὶ λαμπρυνθεῖσα τῷ Πνεύματι, Κυρίῳ μεμνήστευσαι, ἀθανάτῳ Βασιλεῖ, συντηροῦντι σε ἄμωμον, ἀδιάφθορον, εἰς αἰῶνα αἰῶνος, ἐν θαλάμοις, οὐρανίοις ὡς παρθένον, περικαλλῆ καὶ ἀκήρατον.

Τὰς στρεβλώσεις τοῦ σώματος, καὶ μαστῶν τὴν ἀφαίρεσιν, καὶ χειρῶν ὑπέφερες καρτερώτατα, τὴν τῶν ὀδόντων ἐκρίζωσιν, πλευρῶν τὴν καταφλεξιν, τῶν ποδῶν τὴν ἐκκοπήν, καὶ τὸν βίαιον θάνατον. ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, οὐρανίοις, ἐν θαλάμοις κατοικοῦσα, Ἀναστασία πολύαθλε.

Παρθενίας Κειμήλιον, κεκλεισμένος Παράδεισος, ἱερὸν ἀνάθημα, Θεῖον τέ-



Digitized by Google

μενος, Νύμφη Χριστοῦ πανακήρατος, καὶ ἔμψυχον Ἄγαλμα, Ἀσκουσῶν Ὑπογραμμὸς, τῶν Μαρτύρων καλλώπισμα, Κρήνη βρύουσα, ποταμοὺς ἰαμάτων ἀνεδείχθης, τοῖς τελοῦσι σου τὴν μνήμην, Ἀναστασία πανάφημε.

Ἀπολυτίκιον. Ἑτοιμάζου Βηθλεέμ.

Δόξα. τῆς Ἁγίας. Ἦχος δ'.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ. σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου. καὶ πάσχω διὰ σὲ, ὡς βασιλεύσω σὺν σοί. καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί. ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι. αὐτῆς πρεσβείαις ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον.

Ἑτοιμάζου Βηθλεέμ.

Ἐν τοῖς ἀποδείπνοις ψάλλομεν τὸ Τριῴδιον. Οὗ ἡ ἀκροστιχίς. Τετράδι ψαλῶ.

Ὠδὴ γ'. Ἦχος β'. Ὁ Εἱρμός.

„Τῆς πίστεως, ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου. εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν, οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι Δίκαιος, πλήν σου Κύριε.

Ἐν κενοῖς, τὸ συνέδριον τοῦ Ἡρώδου, καὶ γνώμῃ συναθροίζεται μιαιφόνῳ, τετιμημένον τὸν Κύριον ἀποκτεῖναι. ᾧ πάντες ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Τὸ δεινὸν βουλευτήριον τοῦ Ἡρώδου, σκέπτεται θεομάχου ψυχῆς ὑπάρχον, νηπίοις τὸν Δεσπότην συναποκτεῖναι, Χριστὸν ᾧ ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„Ῥῆμα Τυράννου, ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος, ἐξεκαύθη ποτέ. ἐν ᾗ Παῖδες οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα. ἀλλ' ἐβόων· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀποκενοῦντες, ὡς μύρα τὰ δάκρυα, τῷ δι' ἡμᾶς Χριστῷ γενομένῳ σαρκὶ, σαρκὸς τὰς κηλῖδας καθαρίσωμεν, τῷ ἀχράντῳ καθαρῶς προσιόντες, καὶ βοῶντες. πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δάκρυσιν οἴκτου, τὰ δάκρυα φύγωμεν, ἁμαρτωλοὶ κολάσεως, τῆς μελλούσης φρικτῆς, Χριστοῦ, τῶν ἰχνῶν ἐπιλαβόμενοι, τεθειμένου ἐν σπαργάνοις ὡς βρέφος, καὶ βοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖσθαι, τὸ λύτρον γινώσκοντες, ἐκ τῶν ἰδίων σπλάγχνων τε, καὶ δακρύων πηγῆς Χριστῷ, διὰ τῆς ἐξαγορεύσεως, ἐκπλυθέντες πιστοὶ προσέλθωμεν, σαρκὶ τικτομένῳ βοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„Ψυχαῖς καθαραῖς, καὶ ἀρρυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν, τὴν ἀκηλίδωτον, καὶ ὑπεράγνον, Μητέρα τοῦ Ἐμμανουὴλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς, προσφέροντες πρεσβείαν τεχθέντι. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἀγνωμόνων μηδεὶς, μὴ πονηρὸς ζηλότυπος, ἔσω τῶν φερόντων νῦν, δῶρα Θεῷ δεκτὰ, ἀντὶ Σμύρνης τοῦ Χρυσοῦ καὶ Λιβάνου, ἀρετῶν τὸν σμυρνισμὸν, ψαλλόντων τε Χριστῷ τικτομένῳ. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Λέγει πορωθεὶς, Ἡρώδης Μάγοις ἔμφροσιν, ἄπιτε ζητήσατε, τὸν γεννηθέντα νῦν, Βασιλέα καὶ εὑρόντες μηνύσατέ μοι, μελετήσας ὁ δεινὸς, τὸν φόνον μιαιφόνῳ καρδίᾳ. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ὢ πηρωτικῆς μιαιφονίας τόλμημα, λήθης ὅθεν ἔτυχες, ὅτι Θεὸν οὐδεὶς, ὑποχείριον ἀναιρεῖ λαμβάνων. ὑπερζέσας γὰρ θυμῷ, ὠμῶς τὰ βρέφη σφάττεις Ἡ-

ρώδη

Digitized by Google

ᾠδῆ. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α΄. στιχολ. κάθισμα. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Εὐμενῶς ἀφαιρεῖται, ἡ Κτίσις σήμερον. Χριστὸς γὰρ ὁ Κύριος, ὁ τοῦ Θεοῦ μόνος Υἱός, ἐκ Κόρης γεννᾶται ἁγνῆς, ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων καὶ τὴν κατάραν, τῆς προμήτορος Εὔας. διὸ ὡς εὐεργέτῃ ἡμῶν, ᾆσμα προσάξωμεν.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν β΄. στιχολογ. κάθισμα. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Τὴν Παρθένον κύουσαν, τὸν προαιώνιον Λόγον, Ἰωσὴφ ὁ δίκαιος, ὑμνολογῶν ἀνεβόα· βλέπω σε γεγενημένην Ναὸν Κυρίου, φέρουσαν τὸν πάντας σῶσαι βροτοὺς ἐλθόντα, καὶ τοὺς τοῦτον ἀνυμνοῦντας, δι' οἶκτον θείους ναοὺς δεικνύοντα.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἶτα ὁ Ν΄. καὶ οἱ Κανόνες. ὁ Κανὼν ὁ προεόρτιος. οὗ ἡ ἀκροστιχίς.

Τῇ μακρᾷ πέμπτῃ, μακρὸν ὕμνον ἐξᾴδω.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄. Ὁ Εἱρμός.

„ Τμηθείσῃ τμᾶται, Πόντος ἐρυθρός,
„ κυματοτρόφος δὲ ξηραίνεται βυθός,
„ ὁ αὐτὸς ὁμοῦ, ἀόπλοις γεγονὼς βατός,
„ καὶ πανοπλίταις τάφος. ᾠδὴ δὲ θεοτερπὴς
„ ἀνεμέλπετο, ἐνδόξως δεδόξασαι,
„ Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἡ παναιτία, καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος Σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς, ἁγνῆς ἐξ ἀπειράνδρου Μητρός. ναὸν γὰρ σωματικὸν περιθέμενος, ἐνδόξως δεδόξασαι, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Μυσταγωγοῦσα, Μάγους συγκαλεῖ, τὴν ἀπαρχὴν ἡ τοῦ Θεοῦ Σοφία τῶν Ἐθνῶν, τοὺς ἀλόγους πρὶν τραφῆναι μυστικῶς, ἀλόγων ἐπὶ φάτνης τραπέζης, κειμένης τῆς μυστικῆς, πρὸς ἣν ὠδίνουσι, σὺν δώροις ὁδηγοῦντες, ἀστέρος προλάμποντος.

Ἀκουτισθῶμεν, νῦν Προφητικῶν, ἐκπληρουμένων, διὰ Πνεύματος φωνῶν. ἡ Παρθένος γὰρ λαβοῦσα ἐν γαστρί, ἐπείγεται τεκεῖν τὸν προόντα. ὃν Μάγοις μὲν Οὐρανὸς καθυπέδειξε, Ποιμέσι δὲ Ἄγγελοι, ὡς βρέφος φαινόμενον.

Ἕτερος Κανὼν τῆς Ἁγίας.

Ὠδὴ α΄. Ἦχος α΄.

Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες.

Τὴν μνήμην σου σήμερον, Ἀναστασία, πιστῶς ἑορτάζομεν, ἣν Χριστὸς ἐδόξασεν, ἀπείροις θαύμασιν, ὁ ἐν τῇ Πόλει Βηθλεέμ, σαρκὶ τικτόμενος.

Ὁ κόσμος ἀγάλλεται, τὰς ἀριστείας, τὰς σὰς καὶ τὰ θαύματα, καὶ τὰ κατορθώματα, ἀνακηρύττων ἀεί, Ἀναστασία, Ἀθλητῶν τὸ ἐγκαλλώπισμα.

Ὑμνοῦμεν τοὺς πόνους σου, Ἀναστασία, τὰ ἆθλα τὰ στίγματα, τὰ φρικτὰ τεράστια, τὴν πρὸς τὸν Κύριον θείαν ἀγάπην, καὶ πολλὴν ὄντως οἰκείωσιν. Θεοτοκ.

Πτωχεύει ὁ πλούσιος, δι' εὐσπλαγχνίαν, Παρθένου τικτόμενος. Μάγοι εὐτρεπίζονται, ἀνατολῶν Βασιλεῖς, τοῦτον θεάσασθαι πιστῶς, καὶ προσκυνῆσαι σαρκί.

Ἕτερος Κανὼν τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς.

Ὑμνῶ σε Μάρτυς Ἀναστασία πόθῳ.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος Πλ. β΄.

Ἆσμα ἀναπέμψωμεν λαοί.

Ὕμνον ἀναπέμψωμεν Θεῷ, ἀποτεχθῆναι μέλλοντι, σαρκὶ ἐκ τῆς Παρθένου, ἐν Βηθλεὲμ τῇ Πόλει, καὶ Φάτνῃ τεθήσεσθαι, νήπιος ὥσπερ βρέφος, ἵνα σώσῃ, ἀνθρώπων τὸ γένος.

Μόνον τὸν ἐράσμιον Χριστοῦ, Ἀναστασία ἔνδοξε, κάλλος ζητήσασα, παρέδραμες τὰ καλὰ τοῦ Κόσμου, στερρότητι γνώμης, καὶ ἀθανάτου κληρουχίας, Μάρτυς ἠξιώθης.

Νύκτα τοῦ τῆς πλάνης σκοτασμοῦ, τῷ φωτισμῷ τοῦ Πνεύματος, αὐγαζομένη σεμνή, παρέδραμες ἐμφρόνως, καὶ νῦν κατεσκήνωσας, ἔνθα τὸ θεῖον φέγγος, τῆς ἀκτῖνος Τριάδος ὑπάρχει.

Θεοτοκίον.

Ὤφθη, ὁ ἀόρατος Θεός, ὑπερφυῶς τικτόμενος, δι' εὐσπλαγχνίαν πολλήν, ἐκ σοῦ Παρθενομῆτορ, πτωχεύσας ὁ πλούσιος, ὅπως ἀθανασίαν τῶν ἀνθρώπων, τὸ γένος πλουτίσῃ.



Digitized by Google

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Κύριος ὢν πάντων, καὶ Κτίστης Θεός, „τὸ κτιστὸν ὁ ἀπαθὴς πτωχεύσας, „ἑαυτῷ ἥνωσε, καὶ ὡς βρέφος φερόμενος „σαρκί, ἐν Φάτνῃ πενιχρᾷ προσκυνεῖ- „ται, φάγετε βοῶν τὸ σῶμά μου, καὶ πίστει „στερεωθήσεσθε.

Ῥύσιον κενῶσαι, ἐρχόμενον νῦν, ὑπὲρ Κόσμου τὸ οἰκεῖον αἷμα, Χριστὸν θρασύνεται, ὁ Ἡρώδης τοῦ κτεῖναι πρὸ καιροῦ, μανεὶς πρὸ τῆς μανίας Πιλάτου. ὅθεν φονικῇ ὠμότητι, τῶν βρεφῶν στίφη κατέσφαξεν.

Ἄφρων ἀνήρ; ἔφη οὐκ ἔστι Θεός. ὃς μανίας πληρωθεὶς ἐσχάτης, Χριστοκτονίαν νοσεῖ. τοῦ σκοποῦ δὲ τῆς τόλμης ἐκπεσὼν, πρὸς φόνον βρεφῶν ἀπειροκάκων, ὅλον ἑαυτὸν ἐξώπλισε, καὶ γῆν ἐμίανεν αἵμασιν.

Ἄλλος. Λίθον, ὃν ἀπεδοκίμασαν.

Ἔνδον, τοῦ Σπηλαίου τίκτεται, ὁ πρὸ ἑωσφόρου, ἐκ γαστρὸς ἐκλάμψας, ὑπὲρ νοῦν καὶ λόγον, καὶ τοῦτον οὐρανόθεν, ἀστὴρ ὑποδείκνυσι, τοῖς Ἀστρολόγοις ἐμφανῶς. τοῦτον πιστοὶ ὑμνολογήσωμεν.

Ἥδε ἱερὰ πανήγυρις, ἡμῖν ἐτησίως, ἔλαμψεν ἡ μνήμη, ἡ τῆς Ἀθλοφόρου. ἐν ταύτῃ φωτισθέντες Θεὸν ἀνυμνήσωμεν, τὸν μεγαλύναντα αὐτὴν θεοπρεπῶς, θαυματουργίαις πολλαῖς.

Στόμα, Θεολόγον ἤνοιξας, μέσον τοῦ σταδίου, καθομολογοῦσα, τοῦ Χριστοῦ τὸ πάθος, καὶ πάσχουσα προθύμως. ἐντεῦθεν γεγένησαι, πᾶσι τοῖς κάμνουσιν ἀεί, Μάρτυς σεμνή, καταφυγὴ καὶ λιμήν.

Θεοτοκίον.

Οὗτος, μόνος ὁ Θεὸς ἡμῶν, ὁ ἐκ σοῦ Παρθένε, Σάρκα ὑπὲρ λόγον, ἀληθῶς φορέσας, τεχθῆναι ἐν Σπηλαίῳ, ἐπείγεται ὅπως με, οἶκον γενόμενον λῃστῶν, δείξῃ ναὸν τοῦ Θείου Πνεύματος.

Ἄλλος. Οὐρανίας ἁψῖδας.

Σπαργανούμενον βρέφος, ὁ ἀναφὴς Κύριος, μέλλει καθορᾶσθαι, ἐν φάτνῃ ἀνακλινόμενος. ὄρη σκιρτήσατε, καὶ ἀγαλλίασιν θείαν, οἱ βουνοὶ ἐνδύσασθε, φωτὸς πληρούμενοι.

Εὐσεβεῖ παῤῥησίᾳ, τῶν διωκτῶν ἤμβλυνας, τὰ πεπυρωμένα, ῥημάτων βέλη σωτήριον, Λόγον πλουτήσασα, Ἀναστασία καὶ θείῳ, πόθῳ τὰ κινήματα, ψυχῆς ἰθύνασα.

Μόνον Μάρτυς ἐβόας, ἐπιζητῶ Κύριον, μόνῃ τῇ αὐτοῦ, ἀγαπήσει ψυχὴν προσέδησα. τούτου ἐλλάμπεσθαι. καθαρωτάταις πλουσίως, ἀστραπαῖς ἐπείγομαι, ἤθους ἁπλότητι.

Θεοτοκίον.

Ἀπειρόγαμε Κόρη, τὸν τῇ χειρὶ φέροντα, ἅπασαν τὴν Κτίσιν, ἐν Μήτρᾳ φέρεις σαρκούμενον. ὃν καὶ τικτόμενον, ἀνακλινεῖς ἐν τῇ Φάτνῃ, βρέφος καθορώμενον τὸν προαιώνιον.

Κάθισμα τῆς Ἁγίας. Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὡς Νύμφην σε Χριστοῦ, ἀνυμνοῦμεν Παρθένε. ὡς Θέκλαν τὴν σεπτήν, ἐπαξίως τιμῶμεν, διὸ καὶ ἐν τῇ μνήμῃ σου, ἀρυόμεθα νάματα. σὺ γὰρ εἴληφας, τῶν ἰαμάτων τὴν χάριν, ὡς φυλάξασα, τὰς ἐντολὰς τοῦ Κυρίου, δυνάμει τοῦ Πνεύματος.

Ἕτερον. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ὡς Μαθήτρια Χριστοῦ, καὶ τὰ διδάγματα αὐτοῦ, πίστει πληροῦσα εὐσεβῶς, σὺ καθωδήγησας ψυχάς, πρὸς τὴν ἐπίγνωσιν ἄγουσα τῆς ἀληθείας. καὶ Μάρτυρας αὐτὰς, Θεῷ προσήγαγες, καὶ στέφανον διπλοῦν, ἄνωθεν ἔλαβες, τοῦ φιλανθρώπου Θεοῦ ἡμῶν Θεόνυμφε, Ἀναστασία Θεόφρων σεμνή, καὶ πόθῳ θείῳ, ἀποτελοῦσα, σὺν αὐτοῖς τὸ μαρτύριον.

Ἕτερον. Ἦχος πλ. δ'. Τὴν σοφίαν καὶ Λόγον.

Τῶν Μαρτύρων ζηλοῦσα τὴν ἀρετὴν, συμπαθείᾳ καρδίας τούτων θερμῶς, ταῖς χρείαις ἑκάστοτε, διηκόνεις θεοπμάστε, καὶ τοὺς ἰχῶρας πίστει, ἐξεμάττες χαίρουσα, ἐν μηδενὶ θεμένη, τὰ πρόσκαιρα βάσανα. ὅθεν ἐπὶ τέλει συσχεθεῖσα καὶ πόνους, πολλοὺς ὑπομείνασα, στεῤῥότατος ἐνήθλησας, Ἀναστασία πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Προ-

Digitized by Google

Προεόρτιον. Ἦχος ὁ αὐτός.
Τὸ προσαχθὲν μυστικῶς.

Τῶν γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἐπαξίως ἅπαντες προϋπαντήσωμεν, ὡς Μάγοι δωροφοροῦντες τὰς ἀρετὰς, καὶ ᾆσαι τὸ τῶν Ἀγγέλων ᾆσμα καινὸν, τῷ ἐκ Κόρης θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, γεννωμένῳ Θεῷ ἡμῶν. ὃν δοξάζει τὰ σύμπαντα.

Ὠδὴ δʹ. Ὁ Εἱρμός.

„ Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου
„ σου τὸ ἀπόρρητον, Χριστὲ προανε-
„ φώνει σοι. ἔθου κραταιὰν, ἀγάπησιν ἰ-
„ σχύος, Πάτερ οἰκτίρμων. τὸν Μονογε-
„ νῆ Υἱὸν γὰρ ἀγαθὲ, ὁ Πατὴρ εἰς τὸν
„ Κόσμον ἀπέστειλεν.

Ἐπὶ τὸν πόκον ὡς ὄμβρος, καὶ ὥσπερ σταγὼν ἐπὶ τὴν γῆν, τὴν σὲ τεκοῦσαν Κύριε, ἔρχῃ συμπαθῶς, τεχθῆναι, καὶ βροτοῖς συναναστραφῆναι. τὸν Μονογενῆ καὶ γάρ σε ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλεν.

Μεταλαμβάνων βροτείας, Χριστὲ σαρκὸς, Ἀβραὰμ ἐκ σπέρματος, καὶ χάριν ἀντὶ χάριτος, ἔρχῃ παρασχεῖν, καὶ σῶσαι τὴν εἰκόνα καὶ ἀφθαρτίσαι, τὸν Μονογενῆ καὶ γάρ σε ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλεν.

Πόμα καινὸν ὅπερ πάλαι, πιεῖν Δαβὶδ διψῶν ἐπεθύμησεν, ἐν τῷ Σπηλαίῳ πρόεισι, βλῦσαι Βηθλεὲμ, καὶ παῦσαι προσγενόμενον δίψος, τὸ κατὰ ψυχὴν Ἀδάμ τε καὶ Δαβὶδ, ἐξ ὧν τὸ κατὰ σάρκα γεννᾶται Χριστός.

Ἄλλος. Ἐν Πνεύματι προβλέπων.

Ὑμνήσατε τὰ Ἔθνη, κροτήσατε Λαοὶ, ἐν Σπηλαίῳ τίκτεται, ὁ πάντων φωτισμός. οὗ ταῖς ἀκτῖσιν, Ἀναστασία ἡ Μάρτυς καταυγασθεῖσα, σκότος ἔφυγεν ἀπάτης, λάμψασα Ἡλίου φαιδρότερον.

Μαρτύρων τῆς εὐκλείας, ἐπέτυχες σεμνὴ, τοῦ Χριστοῦ πανεύφημε, προθύμῳ λογισμῷ. καὶ τούτων Μάρτυς, ἰχῶρας, χερσὶν οἰκείαις. πόθῳ καὶ πίστει, ἀπομάττουσα σπουδαίως. ὅθεν σὺν αὐτοῖς ἀνυμνοῦμέν σε.

Ἀγῶνας πολυτρόπους, διήνυσας στεῤῥῶς, καὶ θαυμάτων εἴληψας, τὴν χάριν δαψιλῶς. Ἀναστασία ἐντεῦθεν ἅπας ὁ Κόσμος, καταφυγήν σε καὶ ἀντίληψιν βεβαίαν, κέκτηται προστρέχων τῇ σκέπῃ σου.

Ῥομφαίας ἀοράτων, συνέτριψας ἐχθρῶν, Μάρτυς μεγαλώνυμε, δυνάμει τοῦ Σταυροῦ. ὅθεν ἐδείχθης, πηγὴ ἀπείρων θαυμάτων, Ἀναστασία ἀποπλύνουσα παντοίων, Μάρτυς νοσημάτων τὸν βόρβορον.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ῥήσεις ἤδη πεπλήρωνται, τῶν προφητευόντων ἐν Θείῳ Πνεύματι. ἡ Παρθένος γὰρ ἐπείγεται, ἐν Σπηλαίῳ τίκτειν τὸν παντέλειον.

Τῶν Μαρτύρων τὴν εὔκλειαν, πόθῳ ἐκζητήσασα ταύτης ἔτυχες, στεῤῥοτάτως ἐναθλήσασα, ἀδιστάκτῳ γνώμῃ καρτερόψυχε.

Ὑφαντὸν ἐκ τῆς ἄνωθεν, χάριτος χιτῶνα ὅνπερ ἐνδέδυσαι, ἀπεκδύσει τῇ τοῦ σώματος, ἀθληφόρε Μάρτυς πανοίδιμε.

Θεοτοκίον.

Σαρκοφόρος προέρχεται, ἐκ σῆς φωτοφόρου νηδύος Ἄχραντε, Βασιλεὺς ὁ ἐπουράνιος, ὡς ἐν θρόνῳ Φάτνῃ προσκλινόμενος.

Ὠδὴ εʹ. Ὁ Εἱρμός.

„ Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδεόμενοι
„ ὡς φιλάδελφοι, τῷ δεσπόζοντι τῶν
„ ὅλων, τῷ Κόσμον ἄγαν ἀγαπήσαντι, καὶ
„ δόντι λύτρον Υἱὸν τὸν ἀγαπητὸν, δῶ-
„ μεν δόξαν μέλποντι, πᾶσιν εἰρήνην.

Ἡ τὸ ἄχετον κρατοῦσα, καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα καὶ Θαλάσσας ἀναχαιτίζουσα, Θεοῦ Σοφία, ὡς ὑετὸς ἐν πόκῳ, καταβᾶσα, μήτραν Παρθένου ᾤκησεν.

Μαθητὰς Μάντεως Μάγους, Βαλαὰμ καλεῖ πρὸς γνῶσιν ἀστέρι Χριστός. ὁ νεφέλαις δὲ τὸν πόλον, περιβάλλων σπαργάνοις πλέκεται, καὶ Φάτνῃ κεῖται, ὃν τρέμει τὰ Χερουβὶμ, Σπηλαίῳ χωρεῖται δὲ, ὁ πληρῶν τὰ πάντα.



Digitized by Google

Ἄλλος. **Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.**

Ὑμνοῦμέν σου τὴν σάρκωσιν, φιλάνθρωπε Χριστέ. πίστει προσκυνοῦμεν τὰ σπάργανα. δι᾽ ὧν ἐλύθη κατακρίσεως, τὸ τῶν βροτῶν γένος, δοξάζον σε Σωτήρ μου.

Στομώσασα τὸ φρόνημα, ἀγάπῃ θεϊκῇ, Μάρτυς ἀληθῶς μεγαλώνυμε, ξίφος ὠράθη, πάσας φάλαγγας, συγκόπτον τῶν δαιμόνων ἐνθέῳ πεποιθήσει.

Ἀγῶσι λαμπρυνθεῖσά σου, ἀπείροις ἡ ψυχή, ἔλαμψεν Ἡλίου φαιδρότερον, τὴν οἰκουμένην καὶ κατηύγασε, πηγὰς τῶν ἰαμάτων, σεμνὴ Ἀναστασία.

Θεοτοκίον.

Νῦν ἦλθεν εἰς τὰ ἴδια, ἐν ξένῳ τοκετῷ, Λόγος τοῦ Πατρὸς σωματούμενος, ἐκ τῆς Παρθένου καὶ ὡς νήπιον, ὁρᾶται ἐν Σπηλαίῳ, δι᾽ ἄκραν εὐσπλαγχνίαν.

Ἄλλος. Ὀρθρίζοντες.

Ἀνέτειλε τὸ ἄστρον Ἰούδα, ἐκ γῆς Χαλδαίων, κινοῦν εἰς προσκύνησιν, τοὺς Ἀστρολόγους ὡς γέγραπται.

Νομίμως ἠγωνίσω, ἀνόμους τροπωσαμένη, Μάρτυς πανοίδιμε, τῇ δυναστείᾳ τοῦ Πνεύματος.

Ἀνάστασιν Χριστοῦ εἰκονίζεις, ἐπωνυμίᾳ, ἐχθροὺς καταράσσουσα, τοὺς ἀοράτους Πανεύφημε.

Θεοτοκίον.

Σπηλαίῳ ὑπογαίῳ τεχθῆναι, ἐκ τῆς Παρθένου, Χριστὸς κατεπείγεται. ἀγαλλιάσθω ἡ σύμπασα.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Ἄβυσσος ἐσχάτη, ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν κλύδωνα μηκέτι „ φέρων, ὡς Ἰωνᾶς, τῷ Δεσπότῃ βοῶ „ σοι. ἐκ φθορᾶς με ἀνάγαγε.

Κύριόν σε γνόντες, οἱ Οὐρανοὶ διηγοῦνται τὴν σὴν, Σῶτερ δόξαν δι᾽ ἀστέρος Μάγους, νῦν μετὰ δώρων καλοῦντες πρὸς γνῶσιν σου, καὶ θείαν προσκύνησιν.

Ῥύπον τις προσείψας, ἀπορρυφθήτω, καὶ οὕτω Χριστῷ, καθαρὸς τῷ καθαρῷ ψαυέτω, βρέφος ἐν Φάτνῃ κειμένῳ, τὰ πάθη, καρδιῶν ἐκκαθαίροντι.

Ἄλλος. **Τὸν Προφήτην Ἰωνᾶν.**

Ἐπιλάμψας ὁ Χριστὸς, ἐκ λαγόνων Μητρικῶν, ἐν τῇ Πόλει Βηθλεέμ, διὰ σπλάγχνα οἰκτιρμῶν, ἐδόξασε, τῆς Ἀθληφόρου τὴν μνήμην σήμερον.

Συντριβεῖσα ταῖς πολλαῖς, τῶν δεινῶν ἐπιφοραῖς, καθυπέταξας ἐχθρὸν, τοῖς ὡραίοις σου ποσὶν, ἀοίδιμε, Ἀναστασία θεομακάριστε.

Ὑποστᾶσα καρτερῶς, τῶν βασάνων τὰς δεινὰς, προσβολὰς καὶ τοῦ πυρὸς, τὴν κατάφλεξιν σεμνὴ, ἀοίδιμε, Ἀναστασία Μαρτύρων ἔρεισμα. Θεοτοκίον.

Πόλις ἔμψυχε Θεοῦ, ἐν τῇ Πόλει Βηθλεέμ, ἀποτίκτεις τὸν Χριστὸν, Θεοτόκε ὑπὲρ νοῦν, γενόμενον, δι᾽ εὐσπλαγχνίαν τέλειον ἄνθρωπον.

Ἄλλος. **Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.**

Τὴν φύσιν τὴν ἐξ ἡμῶν ὁ Εὔσπλαγχνος, προσλαβόμενος ὁρᾶται ὡς βρέφος, ὁ βρεφουργῶν, ἐν κοιλίᾳ τὰ βρέφη, καὶ σπαργανοῦται καὶ φάτνῃ ἀνάκειται, καὶ λύει μου τὰς τῶν παθῶν, πολυπλόκους σειρὰς ἀγαθότητι.

Ἁγίων ἰχνηλατοῦσα Μαρτύρων, καρτερῶς διὰ Χριστὸν τοὺς ἀγῶνας, καὶ ταῖς αὐτῶν, χρείαις διακονοῦσα, καὶ τοὺς ἰχῶρας Ὁσία ἐκμάττουσα, ἐπλούτησας περιφανῶς, τὴν αὐτοῖς ἐπιλάμψασαν εὔκλειαν.

Σταγόνας τῶν ἰαμάτων προχέεις, ἐπομβρίαις θεϊκῶν χαρισμάτων, καὶ τῶν παθῶν, ποταμοὺς ἀναστέλλεις, καὶ βοηθεῖς τοῖς δεινῶς κινδυνεύουσιν, ἀοίδιμε Μάρτυς Χριστοῦ, ἀναστάσεως θείας ἐπώνυμε. Θτ.

Ἰώμενος τῶν ἀνθρώπων τὴν φύσιν, τῇ ἀρχαίᾳ παραβάσει φθαρεῖσαν, δίχα φθορᾶς, νέον τίκτεται βρέφος, καὶ σοῦ ἐν κόλποις ὡς θρόνῳ καθέζεται, Ἀνύμφευτε τῆς Πατρικῆς, μὴ ἐκστὰς συνεδρείας θεότητος.

Κοντάκιον τῆς Ἁγίας. Ἦχος β΄.

Τὰ ἄνω ζητῶν.

Οἱ πειρασμοῖς, καὶ θλίψεσιν ὑπάρχοντες, πρὸς τὸν σὸν ναὸν, προστρέχοντες λαμβάνουσι, τὰ σεπτὰ ἰάματα, τῆς ἐν σοὶ



Digitized by Google

οἰκούσης θείας χάριτος. Ἀναστάσια σὺ γὰρ ἀεί, τῷ Κόσμῳ πηγάζεις τὰ ἰάματα.

Ὁ Οἶκος. Τοῦ Συμεών.

Τῆς ἀναστάσεως τοῦ Κυρίου συνεπώνυμος οὖσα, πεπτωκότα με νῦν ἀνάστησον ταῖς πρεσβείαις σου, ἐκ τῶν θαυμάτων τῶν σῶν, σταγόνας ἐπιστάξασα Μάρτυς ἐν τῇ ψυχῇ μου, καὶ τὸν φλογμὸν τῆς δεινῆς ἁμαρτίας κατάσβεσον. τὸν Κόσμον γὰρ διασώζεις, ἐκ παθῶν πολυτρόπων ἑκάστοτε, ὧνπερ κἀγὼ πεπείραμαι. σὺ γὰρ πάντα τοῖς πᾶσι παρέχουσα, τῷ Κόσμῳ πηγάζεις τὰ ἰάματα.

Τῷ αὐτῷ Μηνὶ ΚΒ΄. Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας, τῆς Φαρμακολυτρίας.

Στ. Ἀναστασία φάρμακον πιστοῖς μέγα,
Πᾶν φάρμακον λύουσα καὶ κεκαυμένη.
Καύθη Ἀναστασίη πυρί, εἰκάδι δευτέρῃ λαύρῳ.

Ἡ Ἁγία καὶ γενναιοτάτη Μάρτυς Ἀναστασία, ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, ἐν τῇ Ῥωμαίων πόλει, Πρετεξεστάτου τινὸς Ἕλληνος οὖσα θυγάτηρ, Μητρὸς δὲ Φαύστης. Ὑφ᾽ ἧς προσαχθεῖσα Χρυσογόνῳ ἀνδρὶ θεοπνεύστῳ καὶ εὐσεβεῖ, τὰ ἱερὰ γράμματα ἐπαιδεύθη, τὴν δὲ εἰς Χριστὸν πίστιν, παρὰ τῆς Μητρὸς ἔμαθε. καὶ συνεζεύχθη ἀνδρὶ Ἕλληνι πρὸς κοινωνίαν γάμου, Πουπλίῳ ὀνόματι. καὶ διὰ τὴν ἀπιστίαν αὐτοῦ, ἀστόργως τὴν πρὸς αὐτὸν ὁμιλίαν ἔφερε, νόσον ἀεὶ προφασιζομένη, καὶ μὴ καταδεχομένη συνέρχεσθαι αὐτῷ εἰς συνάφειαν. Μετερίαν δὲ καὶ πενιχρὰν ἐνδυσαμένη στολήν, προσωμίλει ἀεὶ γυναιξὶ δεομέναις, καὶ λαθραίως τοὺς διὰ Χριστὸν ἐναθλοῦντας ἐθεράπευεν, ἐν ταῖς φυλακαῖς, ἐν αἷς ἦσαν εἰσιοῦσα, καὶ τῶν δεσμῶν ἀπολύουσα, καὶ ἐλαίῳ ἐπαλείφουσα, καὶ τοὺς ἰχῶρας αὐτῶν ἀπομάττουσα, καὶ τροφὰς ἐπιτηδείας τούτοις παρέχουσα, μιᾶς μόνης θεραπαινίδος ἑπομένης αὐτῇ. Ἐπὶ τούτοις πρῶτον μὲν ὑπὸ τοῦ ἀνδρὸς ἐφρουρήθη, ἐπιγνόντος τὰ κατ᾽ αὐτήν. ἐπεὶ δὲ ἐκεῖνος διαποντίῳ κλύδωνι γεγονὼς ὑποβρύχιος, ἀδείας αὐτῇ λαβομένη, πάντα τὰ προσόντα αὐτῇ διένειμε τοῖς πτωχοῖς. εἶτα ἀδεέστερον τοὺς ὑπὲρ Χριστοῦ ἀθλοῦντας ἐθεράπευε, καὶ τελειωθέντας συνεκόμιζε, καὶ παρεδίδου τῇ ὁσίᾳ ταφῇ. Καὶ πολλοὺς πρὸς τὸ μαρτύριον ἀπαλείψασα, καὶ διαφόροις ἡγεμόσιν ἐξετασθεῖσα, καὶ ἐν Θαλάσσῃ μεθ᾽ ἑτέρων γυναικῶν ἀπορριφεῖσα, τελευταῖον πάλοις προσδεθεῖσα. καὶ πυρὶ βληθεῖσα, τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο. Τελεῖται δὲ ἡ αὐτῆς σύναξις, ἐν τῷ μαρτυρίῳ αὐτῆς, τῷ ὄντι πλησίον ἐν τοῖς Δομνίνου ἐμβόλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Χρυσογόνου.

Στ. Δίδωσι Χρυσόγονος αὐχένα ξίφει.
Ὁ Πνεῦμα χρυσοῦς, χάλκεος δὲ τὸ σθένος.

Χρυσόγονος ὁ Μάρτυς, ὑπῆρχεν ἐκ τῆς μεγαλοπόλεως Ῥώμης, ἐπὶ Διοκλητιανοῦ τοῦ Βασιλέως, ἀνὴρ θεοσεβής, καὶ τὸν Θεὸν φοβούμενος, διδάσκαλος γενόμενος εἴς τε τὴν εἰς Χριστὸν πίστιν, καὶ εἰς τὰ ἱερὰ γράμματα τῆς Ἁγίας Ἀναστασίας. Διωγμοῦ δὲ κινηθέντος, ἐκρατήθη, καὶ εἰς πῦρ ἐνεβλήθη. ὅτε καὶ ἔγραψε πρὸς αὐτὸν ἡ Ἁγία Ἀναστασία, ἵνα εὔξηται ὑπὲρ αὐτῆς. καὶ εἰ μὲν γένηται ὁ ἀνὴρ αὐτῆς Χριστιανός, ἵνα σωθῇ. εἰ δὲ οὐ γένηται, ἐξολοθρευθῆναι αὐτόν, ἵνα μὴ τὸν πλοῦτον αὐτῆς δαπανήσῃ μετὰ τῶν εἰδωλολατρῶν, ἀλλὰ αὐτὴ κατακενώσῃ αὐτὸν εἰς τοὺς Ἁγίους, καὶ εἰς τοὺς πτωχούς. ὅπερ καὶ ἐγένετο. Καὶ ἐνδυσαμένη πενιχρὰν στολήν, διήρχετο καὶ διηκόνει τοῖς Ἁγίοις ἐν ταῖς φυλακαῖς, ὅτε καὶ ὁ Διοκλητιανὸς ἐν Νικαίᾳ διάγων, ἔγραψεν εἰς Ῥώμην, πάντας τοὺς Χριστιανοὺς ἀποθανεῖν, τὸν δὲ Χρυσόγονον εἰς Νικομήδειαν ἀχθῆναι δέσμιον, καὶ ἀχθέντα, ἀπογυμνωθῆναι αὐτόν, καὶ οὕτω τελειωθῆναι ξίφει. ὃ καὶ ἐγένετο. καὶ τὴν κεφαλὴν ἀποτμηθείς, στεφανηφόρος εἰς Οὐρανοὺς ἀνέδραμεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης, καὶ τῶν τέκνων αὐτῆς.


Digitized by Google

Στ. Ἡ Θεοδότη πῦρ φέρει σὺν φιλτάτοις.
Φίλτρῳ Θεοῦ ζέουσα, καὶ πυρὸς πλέον.

Θεοδότη ἡ Μάρτυς, ἦν ἀπὸ τῆς χώρας Βιθυνίας, Ἀκούσασα δὲ τὰ περὶ τῆς Ἁγίας Ἀναστασίας, ἀπῆλθε πρὸς αὐτὴν, καὶ διέτριβε μετ' αὐτῆς ἅμα τοῖς τέκνοις αὐτῆς. Πρότερον δὲ ἡ Ἁγία αὕτη ἐπεζητεῖτο πρὸς γάμον ὑπὸ Λευκαδίου τιμίου ἄρχοντος, ἀλλ' οὐκ ἐπείθετο. ὅμως θέλουσα αὐτὸν ἐκφυγεῖν, ἐμήνυσεν αὐτῷ μικρὸν ἀναμεῖναι αὐτὴν, καὶ τότε τὸ κατ' γνώμην αὐτοῦ ποιῆσαι. Τοῦ δὲ ἄρχοντος ἀναμένοντος, αὕτη τὸν πλοῦτον αὐτῆς δοῦσα πτωχοῖς, ὑπηρέτει τοῖς ἐν φυλακαῖς Ἁγίοις. Ἀκούσας δὲ Διοκλητιανὸς, ὅτι πᾶσαι αἱ φυλακαὶ καὶ τὰ ἐργαστήρια πεπληρωμένα εἰσὶ τῶν Χριστιανῶν, ἐκέλευσε πάντας ἐν μιᾷ νυκτὶ φονευθῆναι, τοὺς μὲν διὰ πυρὸς, τοὺς δὲ δι' ὕδατος, τοὺς δὲ διὰ ξίφους. Τότε ὁ Λευκάδιος παρέδωκε τὴν Ἁγίαν Θεοδότην, καὶ τὰ τέκνα αὐτῆς, Νικητίῳ τῷ ἄρχοντι Βιθυνίας, ἵνα ἐξετάσῃ αὐτήν. Ὁ δὲ Νικήτιος ἐλεγχθεὶς ὑπὸ Εὐόδου τοῦ πρώτου υἱοῦ αὐτῆς, ὠργίσθη, καὶ ἀνάψας μεγάλην κάμινον, ἀκοντισθῆναι ἐν αὐτῇ ταύτην μετὰ τῶν παίδων αὐτῆς κελεύει. καὶ οὕτω τελειωθέντες, στεφανηφόροι τῷ Δεσπότῃ Θεῷ παρέστησαν, ἀπολαύοντες τὴν ἀΐδιον καὶ ἀγήρω μακαριότητα.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ἁγίου Μάρτυρος Ζωΐλου.

Στ. Ζωὴν ῥέουσαν ἐκλιπὼν ὁ Ζωΐλος,
Ζωὴν μένουσαν εὗρεν ἐν ζώντων τόπῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὰ θυρανοίξια τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Στ. Αἴρουσιν ἄνδρες ἱεροὶ Χριστοῦ πύλας,
Τοὺς Δαβὶδ ἡμῖν ἐκτυπούμενοι νόας.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὸ φωτοδρόμιον τῆς τοῦ Θεοῦ Ἐκκλησίας.

Στ. Τρέχοντα φῶτα σήμερον Ναοῦ κύκλῳ,
Δηλοῦσι φωτὸς εἰς τὸ πᾶν θεῖον δρόμον.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„ Οἱ Παῖδες ἐν Βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν. ἀλλ' ἐν μέσῳ φλογὸς „ ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον. εὐ„ λογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων „ ἡμῶν.

Νεάζων κάραν Ἡρώδης, κακὰ προβλέπων ἐκίνησεν, ἀναιρεῖν ζητῶν θανατῶσαι, τὸν ζωῆς καὶ θανάτου Χριστὸν, τὴν ἐξουσίαν ἔχοντα, τὸν Θεὸν τῶν Πατέρων ἡμῶν.

Υἱμνῶν Χριστοῦ ὅσοι φίλοι, συμφυγαδεύθητε φεύγοντι, εἰς Αἴγυπτον τούτῳ, καὶ καλῶς ἐκεῖ προσκυνήσατε, θεοπρεπῶς καλέσαντες, καὶ συμφώνως δοξάσατε.

Μεθ' ὅς τις ἐμοῦ οὐκ ἔστι, κατ' ἐμοῦ πράττει Χριστὸς φησίν. ὁ δὲ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζοντι ἔοικε. διὸ τὴν τούτου φεύξωμεν, ἐν σαρκὶ συγκατάβασιν.

Ἄλλος. Τοὺς ἐν καμίνῳ,

Ὁ Βασιλεὺς τῶν ὅλων καὶ Θεὸς, προέρχεται, Πόλει γεννηθῆναι Βηθλεέμ. ὁ τὴν σεμνὴν Ἀναστασίαν μεγαλύνας, ἐν ἀπείροις θαύμασιν, ὡς δι' αὐτὸν, αἰκισμοὺς καθυπομείνασαν.

Νεκροῖς ξοάνοις σέβας πονηρὸν, οὐκ ἔνειμας, μόνον σεβομένη τὸν Χριστὸν, οἷα Θεὸν ζῶντα ἀεὶ, Ἀναστασία, καὶ τοῖς ζωηροῖς αὐτοῦ πάθεσι, πάθος τὸ σὸν καταλαμπρύνουσα.

Οἱ τῷ ναῷ σου πίστει δαψιλεῖ, προσφεύγοντες, νόσων ἐκλυτροῦνται χαλεπῶν, καὶ ἀρρωστίας καὶ παθῶν καὶ ἀλγηδόνων, εὐρωστίαν πάντοτε παρὰ Χριστοῦ τοῦ Θεοῦ, πλουσίως λαμβάνοντες. Θτ.

Ὁ σαρκωμένος Λόγος ἐκ σοῦ, προέρχεται, Ἄχραντε μηδόλως ὑπὲρ νοῦν, καὶ ἄρχεται ὁ προαιώνιος, καὶ Φάτνῃ κεῖται σπαργανούμενος, καὶ διαλύει σειρὰς, τῶν ἐγκλημάτων.

Ἄλλος. Παῖδες ἑβραίων.

Ὕμνῳ χοροὶ δοξολογοῦσιν, Ἀσωμάτων ἐπὶ γῆς δὲ προσκυνοῦμεν, καθορῶντες βροτοὶ, ἡμῖν ὁμοιωθέντα, καὶ ἐπὶ φάτνης κείμενον, σὲ Χριστὲ Θεὲ τῶν ὅλων.

Πῦρ ἀπετέφρωσας ἀπάτης, ὡς οἱ Παῖδες δὲ, φλογὶ προσομιλοῦσα, παρεδή-



Digitized by Google

λαὸς θερμὸν τὸν ἔρωτα Θεόφρων. ὃν πρὸς τὸν σὸν ἐκέκτησο, καὶ Δεσπότην καὶ νυμφίον.

Ὄμβρους προχέεις ἰαμάτων, καταπαύουσα, φλογμὸν ἀῤῥωστημάτων. καὶ λαοὺς μελῳδεῖν ἀεὶ παρασκευάζεις. εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Θαῦμα διάνοιαν ἐκπλῆττον, τὸ τελούμενον, ἐκ σοῦ Παρθενομήτωρ. κύειν μέλλεις Θεόν, καὶ Φάτνῃ ἀνακλῖναι, τὸν Χερουβὶμ ἀπρόσιτον, καὶ ἀχώρητον τῇ φύσει.

Ὠδὴ η'. Ὁ Εἱρμός.

„ [illegible] όμων πατρῴων οἱ μακαριστοὶ, ἐν
„ [illegible] Βαβυλῶνι νέοι προκινδυνεύοντες,
„ βασιλεύοντος κατέπτυσαν, προσταγῆς
„ ἀλογίστου. καὶ συνημμένοι, ᾧ οὐκ ἐχωρέ-
„ θησαν πυρὶ, τοῦ κράτους ἐπάξιον, ἀ-
„ νέμελπον τὸν ὕμνον. τὸν Κύριον ὑμ-
„ νεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάν-
„ τας τοὺς αἰῶνας.

Οἱ δαιτυμόνες οἱ θεόφρονες, ἐν Βηθλεὲμ τῷ Λόγῳ προπορευόμενοι, σὺν Ἀγγέλοις κατοπτεύσωμεν, καὶ Ποιμέσι τὸ θαῦμα, τῷ ἐν ὑψίστοις δόξαν, ἀναμέλποντες Θεῷ, εὐδοκίαν βραβεύοντι, βροτοῖς καὶ τὴν εἰρήνην. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νόμου φιλίας ἀντεχόμενοι, φιλαδελφίας γνώμην ἀναλαβώμεθα, ἐν ἀλλήλοις εἰρηνεύοντες, καὶ τὸ ἓν συμφρονοῦντες. ὁ γὰρ εἰρήνης πρύτανις, προέρχεται Χριστὸς, εἰρηνεῦσαι τὰ σύμπαντα, καὶ σῶσαι τοὺς βοῶντας, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸ τικτόμενον, Χριστὸν δολίοις λόγοις Ἡρώδης ἄνομος, καὶ τοῖς Μάγοις προσεπέσκηπτεν, ὡς αὐτὸν προσκυνήσων. ἀλλ' οὐκ ᾔδει τὸ διώκειν, λανθάνοντα Θεόν. οὐ τὰ βρέφη κατῴκτειρε, καὶ βοὰν οὐ συνῆκε. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ὃν φρίττουσιν Ἄγγελοι.

Ἐν χρόνῳ ὁ ἄχρονος, γεννᾶται ὑπὲρ ἡμῶν, καὶ Μάγοι προσφέρουσιν, αὐτῷ ὡς Βασιλεῖ, φανέντι τὰ δῶρα, καὶ ὡς φέγγος αὐτῷ, Οὐρανὸς κηρύττει, προσβολῇ τοῦ ἀστέρος.

Γενναίως ἀνύειν σε, τοὺς δρόμους τοὺς μακρούς., ὁ θεῖος Χρυσόγονος, ὑπήλειψε σεμνή. μεθ' οὗ σε τιμῶμεν, μελῳδίαις σεπταῖς, ὑπὲρ ἀληθείας, σεπτῶς ἠγωνισμένην.

Ὡς ὄμβρους σωτηρίους, ὑπάρχει ὁ ναὸς, ὁ ἔχων τὸ λείψανον, Πανεύφημε τὸ σόν. ἐν ᾧ καταφεύγει, πᾶς πιστὸς καὶ δεινῆς, ζάλης ἐκλυτροῦται, καὶ παντοίων κινδύνων.

Θεοτοκίον.

Νῦν ἦλθεν ὁ Κύριος, ὁ πανταχοῦ παρών, Παρθένου τικτόμενος, ἐν Πόλει Βηθλεέμ. ἀγάλλου ἡ Κτίσις, ὑπαντῶσα αὐτῷ, καὶ δοξολογοῦσα, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Οἱ θεοῤῥήμονες Παῖδες.

Ὧ παρεστήκεισαν ἄνω, χιλιάδες καὶ μυριάδες Ἀγγέλων, σπήλαιον φέρει τικτόμενον. εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οἶκος Τριάδος ἐδείχθης, θείοις τόποις ἐν προσευχαῖς, καὶ νηστείαις Ἀναστασία σχολάζουσα. εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἰσχυροτάτοις λογίοις, Χρυσογόνου τοῦ Ἀθλοφόρου ῥωσθεῖσα, τὸ τῶν εἰδώλων ἀνίσχυρον, κατεπάτησας θράσος, γενναίως ἀθλήσασα.

Θεοτοκίον.

Ὦ Θεοχαρίτωτε Κόρη, τέξεις βρέφος τὸν Ποιητὴν τῶν αἰώνων, καὶ ἀναλλοίωτον, Βηθλεὲμ ἐν τῇ Πόλει, δι' ἄφατον ἔλεος.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

„ Ξενίας Δεσποτικῆς, καὶ ἀθανάτου τρα-
„ πέζης, ἐν πενιχρῷ Σπηλαίῳ, ταῖς
„ ὑψηλαῖς φρεσὶ, πιστοὶ δεῦτε ἀπολαύσω-
„ μεν, σεσαρκωμένον Λόγον, ἀποῤῥήτως
„ μαθόντες, ὃν μεγαλύνομεν.

Ἄπιτε τοῖς ἀρχηγοῖς, Ἡρώδης ἔφη τῶν Μάγων, ζητήσατε τὸν παῖδα. ἐπὰν δὲ εὕρητε, τοῦτον τάχος μηνύσατέ μοι, τὸν δόλον ἐν καρδίᾳ τεκταίνων. ἀλλ' ἠλέγχθη ὁ πλάνος, διακενῆς ἄνομων.



Digitized by Google

Δημιουργὸς γεννηθεὶς, ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, γεννᾶται ἐκ Παρθένου, Σοφία πεφυκὼς, Λόγος τοῦ Θεοῦ καὶ δύναμις. διπλοῦν ἕνα διὸ εἰδότες, τὸν Θεάνθρωπον Κύριον μεγαλύνομεν.

Ὡς ἄνθρωπος ἐφάνης, οὐσίᾳ οὐ φαντασίᾳ. οὕτω Θεὸς τῷ τρόπῳ, τῆς ἀντιδόσεως, φύσιν Σῶτερ ἥνπερ προσήλειφας. διὸ τὴν ἐκ Παρθένου, σοῦ θείαν ἐνδημίαν, τιμῶντες σὲ μεγαλύνομεν.

Ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Ἰδοὺ ἐγγίζει Παρθένος, ἀποτεκεῖν ἐν Σπηλαίῳ, τὸν Βασιλέα τοῦ παντὸς, σάρκα ἀνειληφότα. ὃν ὡμολόγησε στερρῶς, ἀθλοῦσα ἡ ἔνδοξος, λαμπρότατα, Μάρτυς Ἀναστασία, καὶ νικῶσα τὸν ἀόρατον ἐχθρόν.

Ὡραιωθεῖσα τοῖς πόνοις, ὑπὲρ Ἡλίου ἀκτῖνας, ἔλαμψας Μάρτυς τοῦ Χριστοῦ, καὶ φωτίζεις τὸν Κόσμον, ἄθλων μεγάλων τῷ φωτὶ, θαυμάτων τε χάρισιν. ἐντεῦθέν σε, πίστει Ἀναστασία, ἀνυμνοῦμεν μελῳδίαις ἱεραῖς.

Σὲ τὴν ὡραίαν Τρυγόνα, καὶ Ἀηδόνα τιμίαν, Περιστερὰν τε, παγκαλῆ, χρυσαυγίζουσας Μάρτυς, πτέρυγας ἔχουσαν πιστῶς, ἀεὶ μακαρίζομεν, τελοῦντές σου, τὴν πανέορτον μνήμην, ἐν ᾗ λύσιν πταισμάτων αἴτησαι δεινῶν.

Ἧς νῦν ἐπέτυχες δόξης, ἐπιτυχεῖν ἡμᾶς πάντας, ἀεὶ δυσώπει τὸν Χριστὸν, Μάρτυς Ἀναστασία, τοὺς τὴν σεπτὴν σου ἑορτὴν, σεπτῶς ἑορτάζοντας, καὶ πίστει σου προσκυνοῦντας τὴν θήκην, τῶν λειψάνων ὡς πηγὴν ἁγιασμοῦ.

Θεοτοκίον.

Φέρουσα φύσιν βροτείαν, Παρθενομήτωρ ἁγία, τίκτεις ἐν Πόλει Βηθλεὲμ, τὸν ὑπέρθεον Λόγον, καὶ γαλουχεῖς μητροπρεπῶς, τὸν τρέφοντα ἅπασαν. ὡς δὲ πύρινος Θρόνος τοῦτον φέρεις, Παναγία ἀνωτέρα Χερουβίμ.

Ἄλλος. Κυρίως Θεοτόκον.

Σκιρτήσατε τὰ ὄρη, ἐν ἀγαλλιάσει, καὶ εὐφροσύνην βουνοὶ περιζώσασθε. νῦν ἡ Παρθένος ἐγγίζει, τεκεῖν τὸν Κύριον.

Ἡμέραν εὐφροσύνης, ἄγει σου ἡ κτίσις, Ἀναστασία τὴν μνήμην δοξάζουσα, ὅνπερ ἐδόξασας Λόγον, οἰκείοις μέλεσιν.

Φωτὶ καθαρωτάτῳ, νῦν ἐλλαμπομένη, τοὺς ὑμνητάς σου φωτίζοις τὴν ἄνωθεν, πᾶσιν ἡμῖν προξενοῦσα, Μάρτυς ἀνάμνησιν.

Θεοτοκίον.

Φαιδρῶς πᾶσα ἡ Κτίσις, νῦν ἀγαλλιάσθω, Θεοτόκος τεκεῖν νῦν ἐπείγεται, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, βροτὸν γενόμενον.

Ἐξαποστ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Χαρᾷ καὶ φόβῳ ἅπασα, καὶ ψυχὴ καὶ καρδία, ἀντέπισον τὴν εἴσοδον. ἤδη γὰρ ἐπὶ θύραις, ὁ Βασιλεὺς προέρχεται, ὡς βροτὸς ὁ ἄναρχος, ἀρχὴν λαβὼν ὑπὸ χρόνον, τὴν πεσοῦσαν ἐξ Ἀδὰμ, ἀνακαινίζων οὐσίαν. Τῆς Ἁγίας.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Παρθενομάρτυς ἔνδοξε, ἀθλοφόρων τὸ κλέος, Ἀναστασία πάνσοφε, δυσωποῦσα μὴ παύσῃ, τὸν ἐκ Παρθένου κόρης, τῆς ἁγνῆς Θεοτόκου, τεχθῆναι προερχόμενον, ἐν Σπηλαίῳ καὶ Φάτνῃ, ἁμαρτιῶν, δοῦναι λύσιν τοῖς ἐκτελοῦσι, τὴν πανάγίαν μνήμην σου, καὶ τιμῶσι σε πόθῳ.

Προεόρτιον. Ὅμοιον.

Τὴν ἐκ Παρθένου γέννησιν, τοῦ Χριστοῦ προκηρύττει, ἡ φωτοφόρος μνήμη σου, Μάρτυς Ἀναστασία, ἐν Βηθλεὲμ συγκαλοῦσα, Μάγους μὲν ἐκ Περσίδος, σὺν δώροις καὶ Ποιμένας νῦν, μετ' Ἀγγέλων πρὸς ὕμνον. σὺ γὰρ σαυτὴν, ὡς Χρυσὸν καὶ Λίβανόν τε καὶ Σμύρναν, προσῆξας τῷ Δεσπότῃ σου, ἐναθλοῦσα θεόφρων.

Εἰς τοὺς αἴνους, ἵστῶμεν στ. δ'. καὶ ψάλλομεν στ. προσόμοια. Ἦχος Πλ. β'.

Αἱ Ἀγγελικαί.

Νῦν αἱ παλαιαὶ, διαλύονται ἐμφάσεις. ἔχειν ἐν γαστρὶ, ἡ Παρθένος γὰρ καὶ λίθος, ἐξ ὄρους ἀπετμήθη, καὶ ἡ Ῥάβδος ἐβλάστησεν, ἡ τοῦ Ἰεσσαὶ καὶ δρόσος ἄρτι, ἡ τοῦ Γεδεὼν ἐν γῇ ἐῤῥύη. λαοὶ κράξωμεν· ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Ξένου τοκετοῦ, ξένα πράγματα ὁρᾶται. Ξένως ὁ τῷ Πατρὶ, ἐν ὑψίστοις συνεδρά-

Digitized by Google

δράκων, ἐν φάτνῃ τῶν ἀλόγων, γεννηθεὶς ἀνακλίνεται; πῶς ὁ ἀναφὴς ἐν τοῖς σπαργάνοις; πῶς ὁ πανταχοῦ ἐν τῷ Σπηλαίῳ; λαοὶ κράξωμεν· ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Ὁ τερατουργῶν, καὶ τὴν Αἴγυπτον μαστίζων, ὕων τε λαῷ, τῷ ἀγνώμονι τὸ μάννα, σαρκοῦται καὶ θηλάζει, καὶ παιδίον ὁρώμενος, φεύγει τὸν διώκοντα Ἡρώδην, ὡς ἐπὶ νεφέλης τῇ Παρθένῳ, Μητρὶ ὀχούμενος, ὡς Ἡσαΐας προορᾷ, ὁ θεοπτικώτατος.

Παιδίον ὁ προὼν, Βασιλεὺς ὁ τῶν αἰώνων, τίκτεται ἑκὼν, καὶ υἱὸς ἡμῖν ἐδόθη. ἀκούσατε τὰ Ἔθνη, Ἰσραὴλ ἐνωτίσθητε. γνῶτε καὶ ἡττᾶσθε. μεθ' ἡμῶν γὰρ, ὃς λεπτυνεῖ καὶ ἐκλικμήσει, ἐκ γῆς ἅπασαν, καὶ βασιλείαν καὶ ἀρχὴν, αὐτῷ μὴ ὑπείκουσαν. Δόξα. Ὅμοιον.

Ῥάβδῳ σιδηρᾷ, ποιμανθήσῃ Ἰουδαῖε, οἷα ἀπειθὴς, καὶ Προφήταις ἀντιπίπτων. Υἱῷ γὰρ γεννηθέντι, ὁ Πατὴρ κλῆρον δίδωσιν, Ἔθνη καὶ κατάσχεσιν γῆν πᾶσαν. σὲ δὲ ἀπωθεῖται μιαιφόνε. βοᾷν οὐ πείθῃ γάρ. ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται. Καὶ νῦν. Ὅμοιον.

Σκίρτησον Δαβὶδ, ἐξ ὀσφύος σου Χριστὸς γάρ. χαίροις Ἰεσσαὶ, ἐξανθεῖ γάρ σου ἡ ῥίζα. ἐκ μηροῦ σου Ἰούδα, προελεύσεται Κύριος. κατὰ Βαλαὰμ εἴδετε Ἔθνη, κατὰ τὸν μέγαν Ἡσαΐαν. ἰδοὺ τέξεται, παιδίον τὸν Ἐμμανουὴλ, Παρθένος ἡ πάνσεπτος.

Ἕτερα π. προσόμοια, καὶ ψάλλε οἷα βούλει.

Νῦν τὴν Βηθλεὲμ, καταλάβωμεν σπουδαίως, καὶ τὴν τῆς φωνῆς, ἰσορρήσωμεν ἐλπίδα, Ποιμένες ἀγραυλοῦντες, πρὸς ἀλλήλους ἀπέφηναν. ξένα γὰρ εἰσὶ τὰ λαληθέντα, ξένα δὲ εἰσὶ καὶ τὰ τῶν ὕμνων. διὸ κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ζύλου πονηρᾷ, νεκρωθέντας παραβάσει, ἦλθες ἐπὶ γῆς, τοῦ ζωῶσαι τοὺς ἀνθρώπους, Χριστὲ καὶ ἐν τῇ φάτνῃ, ἀνεκλίθης ὡς νήπιον, δωροφορησάντων σε τῶν Μάγων, καὶ ἀνυμνησάντων τῶν Ἀγγέλων, μεθ' ὧν κράζομεν· εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι.

Ὁ τῶν Προφητῶν, μεγαλόφωνος κραυγάζει, ἐκ παρθενικῆς, μέλλει τίκτεσθαι νηδύος, Παιδίον ὁ Δεσπότης, ὑπὲρ λόγον καὶ ἔννοιαν. Ἄγγελος βουλῆς ὢν τῆς μεγάλης. καὶ ζωὴ τῶν ζώντων χρηματίζων, πρὸς ὃν κράζομεν· εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι.

Πάλιν Βηθλεὲμ, τὴν Ἐδὲμ διεξανοίγει, πάλιν ὁ Ἀδὰμ, ἐν αὐτῇ περιχορεύει. ἔρχεται γὰρ ὁ Κτίστης, ἐξ αὐτῆς προερχόμενος, ἄφθαρτον διδοὺς ἀθανασίαν, Χριστὸς ἡ πάντων ζωαρχία. ἧς μετέχοντες, οὐκ ἔτι θνήσκομεν βροτοὶ, ἀθανατιζόμενοι.

Δόξα. Ὅμοιον.

Ῥάβδος μυστικὴ, ἀνεβλάστησας Μαρία. ἄνθησεν ἁγνὴ, ἐκ σοῦ ἄνθος ὁ Δεσπότης, ὁ κτίσας τοὺς αἰῶνας, καὶ κατέχων τὰ σύμπαντα, δι' οὗ Θεοτόκος ἀνεδείχθης. εἰς τὴν χαρὰν οὖν συνελθόντες τὴν σὴν κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὅμοιον.

Σύμμορφος ἡμῖν, οὐρανίων χορευμάτων, ὁ ἀλαλαγμὸς, τοῖς ἐν γῇ ἀποτελείσθω. αἱ σάλπιγγες αἱ θεῖαι, ἐνηχέστερον ᾄσατε, αἱ τῶν Προφητῶν, Θεὸς γὰρ ἦλθε. μέλψατε ποιμένες ἀγραυλοῦντες, Λαοὶ ᾄσατε. ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγέγονεν.

Ἀποσ. π. προσόμοια προεόρτια. Ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Προλάμπει ὁ ἀστὴρ, ἤδη ἐν τῷ Σπηλαίῳ. Ποιμένες μετ' Ἀγγέλων, οἱ Μάγοι μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἐγγίζει ὁ Χριστὸς, ὁ ἀστὴρ προαυγάζει, τὸ οὐράνιον πλῆθος, τῆς στρατιᾶς προκύπτει, τῶν νοερῶν δυνάμεων.

Στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Χαῖρε ἡ Βηθλεὲμ, ὁ ποιμαίνων ἐπέστη, τὸν Ἰσραὴλ ὁ σώζων, οὐκ ἔτι ἐλαχίστη, Ἰουδαία τοῖς ἄρχουσιν.

Ἑτε-

Digitized by Google

Ἕτερα πρ. τῆς Ἁγίας προσόμ. Ἦχος πλ. δ'.
Οἱ Μάρτυρές σου Κύριε.

Ἡ μάρτυς σου φιλάνθρωπε, ἐπιποθοῦσά σου τοῦ θείου κάλλους, καὶ ἡδομένη σου τῇ θεωρίᾳ, διὰ τὴν μέλλουσαν ζωήν, πλοῦτον δεομένοις διεσκόρπισεν, σῶμα ἀφθαρσίᾳ διετήρησεν. αὐτῆς ταῖς ἱκεσίαις, δώρησαι τῷ λαῷ σου, τὸ μέγα ἔλεος.

Ἡ μάρτυς σου φιλάνθρωπε, τῆς ἀναστάσεως ἐπωνυμία, τῆς ζωηφόρου σου τετιμημένη, πάθη ἐνέκρωσε σαρκός. καὶ σοῦ μιμουμένη τὰ παθήματα, θάνατον ὑπέστη προθυμότατα. αὐτῆς ταῖς ἱκεσίαις, δώρησαι τῷ λαῷ σου, τὸ μέγα ἔλεος.

Ἡ μάρτυς σου Σωτὴρ ἡμῶν, πηγὴν ἀέναον θαυμάτων βρύει, πάθη βυθίζουσα θανατηφόρα, τῇ δυναστείᾳ σου Χριστέ. καὶ ἐν οὐρανίαις συγχορεύουσα, σκηναῖς νῦν Ἀγγέλων τοῖς στρατεύμασι, πᾶσιν ἡμῖν αἰτεῖται, ἄφεσιν τῶν πταισμάτων, καὶ μέγα ἔλεος.

Δόξα. τῆς Ἁγίας. Ἦχος πλ. α'. Βύζαντος.

Προεόρτιος ἡμέρα σήμερον, τῆς ἐνανθρωπήσεως Χριστοῦ τοῦ Θεοῦ, τῆς πανευφήμου καὶ Μάρτυρος ἑορτῇ, συνεξέλαμψεν Ἀναστασίας. ἰδοὺ ἡ Παρθένος, ἐν Βηθλεὲμ ἐπείγεται, βρέφος σπαργανούμενον, ἀνακλῖναι ἐν φάτνῃ τῶν ἀλόγων, τὸν ἐλευθερώσαντα ἡμᾶς, ἐκ τῆς ἀρχαίας κατάρας, καὶ σώζοντα τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν μήτραν. ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς Μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. ταύτην ἀνυμνήσωμεν λέγοντες· Χαῖρε κεχαριτωμένη μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

Ἡ λοιπὴ ἀκολουθία τοῦ ὄρθρου, ὡς συνήθες, καὶ ἀπόλυσις.

## Τῷ αὐτῷ Μηνὶ ΚΓ'.

Τῶν Ἁγίων δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ. ἡ ἀκολουθία ἡ προεόρτιος, καὶ τῶν Ἁγίων.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς'. καὶ ψάλλομεν πρ. προεόρτια προσόμοια. Ἦχος δ'.
Ὁ ἐξ ὑψίστου κληθείς.

Νῦν Ἡσαΐου φωνὴ ἀποπληροῦται. ἰδοὺ ἡ Παρθένος γάρ, τὸν ἀπερίληπτον, περιγραφόμενον σώματι, ἐν μήτρᾳ φέρει, καὶ παραδόξως τεκεῖν ἐπείγεται. Θεοδέκτον Σπήλαιον προευτρεπίσθητι. ἡ Βηθλεὲμ ἑτοιμάσθητι. ὁ Βασιλεὺς γάρ, σὲ ἠρετίσατο εἰς κατοίκησιν. δέχου ἡ φάτνη σπαργανούμενον, βρέφος Χριστὸν λύειν μέλλοντα, τὰς σειρὰς τῶν πταισμάτων, τῶν ἀνθρώπων ἀγαθότητι.

Ἡ φωτεινή τε καὶ ἔμψυχος νεφέλη, τὸν ὄμβρον βαστάζουσα τὸν ἐπουράνιον, τοῦτον ἐν γῇ νῦν προέρχεται, ἐναποστάξαι, ὅπως ἀρδεύσῃ ταύτης τὸ πρόσωπον. τὸ Ἔαρ τῆς Χάριτος, ἡ μονὴ Χελιδών, ἔνδον ἐν σπλάγχνοις κατέχουσα, ἀρρήτῳ λόγῳ, ἐναποτίκτει χειμῶνα ἄθεον διασκεδάζον, τὸ Παλάτιον, τὸ καθαρὸν καὶ ἀμίαντον, Βασιλέα Σπηλαίῳ, ἐπεισάγει σωματούμενον.

Ἐναπεγράφης τοῖς δούλοις ὁ Δεσπότης, πταισμάτων χειρόγραφον, σχίσαι βουλόμενος, καὶ ὑπογράψασθαι ἅπαντας, ἐν βίβλῳ ζώντων, θανατωθέντας κλοπῇ τοῦ ὄφεως. Παρθένος δὲ φέρει σε, τὸν πάντα φέροντα, σάρκα θνητὴν περικείμενον, καὶ καταλύειν, σμικρῷ Σπηλαίῳ ἐπιδοκήσαντα. ὃν γεννηθέντα, τάξεις ἄνωθεν, Ἀγγελικαὶ ἀνυμνήσουσι, μετὰ θείων Ποιμένων, ἐκπληττόμεναι τὸ κράτος σου.

Τῶν Ἁγίων. Ἦχος ὁ αὐτός.
Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ δεκὰς ἡ Θεόλεκτος, καὶ λαμπὰς ἡ δεκάπυρσος, ἡ ταῖς θείαις λάμψεσι καταυγάζουσα, τῆς Ἐκκλησίας τὸ πλήρωμα, οἱ στῦλοι οἱ ἄσειστοι, οἱ ἀστέρες οἱ φαιδροί, οἱ τὴν γῆν οὐρανώσαντες, ταῖς λαμπρότησι, τῶν μεγίστων ἀγώνων ἐγκωμίοις, ἱεροῖς μεγαλοφώνως, ἀνευφημείσθωσαν σήμερον.

Εὐφημείσθω Θεόδουλος, Ζωτικός τε καὶ Πόμπιος, Βασιλίδης Εὔπορος, Ἀγαθόπους·

Digitized by Google

θόπυς τε, καὶ Σατορνῖνος Γελάσιος, καὶ Θεῖος Εὐάρεςος, μεθ' ὧν Εὐνικιανὸς, νῦν τιμάσθωσαν ᾄσμασιν. οἱ πανεύδιοι, τῇ ἐν ζάλῃ λιμένες, οἱ τῆς πλάνης, ςηλιτεύσαντες ἢ ςέφος, νικητικὸν κομισάμενοι.

Τὰ τῆς Κρήτης βλαςήματα, Ἐκκλησίας ἐρείσματα, ἢ πιςῶν ἀμάραντα ὡραίσματα, τῷ Παραδείσῳ ἡδύπνοα, τὰ ἄνθη τὰ τίμια, τὰ ἀπρόσδεκτα Χριςῷ, καὶ τερπνότατα σφάγια, ἀναθήματα, ὀυρανίων μαῦ τε τὴν δεκάδα, τῆς Τριάδος τὴν Ἁγίαν, τοὺς Ἀθλοφόρους ὑμνήσωμεν.

Δόξα. Τῶν Ἁγίων, ἰδιόμελον.

Ἦχος β'. Κυπριανοῦ.

Κρήτη προεορτάζει σήμερον, τὰ γενέθλια Χριςοῦ, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων, διὸ εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Τοῦ αὐτοῦ.

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον Σπήλαιον, ἐν ᾧ Χριςὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὸν ςίχ. τὰ προσόμ. Ἦχος Πλ. β'.

Τριήμερος ἀνέςης Χριςέ.

Ἡ ἄπειρος σοφία Θεοῦ, τὸν οἶκον ἑαυτῆς ἰπὲρ νοῦν, ἐκ Παρθένου ᾠκοδόμησε φρικτῶς, ἢ μέλλει ἐν Σπηλαίῳ, ἢ φάτνῃ τῶν ἀλόγων, σαρκὶ τεχθῆναι ὑπὲρ ἔννοιαν. ςίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ὡραθεὶς τοῖς Προφήταις Χριςὲ, ὡς θέμις ἦν θεάσασθαι, σὲ τὸν Κτίςην, ἐν ἐσχάτοις δὲ καιροῖς, τοῖς πᾶσιν ἐπεφάνης, ἀνθρώποις ἐν τῇ Πόλει, τῇ Βηθλεὲμ βροτὸς γενόμενος.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Διέδραμε μηνύων ἀςὴρ, τὸν Ἥλιον τῆς δόξης Χριςὸν, Ἀςρολόγοις, ἐν τῇ Πόλει Βηθλεὲμ, ἢ Ἄγγελοι Ποιμένας, νῦν εὐαγγελίζονται. μεθ' ὧν συνδράμωμεν θεόφρονες. Δόξα. Ἦχος γ.

Προεόρτιος σήμερον, ἡ τῶν Μαρτύρων ἐπέςη ἑορτὴ, τὴν γενέθλιον ἡμῖν, προϋπογράφουσα ἡμέραν, τὸν ἐξ Ἡλίου Ἥλιον, τὸν ἐκ τῆς Παρθένου, Θεὸν ἐπιφανέντα σαρκὶ ἀνακηρύττουσα. δεκὰς Μαρτύρων ἐν Κρήτῃ, ςεῤῥῶς ἀθλήσασα, τοὺς ςεφάνους τῆς νίκης ἐξ Οὐρανοῦ ἐδέξαντο. πρὸς οὓς βοήσωμεν· χορὸς ἁγιόλεκτος, ἱκετεύσατε Χριςὸν Ἅγιοι Μάρτυρες, ὑπὲρ τῶν πίςει τελούντων, τὴν πάνσεπτον μνήμην ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Ἀνατολίου.

Εὐτρεπίζου Βηθλεέμ, ἤνοικται γὰρ ἡ Ἐδέμ. ἑτοιμάζου Εὐφραθᾶ, ἀναμένεται γὰρ ὁ Ἀδὰμ, ἢ ἡ Εὔα σὺν αὐτῷ. ἡ κατάρα γὰρ λέλυται, ἡ σωτηρία ἐν Κόσμῳ ἐξήνθησε, ἢ ψυχαὶ τῶν Δικαίων εὐτρεπίζονται, ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, Σωτηρίαν ψυχῆς, καὶ ἀφθαρσίαν κομιζόμεναι. ἰδοὺ γὰρ ἐν Φάτνῃ ἀνακείμενος, προτρέπει ὑμνῳδίαν, πραγματικὴν ἐπιτελέσαι, τοὺς βοῶντας ἀπαύςως, Κύριε δόξα σοι.

Ἀπολυτίκιον, τὸ προεόρτιον.

Δόξα. Τῶν Ἁγίων.

Οἱ Μάρτυρές σου Κύριε.

Καὶ νῦν. προεόρτιον. Ἑτοιμάζου Βηθλεέμ.

Ἐν τοῖς ἀποδείπνοις ψάλλομεν τὸ Τριῴδ.

Οὗ ἡ ἀκροςιχίς.

Προσάββατόν τε.

Ὠδὴ ε'. Ἦχος Πλ. β'. Ὁ Εἱρμός.

„ Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι κενώσαντα ἀτρέπτως, ἢ δούλου μορφὴν, ἐκ Παρθένου φορέσαντα, Λόγε Θεοῦ. τὴν εἰρήνην, παράσχου μοι φιλάνθρωπε.

Ῥυφθέντες φρένας, ἢ προκαθαρθέντες, μυςηρίου μεθέξει, φρικτῆς οἰκονομίας, σῶμα ἢ ψυχὴν, Βηθλεὲμ πρὸς τὴν Πόλιν ἀνέλθωμεν, τὸν Δεσπότην, τικτόμενον ὀψόμενοι.

Ὁρᾶτε φίλοι, μάτην μὴ θροεῖσθε. ὁ γὰρ ἄφρων Ἡρώδης, θρασύνεται τὸν Κτίςην, κτεῖναι τεχθέντα. ἀλλ' αὐτὸς ὡς ζωῆς, ἢ θανάτου κρατῶν, ζῇ ἢ σώζει, τὸν Κόσμον ὡς φιλάνθρωπος.

Digitized by Google

'Ωδὴ η'. Ὁ Εἱρμός.

„ Ἐστήλῳ κακίας ἀντιθέου, Παῖδες θεῖοι
„ παρεδειγμάτισαν. κατὰ Χριστοῦ δὲ
„ φρυαττόμενος, Ἡρώδης θρασύνεται, βου-
„ λεύεται κενὰ, κτεῖναι μελετᾷ, τὸν ζωῆς
„ κρατοῦντα παλάμῃ. ὃν πᾶσα Κτίσις εὐ-
„ λογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπὸ βλεφάρων, ῥαθυμίας ὕπνον πάντα πιστοὶ τινάξωμεν. ἐν προσοχῇ δὲ γρηγορῶμεν, πειρασμοὺς ὑποστρέποντες τοὺς ἐκ τοῦ πονηροῦ καὶ σὺν Ποιμέσι, θεαταὶ τῆς δόξης δειχθῶμεν, Χριστοῦ τεχθέντος. ὃν ὑμνεῖ δοξάζουσα πᾶσα ἡ Κτίσις.

Βέβηλον ἔπος, ἐκ χειλέων προΐεμαι πιστοὶ κωλύσωμεν, λόγους εὐφήμους μελετήσαντες, Χριστῷ δὲ προσάξωμεν, τῷ λύσαντι ἡμᾶς τῆς ἀλογίας, ἐν ἀλόγων κειμένῳ φάτνῃ. ὃν πᾶσα Κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας, καὶ τῆς γνώσεως τοῦ Κτίστου, τίς ἐρευνήσει βροτῶν; Θεοῦ κριμάτων, τίς τὴν ἄβυσσον, σοφὸς καταλήψεται; δι' ὧν τοὺς Οὐρανοὺς, κλίνας τοῖς βροτοῖς, σαρκοφόρος συναπεγράφη. ὃν πᾶσα Κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύειν, σαρκικῶν παθῶν, καὶ Κόσμου ὕπνου σπουδάσωμεν, πνευματικῶν δὲ ἀντεχώμεθα, φροντίδων θεόφρονες, ἀξίους ἑαυτοὺς τῷ τικτομένῳ, παριστῶντες ἐξ ἔργων Δεσπότῃ. ὃν πᾶσα Κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

'Ωδὴ θ'. Τὴν τιμιωτέραν.

Ὀλέθριον δόγμα τοῦ δυσμενοῦς, συνταραττομένου, τῇ γεννήσει τοῦ Ἰησοῦ, νηπίων ἀκάκων, ἀπειργάσατο φόνον. ἡμεῖς δὲ τὸν τεχθέντα, πιστοὶ τιμήσωμεν.

Νόμους τοὺς τῆς φύσεως ἀδικῶν, καὶ θεσμοὺς τοὺς θείους, ἀθετῶν Ἡρώδης δεινὸς, Μητέρας ἀνόμως, ἠτέκνωσε καὶ βρέφη, ἀνεῖλεν ἀναιτίως, διὰ τὴν πάντων ζωήν.

Τοῖς ἔθνεσιν ἠνοικται τῆς Ἐδὲμ, πύλη τικτομένου, ἐν Σπηλαίῳ τοῦ Λυτρωτοῦ. πηγὴ τε δι' ψῶσιν, ἀθανασίας βλύζει, ὁ Κύριος τῆς δόξης, ὃν μεγαλύνομεν.

Ἐν κύκλῳ ὡς Θρόνον χερουβικὸν, Ἄγγελοι τὴν φάτνην. τὸ γὰρ Σπήλαιον Οὐρανὸν, ἑώρων κειμένου, ἐν αὐτῷ τοῦ Δεσπότου, καὶ δόξα ἐν ὑψίστοις, Θεῷ ἐκραύγαζον.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. στιχολ. κάθισμα.

Ἦχος Πλ. α'.

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι.

Βηθλεὲμ ἑτοιμάζου τὰ πρὸς ὑπάντησιν, τῆς Παρθένου Μαρίας καὶ Θεομήτορος. ἰδοὺ γὰρ ἔρχεται πρὸς σὲ, ἔμβρυον φέρουσα Χριστὸν, τὸν συνάναρχον Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, ὃν περ Σπηλαίῳ γεννήσει, καὶ μετὰ τόκον Παρθένος πάλιν ὀφθήσεται.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν β'. στιχολογ. κάθισμα. Ἦχος Πλ. β'.

Ἀγγελικαὶ δυνάμεις.

Ἐκ τῆς Περσίδος Βασιλεῖς, Χρυσὸν Σμύρναν καὶ Λίβανον, τῷ κυηθέντι Βασιλεῖ καὶ Θεῷ προσῆξαν πάλαι. ἡμεῖς δὲ νῦν προεορτάζοντες αὐτοῦ τὴν γέννησιν, εὐσεβοφρόνως ἐκ ψυχῆς, Πίστιν Ἐλπίδα Ἀγάπην, προσφέρωμεν αὐτῷ, τὴν Παρθένον ὑμνοῦντες. Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἶτα ὁ Ν'. καὶ οἱ Κανόνες. ὁ Κανὼν ὁ προεόρτιος. οὗ ἡ ἀκροστιχίς.

Κατὰ Ἀλφάβητον. 'Ωδὴ α'. Ἦχος β'.

Ἀτρίπτον ἀσυνήθη.

Ἄναρχος ὢν τῇ φύσει, ἀρχὴν ὁ πρὸ αἰώνων λαμβάνει Λόγος, ἐν Βηθλεὲμ τικτόμενος σαρκί· τούτου τὰ γενέθλια προεορτάσωμεν.

Βλέψωμεν διανοίας, τοῖς ὄμμασι πρὸς πόλιν τῆς Ἰουδαίας, πορευομένην τέξαι τὴν Ἁγνήν· ἧς τὸν τόκον πόῤῥωθεν, Ἀστὴρ ἐμήνυσεν.

Γνόντες σε Βασιλέα, ἐν γῇ ἀποτικτόμενον ἐκ Παρθένου, οἱ Βασιλεῖς Περσῶν Λόγε Θεοῦ, μετὰ δώρων σπεύδουσι, τοῦ προσκυνῆσαί σοι. Ἕτερος Κανὼν προεόρτιος.

'Ωδὴ α'. Ἦχος Πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Παρθενικῆς ἐκ Νεφέλης μέγας ἡμῖν, ἀνατέλλει Ἥλιος, Ἰησοῦς ὁ φωτισμὸς,

Digitized by Google

μος, τοῖς ἐν σκότει ᾄσωμεν αὐτῷ, τικτομένῳ Βηθλεέμ, εἰς σωτηρίαν ἡμῶν.

Προφητικαὶ περαιοῦνται θεῖαι φωναί, τὴν φρικτὴν ἀνάδειξιν, προσημαίνουσαι Χριστοῦ. ἡ Ἀμνὰς ἐγγίζει τοῦ τεκεῖν, τὸν Ἀμνὸν καὶ Λυτρωτήν, καὶ πάντων Κύριον.

Σὲ τὴν Ἁγνὴν τοῦ Δεσπότου Περιστεράν, τὴν Σεμνὴν καὶ Ἄμωμον, καὶ καλὴν ἐν γυναιξίν, ὡς τὸν ὅλον τέξασαν Θεόν, μακαρίζομεν πιστῶς, Θεομακάριστε.

Ἕτερος Κανὼν τῶν Ἁγίων.

Ὠδὴ α'. Ἦχος γ'. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ συνάψαντι τοὺς Ἁγίους Μάρτυρας, τῇ ἀμωμήτῳ πίστει, καὶ τούτους ὁπλίσαντι, ἐν μιᾷ τῇ ἐλπίδι, κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ, καὶ τῷ συνδέσμῳ πάντας αὐτούς, τῆς ἀγάπης ἑνώσαντι.

Οἱ ἀπλανεῖς ἀστέρες, τοῦ νοητοῦ Ἡλίου, ὡς ἐξ ἑώας λάμψαντες, τὸν τοῦ ἀστέρος δρόμον, πιστῶς προηγήσαντο, τοῦ Χριστοῦ γεννηθέντος, ἑορτὴν προεισόδιον, τὴν μνήμην τῆς αὐτῶν τελευτῆς, φαιδρῶς προσανέγκαντες.

Οἱ ἐκ Περσίδος Μάγοι, ἐν Βηθλεὲμ τεχθέντι, δῶρα Χριστῷ προσήγαγον. νῦν δὲ οἱ Ἀθλοφόροι, ὡς Σμύρναν τὰ αἵματα, Χρυσὸν δὲ τὴν πίστιν, ὡς Λίβανον τὰ τραύματα, θυσίαν προεόρτιον, τῷ τεχθέντι προσενέγκαν.

Τῇ τοῦ Θεοδούλου πίστει, καὶ Ζωτικοῦ ἀγάπῃ, συνεκράθη Πόμπιος, καὶ Σατορνῖνος ἅμα, καὶ συνεστεφάνωται Εὔπορος, Ἀγαθόπους Γελάσιος, Εὐάρεστος καὶ Εὐνικιανός, σὺν αὐτοῖς καὶ Βασιλίδης ὁ συνάθλος.

Τριαδικόν.

Ἡ ὑπὲρ νοῦν Οὐσία, καὶ ἀμέριστος, τρισὶν Ὑποστάσεσι, διαιρετῶς ὑμνεῖται, μιᾷ δὲ Θεότητι, ἁπλῶς, ἀδιαιρέτως. Τριὰς γὰρ ἡ αὐτὴ καὶ Μονάς, ἁπλῆ καὶ ἀδιαίρετος, ὃ καὶ ὀνομάζεται.

Θεοτοκίον.

Ἐν Βηθλεὲμ γεννᾶται, καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ ἐκ Παρθένου Κύριος, τεχθεὶς ἀνερμηνεύτως. Φάτνη ἑτοιμάζεται, καὶ Σπήλαιον τῷ Κτίστῃ. Μάγοι ἀντεπίζουσι τὰ δῶρα, τῷ Δεσπότῃ Θεῷ, καὶ Ἀστὴρ προκηρύττει τὸ φῶς.

Ὠδὴ γ'. Τόξον συνετρίβη.

Δεῦτε διανοίᾳ καθαρᾷ, ἠχήσωμεν φαιδρῶς, τῶν γενεθλίων Χριστοῦ, νῦν τὰ προεόρτια.

Ἔρχῃ καταλῦσαι ἐν σμικρῷ, Σπηλαίῳ Βασιλεῦ, πλουτίζων με Ἰησοῦ, τῇ πολλῇ πτωχείᾳ σου.

Ζόφου ἐξαιρούμενος ἡμᾶς, κακίας ὁ Χριστός, προέρχεται σαρκί, τεχθῆναι ὡς ἄνθρωπος.

Ἄλλος. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὁ Λόγῳ τείνας Οὐρανόν, ὑπεισέρχῃ Σπηλαίῳ, καὶ ἀλόγων ἐν Φάτνῃ, ἀνακέκλισαι Χριστέ, τῆς ἀλογίας ἡμᾶς, διὰ σπλάγχνα, θέλων ἐκλυτρώσασθαι.

Βοᾷ Προφήτης ἐμφανῶς, ὁ Θεὸς ἡμῶν οὗτος, λογισθήσεται οὐδείς, ἕτερος πρὸς αὐτόν, ὃς ἐξεῦρε πᾶσαν ὁδόν, ἐπιστήμης, τοῖς βροτοῖς ἑνούμενος.

Θεοτοκίον.

Προεῖδεν Ὄρος σε ποτέ, Δανιὴλ ὁ Προφήτης. ἐξ οὗ λίθος ἐτμήθη, Θεοτόκε τοὺς βωμούς, λεπτύνας καὶ καθελών, τῶν εἰδώλων, Πάναγνε Θεόνυμφε.

Ἄλλος. Ἐστερεώθη ἡ καρδία μου.

Ἀθλητικὸν παγκράτιον οἱ γενναῖοι, τοῦ Χριστοῦ διανύσαντες Ἀθλοφόροι, τῶν διωκτῶν τὴν ἀπόνοιαν καταπαίσαντες.

Οἱ νοεροὶ φωστῆρες τῆς Ἐκκλησίας, λογικὰς ἀστράπτοντες λαμπηδόνας, τὴν ἀβλεψίαν φωτίζουσι τῶν καρδιῶν ἡμῶν.

Ὁ στερεώσας Κύριε τοὺς Ἁγίους, ἐνεγκεῖν ἀφόβως τὰς ἀλγηδόνας, ῥῦσαι κινδύνων καὶ θλίψεων, τοὺς ὑμνοῦντάς σε.

Τριαδικόν.

Σεραφικῶς ὑμνήσωμεν τὴν Τριάδα, σὺν Ἀγγέλοις κράζοντες ἀσιγήτως. Ἅγιος, Ἅγιος, Ἅγιος, ἡ Τριὰς καὶ Μονὰς ὁ Θεός.

Θεοτοκίον.

Τὸν τῆς Τριάδος ἕνα ἐν τῇ γαστρί σου, δεξαμένη Ἄχραντε Θεοτόκε, ἀνερμηνεύτως ἐκύησας, ὡς οἶδε μόνος αὐτός.

Ὁ

Digitized by Google

Ὁ Εἱρμός.

„Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου.

ᾠδὴ α΄. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τῆς Κρήτης οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στεῤῥῶς, ἐτροπώσαντο πίστει, τὸν ὄφιν τὸν ἀρχέκακον, καὶ μονίμως ἐστέφθησαν. τούτων σήμερον, τὴν ἀξιέπαινον μνήμην, ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

Δόξα, καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Ἀγάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρεπίζου. ὁ πάντων συνοχεύς, τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι, τῶν Οὐρανῶν αἱ Δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Θεὸς ἡμῶν.

Ὠδὴ δ΄. Ὑμνῶ σε ἀκοήν.

Ἡ Κτίσις εὐφραινέσθω ἅπασα. ὁ γὰρ Κτίστης ἰδοὺ γεννᾶται, ἐν Βηθλεὲμ νήπιος, ὁρώμενος ὁ πρὸ αἰώνων σαρκί, καὶ σπαργάνοις ἑλίσσεται, σειρὰς πταισμάτων, λύων ὡς φιλάνθρωπος.

Θαμβεῖται ἐννοῶν πᾶς ἄνθρωπος, πῶς πλούσιος ἐν ἐλέει, πτωχεῦσαι νῦν ἄρχεται, καὶ καταλῦσαι ἐν Σπηλαίῳ ἡμᾶς, τοὺς κλοπῆς δεινῶς πτωχεύσαντας, καταπλουτίσαι θέλων ἀγαθότητι.

Ἐλύτει ἐμπαγέντας Κύριε, ἁμαρτίας κακοφροσύνῃ, ἠλέησας οἰκτείρας, καὶ ἐπεσκέψω καὶ εἰσέδυς Ἁγνῆς, Παναγίας μήτραν Ἅγιε. ἥτις σε ἐν Σπηλαίῳ τίκτειν ἔρχεται.

Κατάρας παλαιᾶς λυτρούμενος, τὸ ἀνθρώπινον ὁ Δεσπότης, ἐκ σοῦ σαρκὶ τίκτεται, Παναγίας ἄχραντε εὐλογημένη. διὸ ἐν αἰνέσει σε δοξάζομεν, δόξαν ἡμῶν, καὶ καύχημα τυγχάνουσαν.

Ἄλλος. Χριστός μου δύναμις.

Ἰδοὺ ἀνέτειλε, τὸ ἄστρον πόῤῥωθεν, ὃ προηγγέλεται πάλαι, ἐξ Ἰακώβ. ἄνθρωπος γενόμενος, ὁ ἀπερίληπτος Θεός, καὶ ὁρᾶται σπαργανούμενος.

Ὁ πάντων Κύριος, ἡ ἀπολύτρωσις, ὁραθήσεται βρέφος, Παρθενικοῖς, κόλποις καθεζόμενος. ὁ ἐν τοῖς κόλποις τοῦ Πατρός, ὡς Υἱὸς ἀναπαυόμενος.

Προφήτης Πνεύματι, προεθεάσατο, Ἀββακοὺμ σε Παρθένε, ὄρος Θεοῦ, ἀρεταῖς κατάσκιον. ἐξ οὗ ἐπέφανεν ἡμῖν, ὁ φωτίζων τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Εἰσακήκοα τὴν ἀκοήν.

Προεόρτιος, ἡ τῶν Μαρτύρων ἐπέστη μνήμη, τὴν γενέθλιον προγράφουσα, ἑορτὴν τοῦ Σωτῆρος.

Τὰ προαύλια, τῆς τοῦ Σωτῆρος ἐπιφανείας, τῶν Μαρτύρων ἡ ἐτήσιος, προανέῳξε μνήμη.

Ἡ δεκάπυρσος, τῶν Ἀθλοφόρων λαμπὰς ἀνήφθη, τὸν ἀστέρα προμηνύουσα, τοῦ Χριστοῦ γεννηθέντος.

Ὑπερλάμποι, ἐν τῇ χωρείᾳ τῶν ἀλγηδόνων, ἀνεδείχθησαν οἱ Ἅγιοι, ὡς χρυσὸς ἐν καμίνῳ.

Θεοτοκίον.

Μήτηρ Ἄχραντε, εὐλογημένη Ἁγνὴ Παρθένε, τοὺς ὑμνοῦντάς σε περίσωζε, ἀπὸ πάσης ἀνάγκης.

Ὠδὴ ε΄. Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ.

Λυτρῶσαι τῶν ἀμετρήτων μου κακῶν Κύριε, ὑπερβολῇ ὡς ἀγαθὸς χρηστότητος. ἐν Σπηλαίῳ ἐκ τῆς Παρθένου ἐν Βηθλεὲμ, ἀποτεχθεὶς ὡς ἄνθρωπος.

Μετὰ σαρκὸς νῦν προελθὼν ὁ Κύριος, δι' εὐσπλαγχνίαν τοὺς βροτοὺς ῥυσάμενος, δυναστείας τοῦ ἀρχεκάκου, εἰς οὐρανοὺς ἀναγαγὼν ἐθέωσεν.

Νῦν ἥκει ἐν ἀλλοτρίῳ, ὁ Χριστὸς σώματι, ἐν τοῖς ἰδίοις. ὑμνήσωμεν ἅπαντες, τῶν ἀτίμων παθῶν, καὶ τοῦτον δεξώμεθα, σαρκὶ τικτόμενον.

Ἄλλος. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ἡ οὐ Εὐφραθᾶ οἶκος Βηθλεέμ, Ἄρχων ἐξελεύσεται ἐκ σοῦ. ὃν Ἰσραὴλ προσκαλούμενος, ἔθνη ἀπωσμένα, ὡς προηγόρευσεν ἐν Πνεύματι Μιχαίας, καταυγαζόμενος.

Ποιμανεῖ ποίμνιον ἑαυτοῦ, μόνος ἐν ἰσχύϊ Ἰησοῦς, ἐκ τῆς Παρθένου τεχθήσεται, ἄκρων

ἄκρων ἕως γῆς δὲ μεγαλυνθήσεται, Προφήτης Θεηγόρος, πάλαι προήγγειλεν.

Θεὸς ἀνθρώποις ὁμοιωθεὶς, πτωχεύει σαρκὶ ἵνα ἡμᾶς, καταπλουτίσῃ τῇ δόξῃ αὐτοῦ. καὶ Σπηλαίῳ τίκτεται ὁ ἀχώρητος. τοῦτον οὖν διανοίᾳ, εὐθείᾳ δεξώμεθα.

Ἄλλος. Τὴν σὴν εἰρήνην.

Τὸν ἐκ ἡλίου Ἥλιον, Χριστὸν οἱ Μάρτυρες, ἐκ τῆς Παρθένου ἡμῖν ἐπιφανέντα σαρκὶ, κηρύττουσι τῷ Κόσμῳ, τῇ ἀθλήσει τῆς σεπτῆς, ὁμολογίας αὐτῶν.

Ὡς ἐκ Καρποῦ κλήματα, ὤφθητε Μάρτυρες, ὡς ἐκ τῆς Παύλου φυτείας ἀναθάλλοντες, καρποὺς ὁμολογίας, ἐκ χειλέων τῷ Χριστῷ προσενέγκαντες.

Οἱ τῆς εἰρήνης τρόφιμοι, καὶ πολεμίων ἐχθροὶ, ταῖς ἱκεσίαις ὑμῶν, Ἅγιοι Μάρτυρες, πρεσβεύσατε εἰρήνην, καὶ κακῶν ἀπαλλαγὴν, δοθῆναι πᾶσιν ἡμῖν.

Νυκτομαχούσης Ἅγιοι, τῆς Ἐκκλησίας Χριστοῦ, ὡς φαεινοὶ τοῖς ἐν γῇ, φωστῆρες ὤφθητε, τὴν νύκτα τῆς ἀγνοίας, ἀπελαύνοντες τῇ αἴγλῃ, τῶν θαυμάτων ὑμῶν. Θεοτοκίον.

Ἐν Βηθλεὲμ ἀνέτειλε, Χριστὸς ἡ πάντων αὐγὴ, ἐκ τῆς Παρθένου Μητρὸς, λάμψας τῷ Κόσμῳ τὸ φῶς, καὶ ὥσπερ ἐν ἡμέρᾳ, καταλάμπει τοῖς πιστοῖς, ὡς τοῖς Μάγοις ἀστήρ.

Ὠδὴ, ς'. Πρὸς Κύριον ἐκ κήτους.

Ζαλίζεται ἀκοὴ τοῦ πράγματος τὸ μέγεθος, πῶς ὁ ἀχώρητος, χωρηθεὶς ἐν μήτρᾳ ἔρχεται, τεχθῆναι δι' ἡμᾶς, ἐκ Μητρὸς μεανίδος, οὗ τὸν τόκον ἀνύμνησαν Ἄγγελοι,

Ὁ Ἥλιος, φωτεινῇ ἐν Νεφέλῃ κομπτόμενος, τεχθῆναι ἔρχεται ἐν Σπηλαίῳ καὶ ἐφέλκεται. ἀστὴρ γὰρ φαεινὸς, εἰς αὐτοῦ προσκύνησιν, Βασιλεῖς ἐκ Περσίδος συνήγαγεν.

Πῶς δέξεται, Βασιλεῦ σε σμικρότατον Σπήλαιον; γνώμῃ πτωχεύσαντα, τὸν πλουτίζοντα τὰ σύμπαντα; πῶς βλέψει σε βροτῶν, φύσις σωματούμενον; προσκυνοῦμεν τὴν σὴν συγκατάβασιν.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Ἰδοὺ εἰς τὰ ἴδια, παραγίνεται Χριστὸς, οἰκειωθῶμεν χάριτι, δι' ἀρετῶν ἐνθέων αὐτῷ πιστοὶ, καὶ τοῦτον δεξώμεθα, καὶ ψυχῇ καὶ καρδίᾳ φωτιζόμενοι.

Ἡ ῥίζα ἐβλάστησεν, Ἰεσσαὶ καὶ ἐξ αὐτῆς, ὁ προελθὼν Θεὸς ἡμῶν. ἐλπὶς ἐθνῶν, ἀνάπαυσις καὶ τιμὴ, ὡς πάλαι προέφησεν, Ἡσαΐας ἐνθέως φωτιζόμενος.

Χειμάζει κλυδώνιον, ἁμαρτιῶν λογισμῶν, τὴν ταπεινὴν καρδίαν μου, τῶν πονηρῶν πραγμάτων ἐπιβουλαῖς. φιλάγαθε Δέσποινα, καταπράϋνον τοῦτο μεσιτείαις σου.

Ἄλλος. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

Μάγοι τὰ δῶρα σοι προσῆγον, οἱ δὲ Μάρτυρες τὰ αἵματα, τῷ γεννηθέντι ἐπὶ γῆς, ἐκ Παρθένου ἐν τῇ πόλει Δαβὶδ, καὶ πάσχοντες ἐβόων. σῶσον, Σωτὴρ, ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.

Κυμαινομένης ὡς θαλάσσης, κατὰ τῆς Ὁμολογίας ἡμῶν, τῆς τυραννίδος τοῦ ἐχθροῦ ὡς φιλάθλοι λιμένες αὐτῇ, ἐπέστησαν ἀθρόως οἱ ἀθληταὶ, ὡς ναῦν τὴν πίστιν αὐτῶν συναιροῦντες.

Ἡ Θεοδούλου παῤῥησία, τὴν ὁμόζηλον ἀνδρείαν τῶν συνομίλων ἀθλητῶν, στεῤῥοτέραν ἀπειργάσατο. διὸ καὶ ἀνεβόων· σῶσον Σωτὴρ, ὡς ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην. Θεοτοκίον.

Ἐν Βηθλεὲμ ἀστὴρ ἐξεφάνη, ὁδηγῶν τοὺς ἐκ Περσίδος, δῶρα κομίζοντας Χριστῷ, τῷ τεχθέντι ἐκ Παρθένου Μητρός. αὐτῷ πᾶσα ἡ Κτίσις, καὶ προσκυνεῖ καὶ ὡς Θεὸν, ἀνυμνεῖ καὶ δοξάζει.

Ὁ Εἱρμός.

„Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων, καταντήσαντας φιλάνθρωπε, καὶ τρικυμίαις „πειρασμῶν, ἀπολέσθαι κινδυνεύοντας, „βοῶντας μὴ παρίδῃς. σῶσον Σωτὴρ, ὡς „ἔσωσας, τοῦ θηρὸς τὸν Προφήτην.

Κοντάκιον, τῶν Ἁγίων. Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Ἑωσφόρος ἔλαμψεν, ἡ τῶν Μαρτύρων, σεβασμία ἄθλησις, προκαταυγάζουσα



Digitized by Google

ἡμῖν, τὸν ἐν Σπηλαίῳ τικτόμενον, ὃν ἡ Παρθένος, ἀσπόρως ἐκύησεν.

Ὁ Οἶκος.

Νῦν ἐν Σπηλαίῳ δι' ἡμᾶς, τεχθέντα ἐκ Παρθένου, Χριστὸν τὸν ζωοδότην, ποθοῦντες οἱ ὁπλῖται, χορείαν ἤγειραν φαιδρὰν, κατὰ τοῦ Βελίαρ, καὶ νικήσαντες σαφῶς, εἰς γῆν αὐτὸν κατέῤῥαξαν, ἄμετρα πάλαι τοῦτον καυχώμενον. ὅθεν δαδουχοῦσι τοῖς ἐν σκότει, ὡς φωστῆρες ὑπάρχοντες τοῦ Ἡλίου. ἀστὴρ μὲν γὰρ τὸ πρὶν, τοῖς Μάγοις ἐπέστη, ὁδηγῶν ἐν Βηθλεὲμ, πόλει Ἰούδα, οὗτοι δὲ ἡμῖν, κηρύττουσιν ἐν βασάνοις, Ὃν ἡ Παρθένος ἀσπόρως ἐκύησεν.

Ἕτερον Κοντάκιον. Ἦχος Πλ. β΄.
Χειρόγραφον εἰκόνα.

Ὁμόψυχοι τῇ πίστει, καὶ τῇ φρονήσει, οἱ δέκα Ἀθλοφόροι ἀναφανέντες, ἐν σταδίῳ ἠγωνίσαντο, καὶ Χριστῷ προσεκόμισαν, σμύρναν καὶ χρυσὸν σὺν τῷ Λιβάνῳ, τὰ αἵματα αὐτῶν ἀναβοῶντες, τῷ τεχθέντι ἐν φάτνῃ ἐκ τῆς Ἁγίας Παρθένου, τὰ αἵματα ὥσπερ δῶρα μετὰ πίστεως ἐπιφερόμεθα.

Τῷ αὐτῷ Μηνὶ ΚΓ΄. Μνήμη τῶν Ἁγίων δέκα Μαρτύρων τῶν ἐν Κρήτῃ Μαρτυρησάντων.

Στίχ. Τοῦ ποιμενάρχου θρέμματα Χριστοῦ δέκα.
Εἰσήχθη τμηθέντα μάνδρα Μαρτύρων.
Εἰκάδι τριτάτῃ δέκα ἐν Κρήτῃ τάμον ἄνδρας.

Οὗτοι ἤθλησαν ἐπὶ Δεκίου Βασιλέως ἐν τῇ Νήσῳ τῆς Κρήτης, οὐκ ἐκ μιᾶς Πόλεως, ἀλλ' ἐκ διαφόρων τῆς χώρας μερῶν ὑπῆρχον. ἀπὸ γὰρ μητροπόλεως Γορτύνης πέντε, Θεόδουλος, Σατορνῖνος, Εὔπορος, Γελάσιος, καὶ Εὐνικιανός. ἀπὸ δὲ Κνωσοῦ, Ζωτικός. ἀπὸ δὲ τοῦ Ἐπινείου Πανόρμου, Ἀγαθόπους. ἐκ δὲ Κυδωνίας, Βασιλίδης. καὶ ἀπὸ τοῦ Ἡρακλείου, Εὐάρεστός τε, καὶ Πόμπιος. οὗτοι παρὰ τῶν ἀπίστων, τῷ τῆς Νήσου Ἄρχοντι παρεδόθησαν. ὁ δὲ, τῷ δημίῳ ἐπέτρεψε, κατὰ τοὺς βωμοὺς τῶν εἰδώλων περιάγειν αὐτοὺς, καὶ μὴ θύοντας, παντοίως αἰκίζεσθαι. ἐπεὶ δὲ τριάκοντα ἡμέρας, ὑπὸ τῶν ἀτάκτων ὑβριστῶν ἐλαυνόμενοι καὶ παιζόμενοι, καὶ κατὰ γῆς ἐν κοπρίαις ἑλκόμενοι, ὕστερον προκαθίσαντος τοῦ δικαστοῦ, ὡς ἀνένδοτον εἶχον τὸ φρόνημα, καί τοι τυπτόμενοι, καὶ λιθολευστούμενοι, καὶ κολαφιζόμενοι, καὶ ἐμπτυόμενοι, τὸ φρόνημα, ἀσφαλῶς ἐμμένοντες, στρεβλωθέντες, καὶ δειναῖς ἑτέραις βασάνοις ἐξετασθέντες, τὰς κεφαλὰς ἀπετμήθησαν. τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ Μαρτυρείῳ τοῦ Ἁγίου Στεφάνου, πλησίον τῶν Πλακιδίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παύλου Ἀρχιεπισκόπου Νεοκαισαρείας, ἑνὸς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων Πατέρων.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Παῦλος, περιβόητος ταῖς ἀρεταῖς γέγονεν, ὥστε καὶ εἰς τὰς ἀκοὰς φθάσαι Λικινίου τοῦ ἐν Νικομηδείᾳ βασιλεύοντος τὰ κατ' αὐτόν. καὶ ἐπεὶ παρέστησαν οἱ ἀποσταλέντες παραστῆσαι τὸν Ἅγιον τῷ τοῦ Βασιλέως βήματι, πρῶτον μὲν ἀπειλαῖς ἐπειρῶντο τὸν Ἅγιον καταπτήσσειν, ἔπειτα δὲ καὶ ποιναῖς. ὡς δὲ καὶ τύπτειν ἤρξαντο, ἐξεπλάγησαν ἅπαντες, ἐπὶ τῇ ἀνυπερβλήτῳ τούτου ὑπομονῇ. ὅθεν καὶ μάζαν σιδηρᾶν ἐκπυρώσαντες, λαβὼν ὁ χαλκεὺς, ἐνέθηκε τῇ παλάμῃ τοῦ Ἁγίου. καὶ ἄνω ταύτης, τὴν ἑτέραν αὐτοῦ παλάμην. καὶ σφίγξας αὐτὰς, κατέδησεν, ἕως οὗ ὁ σίδηρος ἐψυχράνθη. τούτου δὲ γενομένου, τὰ κινητικὰ τῶν ἄρθρων νεῦρα συσταλέντα, ἔμειναν νεκρὰ καὶ ἀκίνητα. τότε περιορίσαντες, ἀπήγαγον εἰς τὸ παρὰ τὰς ὄχθας τοῦ Εὐφράτου ποταμοῦ Φρούριον, κατάκλειστον πεποιηκότες. ἐλθόντος δὲ τοῦ μεγάλου Βασιλέως Κωνσταντίνου ἀπὸ Ῥώμης εἰς τὸ Βυζάντιον, πάντες οἱ ἐν ἐξορίαις καὶ φυλακαῖς ἀπελύοντο, καὶ τὰ ἴδια ἕκαστος ἀπελάμβανε. τότε καὶ οὗτος ἀπολυθεὶς, κατέλαβε τὸν θρόνον αὐτοῦ, διαλάμπων ὡς καὶ πρότερον. συνῆλθε δὲ καὶ οὗτος μετὰ τῶν Ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων, εἰς ὧν καὶ αὐτὸς ἐξ αὐ-

τῶν

Digitized by Google

τῶν ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Συνόδῳ. πάντων τὰ τοῦ Χριστοῦ στίγματα ἐν τοῖς σώμασι βασταζόντων, καὶ τούτοις ὡραϊζομένων, καὶ ὑποδεικνυόντων ἀλλήλοις, ὁ μὲν, χεῖρα κεκομμένην, ὁ δὲ, ὦτα. ἄλλος δὲ ῥῖνα. ἕτερος, ὀφθαλμόν. ἄλλος ἄλλο ἀφῃρημένον μέλος. οἱ δὲ, τηλώματα βυρσῶν, ἢ ῥοπάλων, καὶ συνθλάσματα, καὶ καυστῆρας τιμὰς τοῦ σώματος, ἃς βασανιζόμενοι, ὑπὲρ Χριστοῦ ὑπέστησαν. τότε καὶ ὁ Μακάριος οὗτος Παῦλος, οὐκ ἄμοιρος τούτων ἐτύγχανεν. εἶχε γὰρ καὶ αὐτὸς ῥοπάλων συνθλάσματα, καὶ τὰς ἁγίας χεῖρας σιδηροκαύστους καὶ ἀνενεργήτους. ἐπειδὴ δὲ ἅπαντες διὰ τὸν δυσσεβῆ Ἄρειον συνηθροίσθησαν, θείᾳ ψήφῳ τοῦτον καταβαλόντες καὶ ἀναθεματίσαντες, συνῆλθον μετὰ τοῦ Βασιλέως εἰς τὸ Βυζάντιον. ὁ δὲ Μακάριος Βασιλεὺς Κωνσταντῖνος, ἰδίαις χερσὶ κρατῶν τὰς χεῖρας τούτου τοῦ Μακαρίου Παύλου καὶ καταφιλῶν, καὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπιτιθεὶς, καὶ τοῖς λοιποῖς μέλεσιν, ἐπεφώνει. τὰς διὰ Χριστόν μου χεῖρας νεκρὰς καὶ ἀκινήτους γεγονυίας, κατασπάζεσθαι οὐ κορέννυμαι. εἶθ' οὕτως τὸν δρόμον αὐτοῦ καταλαβὼν ὁ Μακάριος οὗτος, καὶ χρόνους τιμὰς ἐκεῖσε διατρίψας, ἀπῆλθε πρὸς Κύριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Τὰ Ἐγκαίνια τῆς Ἁγίας τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας.

Σ. Ἐγκαινίοις καλοῖς σε τοῖς ἐγκωμίοις, Τιμῶ καλῶν κάλλιστε γῆς ναῶν Ἥλιον.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ῥήτορες, ἀνεδείχθησαν.

Ῥήματα, ἐκπληρῶν Θεοῦ Λόγε, ἱερωτάτων Προφητῶν, ἔρχῃ τεχθῆναι Σπηλαίῳ, σπαργανωθῆναί τε ὥσπερ νήπιον, ὅπως λύσῃ μου, τὰς σειρὰς ὡς ἀγαθὸς, τῶν πολλῶν ἐγκλημάτων.

Στόματι, Οὐρανὸς κεχρημένος, ἄστρῳ μεγίστῳ ἐκβοᾷ, τὴν ἐπὶ γῆς παρουσίαν, τοῦ δι' ἡμᾶς ἀρρήτως πτωχεύσαντος. ᾧ χρησάμενοι, ὁδηγῷ οἱ ἐκ Περσῶν, ἀφίκοντο σπουδαίως.

Πράγματα, τῶν Ἀρχαγγέλων ὑμνῆσαι, μέλλοντα τίκτεσθαι Χριστὸν, νῦν δὲ περιΐζονται φόβῳ. ἀπὸ μακρὰν δὲ Μάγοι ἀφικέσθαι τοῦ θεάσασθαι, ξένον θέαμα ἐν γῇ, Θεὸν σωματωθέντα.

Ὑμνοῦμέν σε, τὴν πάντων αἰτίαν, τῶν ἀγαθῶν μόνη Ἁγνή. σωματοφόρον γὰρ Λόγον, ὑπερβολῇ χρηστότητος τέτοκας. οὗ τὴν γέννησιν, προεμήνυσεν ἀστὴρ, ἐν Βηθλεὲμ τῇ πόλει.

Ἄλλος. Δροσοβόλον μέν.

Ὁ παντέλειος τεχθήσεται ὡς νήπιον, σπαργάνοις ἐνειλούμενος, καὶ ὁ Ἄναρχος, ἐκ Παρθένου λήψεται Ἀρχήν, θεάσαι τὸ πρόσλημμα ζητῶν. ἀγαλλιάσθω Οὐρανὸς, καὶ εὐφραινέσθω ἡ γῆ.

Μεθ' ἡμῶν Θεὸς ὀφθήσεται σαρκούμενος. γνῶτε ἔθνη καὶ ἡττηθέντα, τῆς ἡμῶν μακρύνθητε ζωῆς. ἰδοὺ ἡ ἀνάκλησις ἡμῶν, βρέφος ἐν φάτνῃ Βηθλεὲμ προσανακλίνεται.

Ὡς βασίλειον πορφύραν περικείμενος, τὴν σάρκα νῦν προέρχεται, ἐκ λαγόνων σου, τῆς εἰρήνης Κόρη Βασιλεὺς, συντρίψαι ἐχθροὺς ὡς δυνατὸς, καὶ εἰρηνεῦσαι τὴν ἡμῶν, πολεμηθεῖσαν ζωήν.

Ἱερέων ἀπὸ πασῶν σε ἐξελέξατο, παλάτιον ἀμόλυντον, ὁ οἰκήσας σου, τὴν γαστέρα Κόρη Βασιλεύς. ᾧ νῦν μελῳδοῦμεν εὐσεβῶς, εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Τρεῖς παῖδες ἐν καμίνῳ.

Ἐφέστηκεν ἡ μνήμη, τῶν Μαρτύρων κηρύττουσα, τὴν γενέθλιον ἡμέραν τοῦ Σωτῆρος, καὶ τῇ ἐκείνων ἀθλήσει, προοιμιάζεται ἡμῖν, Δεσποτικὴ ἑορτή.

Μὴ κάμψαντες τὸ γόνυ, τοῖς ξοάνοις οἱ Μάρτυρες, τῶν βασάνων τῷ πυρὶ, ἐδοκιμάσθησαν, ἀθλητικῶς ἐκβοῶντες εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐν μέσῳ τοῦ σταδίου, ἐναθλοῦντες οἱ Μάρτυρες, στεφανηφόροι ὁμαδὸν, περιχορεύοντες, μετὰ τῶν Παίδων ἐβόων εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ποιμένες μετὰ Μάγων, τὸν ἀστέρα θεώμενοι, μετ' Ἀγγέλων ἐπὶ γῆς, θεολο-



Digitized by Google

γῦσι τὸν ἐκ σοῦ, ἀνερμηνεύτως τεχθέντα, Θεογεννῆτορ Μαρίαν, διὰ τὸ σῶσαι ἡμᾶς.

Ὠδὴ η΄. Ἰνδάλματος.

Φορέσας με Χριστὲ, ὃν ἐγύμνωσεν ἀπάτη ἡ ἁμαρτία, φανερωθῆναι σὺ, καὶ νήπιος ἐπὶ φάτνης ἔρχῃ τεχθῆναι. ἄστρον σε φαιδρῶς κηρύττοντος, τοῖς ἀναβοῶσιν, ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Χορεύσωμεν πιστοὶ, καὶ σκιρτήσωμεν τῷ Πνεύματι. ὁ Δεσπότης καταπλουτῶν ἡμᾶς, ἐν πάσῃ δικαιοσύνῃ, ἤδη πτωχεύει, καθάπερ νήπιον, τεχθεὶς καὶ ἀνακλιθεὶς ἐν τῇ φάτνῃ. ὃν ἀνυμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας.

Ψαλτήριον τερπνὸν, ἀνάλαβε Προφῆτα Δαβὶδ καὶ λέγε. ἰδοὺ ἠκούσαμεν, Παρθένον Σιὼν ἐν πόλει, μέλλουσαν τίκτειν, Θεὸν Βασιλέα Κύριον, ᾧ καὶ μελῳδοῦμεν. ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὡραῖος ἐκ γαστρὸς, σοῦ προέρχεται τεχθῆναι, ἀρρήτῳ λόγῳ καθωραΐσαι, τὸ ἀνθρώπινον ἀφθαρσίᾳ, Παρθένε θέλων, ὁ ἀγαθοδότης Κύριος, ᾧ νῦν μελῳδοῦμεν, ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Προφητῶν θεηγόρων, ῥήσεις πεπλήρωνται, ἡ Παρθένος ἐγγίζει, τεκεῖν τὸν Κύριον, ἅπασα ἡ γῆ, εὐφραινέσθω χορεύουσα, καὶ ἀγαλλιάσθω, εἰς πάντας τοὺς αἰῶνας.

Ταῖς αὐγαῖς ὑποφαίνων, τῆς θείας χάριτος, τὸ τοῦ νόμου σκιῶδες, καταπαυόμενον, ὁ φωταγωγὸς, Ἰησοῦς ἀνατέταλκεν, οἱ ἐσκοτισμένοι, θεάσασθε φῶς μέγα.

Γεγονότα λῃστῶν με, σπήλαιον Κύριε, ὁ τεχθεὶς ἐν Σπηλαίῳ, ναὸν ἀνάδειξον, σοῦ καὶ τοῦ Πατρὸς, καὶ τοῦ θείου σου Πνεύματος, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Οὐρανοῦ ἐκ γαστρός σου, ἄστρον ἀνέτειλεν, Ἀστρολόγους κηρῦσαν, τοῦτο θεάσασθαι, γνώσει τῇ αὐτοῦ, φωτισθέντας ἐν Πνεύματι, Ἄχραντε Παρθένε, ἀεὶ εὐλογημένη.

Ἄλλος. Τὸν ἐν φλογί.

Κατὰ ξιφῶν, καὶ πυρὸς καὶ θανάτου, ἀντεκατέστη, ἡ δεκὰς τῶν Μαρτύρων, καὶ τὴν νίκην ἤρατο, κατὰ τῆς ἀσεβείας, καὶ συμβασιλεύει, τῇ Χριστοῦ βασιλείᾳ.

Νεανικῶς, τὴν Χριστοῦ πανοπλίαν, ἀναλαβόντες, κατὰ τῶν ἀοράτων, καὶ τοῦ Κοσμοκράτορος, οἱ γενναῖοι ὁπλῖται, τοὺς ἐπινικίους, ἐπεδείξαντο ἄθλους.

Οἱ ἀρραγεῖς, πύργοι τῆς εὐσεβείας, καὶ τῶν ἐν ζάλῃ, φερομένων λιμένες, ὑπὲρ πάσης Κτίσεως, ἐκτενῶς δυσωπεῖτε, ὑπὲρ τῶν Βασιλέων, καὶ εἰρήνης τοῦ Κόσμου.

Τριαδικόν.

Σὺν τῷ Πατρὶ, τὸν Υἱὸν προσκυνοῦμεν, καὶ Πνεῦμα Ἅγιον, ἐν Τριάδι Μονάδα. καὶ σὺν Ἀγγέλοις κράζοντες, τοῖς πηλίνοις στόμασι· δόξα ἐν ὑψίστοις, Θεῷ τῷ ἐν Τριάδι.

Θεοτοκίον.

Ὅλον ἐκ σοῦ, τῆς Τριάδος τὸν ἕνα, θεογεννήτωρ, θεϊκῶς συλλαβοῦσα, ἐξ Ἁγίου Πνεύματος, σαρκωθέντα τέτοκας, μείνασα Παρθένος, ὥσπερ ἧς πρὸ τοῦ τόκου.

Ὁ Εἱρμός.

„ Τὸν ἐν φλογὶ, τοῖς Παισὶ τῶν Ἑβραίων
„ συγκαταβάντα, Θεϊκῇ δυναστείᾳ, καὶ
„ ὀφθέντα Κύριον, Ἱερεῖς εὐλογεῖτε, καὶ
„ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς
„ ἀξίαν, ἰλιγγιᾷ δὲ νοῦς, καὶ ὑπερκόσ-
„ μιος, ὑμνεῖν σε Θεοτόκε. Ὅμως ἀγαθὴ
„ ὑπάρχουσα τὴν πίστιν δέχου· καὶ γὰρ τὸν
„ πόθον οἶδας τὸν ἔνθεον ἡμῶν. σὺ γὰρ
„ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Ἰδοὺ τοῖς δούλοις, μόνε Βασιλεῦ ἀπεγράφης, Καίσαρος γνώμῃ θέλων με δουλείας, ἀπαλλάξαι ψυχοφθόρου. πόλει Βηθλεὲμ προφθάσας δὲ, σαρκὶ τεχθῆναι, βροτοὺς εἰς Οὐρανοὺς, φέρων τοὺς ἀνυμνοῦντας ἐν πίστει, τὰ σὰ γενέθλια.

Ὡραῖος κάλλει, παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὁ σὸς Παρθένε πέφυκεν, Υἱός τε καὶ Δεσπότης τῶν ἁπάντων. ὃν ὥσπερ

ὥσπερ ὡραία Δάμαλις ἐν τῷ σπηλαίῳ, τῆς Βηθλεὲμ προέρχῃ, τεκεῖν ὑπερφυῶς, ὅπως εὐεργετήσῃ καὶ σώσῃ, τοὺς προσκυνοῦντας αὐτόν.

Σὲ φωτοδότας, Ἥλιε τῆς δικαιοσύνης, καθυποδύντα μήτραν, καὶ τεχθῆναι ὑπὲρ λόγον βουληθέντα, πόῤῥωθεν Ἀστὴρ ἐμήνυσε, τοῖς Ἀστρολόγοις νυκτὶ κεκρατημένοις, καὶ πλάνης σκοτασμῷ οὖσι, καὶ προσκυνήσαντες πίστει, δῶρα κομίζουσιν.

Ἡ γῆ χορεύει, ὥσπερ αἰσθομένη τὴν Θείαν ἐπιδημίαν, τοῦ δι' εὐσπλαγχνίαν ἀποῤῥήτως ἐκ Παρθένου, ἤδη ἀνατέλλειν μέλλοντος. ὁ Οὐρανὸς δὲ, ἀνακηρύττει τοῦτον, ὡς φθόγγῳ μυστικῷ, Ἄστρου ἀνατολῇ φαινομένου, τοῖς Μάγοις πόῤῥωθεν.

Φέρει Υἱέ μου, ὅλην τοῦ Πνεύματος τὴν ἰδέαν, καὶ πῶς σε φέρω, ὅμοιον ἐμοὶ κατὰ πάντα γεγονότα; ἔλεγεν ἡ Ἀπειρόγαμος ἐκπληττομένη. ἣν ὡς Θεοῦ Μητέρα, τιμήσωμεν πιστοὶ, πάντες καὶ ἐν αἰνέσει συμφώνως, δοξολογήσωμεν.

Ἄλλος. Θεὸν ἀνθρώποις.

Ἰδοὺ ἡ πάντων, ἦλθεν ἀνάκλησις, ὁ ἱλασμὸς τὸ φῶς, ἡ παντελὴς ἀπολύτρωσις, θησαυρὸς ὁ πολύτιμος κρύπτεται, ἔνδον ἐν τῷ σπηλαίῳ. ᾧ πλουτιζόμενοι, Μάγοι τὸν χρυσὸν ὡς Βασιλεῖ, ἐπικομίζουσιν.

Χριστοῦ Ποιμένες, ἐπαγρυπνήσατε, καὶ νοητῶς ἐν Πόλει, Βηθλεὲμ παραγίνεσθε, καὶ Θεῷ ἐν ὑψίστοις βοήσατε· δόξα μεγαλωσύνη, τῷ εὐδοκήσαντι, βρέφος ὁραθῆναι καθ' ἡμᾶς, δι' ἀγαθότητα.

Σαρκὶ σπαργάνοις, ἐνειλισσόμενος, ὁ σπαργανῶν ὀμίχλῃ, Ἰησοῦ μου τὴν θάλασσαν, τὸν δεσμὸν τῆς κακίας διέῤῥηξας, καὶ ἐν δικαιοσύνῃ, πάντας συνέδησας, τοὺς διαλυθέντας προσβολαῖς τοῦ πολεμήτορος.

Ἡ Ἀσὰς καὶ θρόνος, τοῦ Βασιλεύοντος, Ὄρος Θεοῦ, καὶ Πόλις ἐκλεκτὴ, καὶ Παράδεισε, τοῦ Ἡλίου Νεφέλη ὁλόφωτε, φώτισον τὴν ψυχήν μου, μέσῃ διώκουσα, τῶν ἀνομιῶν μου τῶν πολλῶν, Θεοχαρίτωτε.

Ἄλλος. Σὲ τὴν ἀθάνατον πηγήν.

Οἱ νοητοὶ τοῦ Κυρίου θησαυροὶ, ἀνεφημίσθησαν σήμερον, οἱ πολλοὺς θησαυροῦντες, καὶ βλύζοντες, τὰ τοῦ Χριστοῦ Ἐπιφάνεια, καὶ τὰ πλήθη τῶν θαυμάτων αὐτοῦ.

Οἱ ἀσφαλεῖς τῶν Πιστῶν προασπισταὶ, καὶ τῆς Τριάδος ὑπέρμαχοι, καὶ ἀπόρθητοι πύργοι τῆς Πίστεως. ὑπὲρ ἡμῶν ἱκετεύσατε, Ἀθλοφόροι τοῦ σωθῆναι ἡμᾶς.

Ὁ ἱερὸς τῶν Μαρτύρων σου χορὸς, ὑπὲρ ἡμῶν ἱκετεύει σε, τὴν Ἁγίαν Τριάδα δωρήσασθαι, ἡμῖν τὴν εἰρήνην σου, εἰς αἰῶνας τῶν αἰώνων, ἀμήν. Θεοτοκίον.

Ἡ Βηθλεὲμ προανοίγει τὴν Ἐδὲμ, καὶ ὁ ἐκ σοῦ προερχόμενος, τὸν Ἀδὰμ ἀναπλάττει σαρκούμενος, ὑπερφυῶς. ὃν ἱκέτευε, Θεοτόκε, τοῦ σωθῆναι ἡμᾶς.

Ὁ Εἱρμός.

„ Σὲ τὴν ἀθάνατον πηγὴν, τὴν δι' Ἁ„ γίων, ἰάματα, τῶν ἀνθρώπων τῷ γέ„ νει παρέχουσαν, Χριστὲ μεγαλύνομεν, ὅ„ τι σώζεις τὰς ψυχὰς ἡμῶν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Σὺν Θεοδούλῳ στέψωμεν, Ζωτικὸν Ἀγαθόπουν, καὶ Σατορνῖνον Πόμπιον, ἅμα Εὐνικιανῷ, τὸν ἔνδοξον Βασιλίδην, Εὔπορόν τε τὸν θεῖον, τὸν κλεινὸν Γελάσιον, καὶ Εὐάρεστον ὕμνοις, χαρμονικῶς. ταῖς πρεσβείαις τούτων, ὅπως ῥυσθῶμεν, πταισμάτων καὶ στεφθείημεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος. Προεόρτιον. Ὅμοιον.

Οἱ ἀρετὴν ἀσκήσαντες, καὶ νεκρῶσαι τὰ πάθη, ἐν ἐγκρατείᾳ σπεύσωμεν. ὥσπερ τρίυλον δῶρον, μετὰ ποιμένων καὶ Μάγων, πρᾶξιν ἐπαινουμένην, καὶ θεωρίαν εὔστοχον, νῦν προσάξωμεν πίστει, τῷ ἐν σαρκὶ, γεννηθῆναι μέλλοντι ἐκ Παρθένου, Θεῷ τῷ εὐδοκήσαντι, τὴν ἡμῶν Σωτηρίαν.

Εἰς τοὺς Αἴνους, στιχ. προσόμοια. Ἦχος Πλ. β'.

Αἱ Ἀγγελικαί.

Πρὸ προοριθεὶς ἐν τῷ Πατρὶ πρὸ τῶν αἰώνων, καὶ προκηρυχθεὶς, τοῖς Προφήταις ἐπ' ἐσχάτων, Μυστήριον ἐφάνη, καὶ Θεὸς ἐνανθρώπησε, σάρκα προσλαβὼν ἐκ τῆς Παρθένου, κτίζεται, ὁ Ἄκτιστος βουλήσει,



Digitized by Google

λήσει, ὁ ὢν γίνεται, ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Υμνῶ σε Βασιλεῦ, τοῖς Σπαργάνοις ἀλιθέντα. λύεις γὰρ σειρὰς, τῶν ἐμῶν παραπτωμάτων, καὶ δόξῃ ἀκηράτῳ, καὶ ἀφθάρτῳ τιμήσας με, ὅλον τῷ Πατρὶ προσωκειώσω, δημιουργῶν καὶ ἀναπλάττων. διὸ κράζω σοι· ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Φῶς τὸ ἐκ φωτὸς, προϊὸν καὶ ἐκ Παρθένου, λάμψαν τοῖς ἐν γῇ, δι' Ἀστέρος κατιδόντες, οἱ Ἀστρολόγοι Μάγοι, Περσικὸν ἀπετίθεντο, σκότος καὶ ἀστραφὴν πᾶσαν πλάνην, καὶ ἐν χαρᾷ τῷ γεννηθέντι, Θεῷ ἔψαλλον· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Χλόην ἐμμανῶς, τῶν Νηπίων ἐκθερίζει, ὑπὸ τῶν σοφῶν, ἐμπαιχθεὶς Ἡρώδης Μάγων· καὶ χεῖρα μιαιφόνον κατὰ σοῦ αἴρειν ᾤετο. ἀλλ' ἐπιδημεῖς τοῖς Αἰγυπτίοις, σκότος τὸ βαθύτατον διώκων. μεθ' ὧν ψάλλομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι. Δόξα.

Ψάλλων ὁ καινὸς, Ἰσραὴλ τὸ καινὸν ᾆσμα, ᾄδων τὴν ᾠδὴν, τὴν οὐράνιον ἐκείνην, εὐφράνθητι καὶ τέρπου, καὶ ἀγάλλου καὶ χόρευε· ἄγε δὴ φαιδρῶς τὴν Ἑορτάς σου, ὁ ἐκ Θαιμὰν Θεὸς σαρκὶ ἐφάνη. αὐτὸς μέλλει δὲ, ἐν Ἰορδάνου ταῖς ῥοαῖς, λουθῆναι ὡς ἄνθρωπος.

Καὶ νῦν.

Ὤφθης ἐπὶ γῆς, καὶ Βροτοῖς συναπεγράφης, Καίσαρος θεσμοῖς, σὺν τοῖς δούλοις ἀπεγράφης, ἐπλάσθης οὐκ ἐτράπης, ἀναλλοίωτος, ἔμεινας, ὅλος ὢν Θεὸς, κἂν ἐσαρκώθης. δόξα τῇ σῇ οἰκονομίᾳ, τιμὴ αἴνεσις, μεγαλοπρέπεια καὶ νῦν, εἰς τοὺς αἰῶνας, Ἀμήν.

Εἰς τὸν Στ. π. προσόμοια, Προεόρτια. Ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἡ γῆ πᾶσα βλέπουσα Θεὸν, κάθοδον εὐφραίνεται. Μάγοι τὰ δῶρα προσφέρουσιν. Οὐρανὸς φθέγγεται, διὰ τοῦ Ἀστέρος. Ἄγγελοι δοξάζουσι. Ποιμένες ἀγραυλοῦντες θαυμάζουσι. Φάτνη εἰσδέχεται, ὥσπερ θρόνον σε πυρίμορφον. ἐπαγάλλου, ταῦτα Μῆτερ βλέπουσα.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, ἦλθες πενιχρὸς ὢν οἰκειούμενος, ἐμῆς μορφῆς τὸ ὁμοίωμα, Υἱέ μου ἄναρχε, Πατρὸς προανάρχου, ἀπόῤῥητον Γέννημα. πλουτίσαι γὰρ προείλου πτωχεύσασαν, τὴν ἀνθρωπότητα, τῇ πτωχείᾳ ἣν περίκεισαι. ἀνυμνῶ σου, Κύριε τὸ εὔσπλαγχνον.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ὡς βρέφος με βλέπουσα ταῖς σαῖς, ἐπαναπαυόμενον, Μῆτερ ἀγκάλαις εὐφράνθητι. ἦλθον τὸν Κόσμον γὰρ, ὅλον ἀφελέσθαι, τὸν Ἀδὰμ ὃν ἔπλασα, κακίστῃ συμβουλίᾳ τοῦ ὄφεως, ξύλου γευσάμενον, καὶ τρυφῆς ἔξω γενόμενον, Παραδείσου, καὶ καταφθειρόμενον.

Δόξα. Ἦχος γ'. Τοῦ Στουδίτου.

Γενναῖοι Μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννικὴ, οὐ θωπεία ἀπατηλὴ, οὐ μελῶν ἐκκοπαὶ, οὐδὲ θανάτου ἀπειλαὶ, τῆς πρὸς τὸ θεῖον ἀγάπης, χωρίσαι δεδύνηνται. διὸ παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν, τὸν ἐπὶ πάντων Θεὸν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων αἰτήσασθε, παρὰ Χριστοῦ, λαβεῖν εὐχαῖς ὑμῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ἦχος Πλ. δ'.

Ἀνατολίου.

Ἐν Βηθλεὲμ γεννᾶται, ὁ τοῦ παντὸς Ποιητὴς, καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ πρὸ αἰώνων Βασιλεύς. ἡ φλογίνη Ῥομφαία, τὰ νῶτα δίδωσι. τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, αἱ Οὐράνιαι Δυνάμεις, σὺν τοῖς ἐπὶ Γῆς ἀναμίγνυνται. Ἄγγελοι σὺν τοῖς Ἀνθρώποις, κραταιὰν πανήγυριν συγκροτοῦσιν. οἱ καθαροὶ τῷ καθαρῷ προσενεγκάμενοι. ἴδωμεν τὴν Παρθένον, ὡς θρόνον δόξης Χερουβικὸν, χωρήσασαν τὸν μηδαμοῦ χωρούμενον Θεὸν, καὶ βαστάζουσαν, ὃν τὰ Χερουβὶμ, μετὰ φόβου βαστάζουσιν. ὅπως παρέξῃ τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.



Digitized by Google

Τῷ αὐτῷ Μηνὶ ΚΔ΄.

**Τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐγενίας.** Ἡ Ἀκολουθία ἡ Προεόρτιος, καὶ τῆς Ἁγίας.

Χρὴ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ Κυριακὴ τῶν Ἁγίων Πατέρων τῇ κδ΄. τοῦ Μηνός, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τὰ τῶν Ἁγίων Πατέρων, μετὰ τῶν Προεορτίων, ἤγουν. Προεορτάσωμεν λαοί. καὶ τὰ ἕτερα δύω. Προηγεῖται δὲ ἡ Ἀκολουθία τῶν Ἁγίων Πατέρων. Λέγονται δὲ μόνον, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ Προκείμενον, ὡσαύτως καὶ Εὐαγγέλιον Ἀναστάσιμον. τὰ δὲ λοιπὰ τῶν Ἁγίων Πατέρων, μετὰ τῶν Προεορτίων, ὡς εἴρηται.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. ψάλλομεν στιχηρὰ προσόμοια προεόρτια. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν κυμβάλοις ἠχήσωμεν, ἐν ᾠδαῖς ἀλαλάξωμεν. ἡ Χριστοῦ ἀνάδειξις πεφανέρωται. τῶν Προφητῶν τὰ κηρύγματα, τὸ πέρας ἐδέξαντο. ὃν γὰρ ἔφησαν σαρκί, τοῖς Βροτοῖς ἐμφανίζεσθαι, ἀποτίκτεται, ἐν Ἁγίῳ Σπηλαίῳ, καὶ ἐν Φάτνῃ, ἀνακλίνεται ὡς Βρέφος, καὶ σπαργανοῦται ὡς Νήπιον.

Προεόρτια ᾄσματα, διανοίας εὐθύτητι, τῆς Χριστοῦ Γεννήσεως προηχήσωμεν. ὁ γὰρ Πατρὶ καὶ τῷ Πνεύματι, συνὼν καὶ ὁμότιμος, διὰ σπλάγχνα οἰκτιρμῶν, ἐνδυσάμενος φύραμα, μέλλει τίκτεσθαι, Βηθλεὲμ ἐν τῇ Πόλει, οὗ τὸν τόκον, τὸν ἀπόρρητον Ποιμένες, μετ᾽ Ἀγγέλων ὑμνήσωμεν.

Τὴν ἑρμηνεύτον Σύλληψιν, καὶ ἀνέκφραστον Γέννησιν, ἡ Παρθένος βλέπουσα, κατεπλήττετο, καὶ προσεφθέγγετο χαίρουσα, ὁμοῦ καὶ δακρύουσα· ἐπιδώσω σοι μαζόν, τῷ τὰ σύμπαντα τρέφοντι, ἢ ὑμνήσωσε, ὡς Υἱόν καὶ Θεόν μου; ποίαν εὕρω, ἐπὶ σοὶ προσηγορίαν; ἀκατονόμαστε Κύριε.

Ἕτερα στιχηρὰ προσόμοια, τῆς Ἁγίας. Ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε προμηθείᾳ θεϊκῇ, προγινωσκομένη προῆλθες, ἔξω τῆς Πόλεως, Κόσμου τὴν τερπνότητα, σοφῶς κατέλιπες, καὶ ψαλμῶν ἐπακούσασα, τερπνῆς μελῳδίας, θείας ἐπιγνώσεως, φωτὶ κατηύγασε, φόβον, ἐν γαστρὶ συλλαβοῦσα, θεῖον καὶ Σωτήριον Πνεῦμα, τοῖς συνοδοιπόροις σου τεκοῦσα σεμνή.

Ὅτε ἐνεμφανίσθης τῷ Χριστῷ, τοὺς σοὺς ὑπηρέτας προθύμως, αὐτῷ προσήγαγες, προῖκα τούτους ἔμψυχον, ὥσπερ ἐνέγκασα, μιμουμένους στερρότητα, τὴν σὴν Εὐγενία, πίστει τε καὶ χάριτι, σαφῶς ἐκλάμποντας, πᾶσαν ἀρετὴν ἀσκουμένους, Μάρτυρας θεόφρονας ὄντως, πᾶσι τὴν εὐσέβειαν κηρύττοντας.

Αἴγλῃ τῇ τοῦ Πνεύματος σαφῶς, καταλαμπομένη Παρθένων, Χριστῷ π[illegible]σάγεις χορόν, λόγῳ τῆς σοφίας σου, ταύτας ζωγρήσασα, καὶ τὸν δρόμον δεικνύουσα, τῆς ἄνω πορείας, αἵμασι λαμπρύνεσθαι, Μαρτύρων ἔπεισας. ταύταις, συγχοροῦσα Μάρτυς, πόθον μου κατάλληλον εὗρες. ὄντως τὴν ἀπόλαυσιν Πανεύφημε.

Δόξα, καὶ νῦν. Ἰδιόμελον. Ἦχος β΄.

Ὁ δὴ καιρὸς ἤγγικε τῆς Σωτηρίας ἡμῶν. Εὐτρεπίζου Σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ Γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, ἀκούσατε Ὄρη καὶ Βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας, ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ, ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Εἰς τὸν στ. στ. Ἰδιόμελα. Ἦχος α΄.

Ἀνατολίου.

Προεορτάσωμεν λαοί, Χριστοῦ τὰ Γενέθλια, καὶ ἐπάραντες τὸν νοῦν ἐπὶ τὴν Βηθλεέμ, ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὴν Παρθένον, τοῖς ψυχικοῖς λογισμοῖς, ἐπειγομένην τίκτειν ἐν Σπηλαίῳ, τὸν τῶν ὅλων Κύριον καὶ Θεὸν ἡμῶν. ὃν Ἰωσὴφ κατιδών, τῶν θαυμάτων τὸ μέγεθος, ἐδόκει ἄνθρωπον θεωρεῖν, ὡς βρέφος σπαργανούμενον, ὑπενόει δὲ ἐκ τῶν πραγμάτων Θεὸν εἶναι ἀληθινόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Προεορτάσωμεν λαοί, Χριστοῦ τὰ Γενέθλια,



Digitized by Google

θλια, καὶ τὸν νῦν ἐπάραντες ἐπὶ τὴν Βηθλεέμ, ἀναχθῶμεν τῇ διανοίᾳ, καὶ κατίδωμεν τὸ ἐν Σπηλαίῳ μέγα μυστήριον· ἤνοικται γὰρ ἡ Ἐδέμ, ἐκ Παρθένου Ἁγνῆς, Θεοῦ προερχομένου, τέλειος ὑπάρχων ὁ αὐτὸς, ἐν Θεότητι καὶ ἀνθρωπότητι. διὸ κράξωμεν· Ἅγιος ὁ Θεὸς, ὁ Πατὴρ ὁ ἄναρχος. Ἅγιος Ἰσχυρὸς, ὁ Υἱὸς ὁ σαρκωθεὶς, Ἅγιος Ἀθάνατος, τὸ Πανάγιον Πνεῦμα, Τριὰς Ἁγία δόξα σοι.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ Γῆ. ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, πρόεισι τεχθῆναι ἐκ Κόρης ἀπειράνδρου. εὐδοκίᾳ τοῦ φύσαντος αὐτὸν ἀπαθῶς, καὶ συνεργείᾳ, τοῦ Ἁγίου Πνεύματος. Βηθλεὲμ εὐτρεπίζου. ἄνοιγε πύλην ἡ Ἐδέμ, ὅτι ὁ ὢν γίνεται ὃ οὐκ ἦν, καὶ ὁ πλαστουργὸς πάσης Κτίσεως ἀναπλάττεται, ὁ παρέχων τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. β'.

Βύζαντος.

Σπήλαιον εὐτρεπίζου· ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. Φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, Χρυσὸν καὶ Λίβανον καὶ Σμύρναν, τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρὸς, ὅνπερ καὶ κύψασα, δουλικῶς ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο, τῷ ἐν ἀγκάλαις αὐτῆς, πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

Ἀπολυτίκιον. Ἦχος δ'.

Ἀπεγράφετο ποτὲ, σὺν τῷ Πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐκ σπέρματος Δαβὶδ, ἐν Βηθλεὲμ ἡ Μαριὰμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι. ἀλλ' ὡς τερπνὸν Παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Δόξα. Ἡ Ἀμνάς σου Ἰησοῦ.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἐν τοῖς Ἀποδείπνοις, ψάλλομεν τὸν παρόντα προεόρτιον Κανόνα, εἰς δ'.

Οὗ ἡ ἀκροστιχίς. Κατὰ Ἀλφάβητον.

Ὠδὴ α'. Ἦχος Πλ. β'. Ὁ Εἱρμός.

„Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον, φάτνῃ κρυπτόμενον, κτεῖναι ἐζήτει ὁ Ἡρώδης. ἀλλ' ἡμεῖς σὺν Μάγοις μέλψωμεν τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ἄρχων ἐξ Ἰούδα, ἐξέλιπεν ἤδη ᾧ γὰρ ἀπόκειται, καθὼς προγέγραπται, ἡ τῶν ἐθνῶν προσδοκία, Ἰησοῦς Χριστὸς ἐλήλυθε, καὶ Σπηλαίῳ τίκτεται, δι' ἄκραν ἀγαθότητα.

Βηθλεὲμ εὐφραίνου, ἡ Πόλις Ἰούδα. ἐν σοὶ γὰρ τίκτεται, Χριστὸς ὁ Κύριος. ἡ Οἰκουμένη σκιρτάτω, δεχομένη ἀπολύτρωσιν. χορευέτω ἅπασα, ἡ Κτίσις ἑορτάζουσα.

Γένος τῶν ἀνθρώπων, βουλόμενος σῶσαι ὁ ὑπεράγαθος, μήτραν ἐσκήνωσεν, ἀπειρογάμου Παρθένου. καὶ ἰδοὺ τεχθῆναι ἔρχεται. τοῦτον προσκυνήσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ Σπηλαίῳ τικτόμενον, θαμβητικῶς συνείχετο, οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

Δούλου φορέσαι σχῆμα, ἠθέλησας, ὅπως με τῆς δουλείας, τοῦ πονηροῦ λυτρώσῃ. ὑμνολογῶ σου τὸ εὔσπλαγχνον, Λόγε Πατρὸς συνάναρχε, καὶ συναΐδιε. δόξα τῇ οἰκονομίᾳ σου.

Ἔρχεται ἡ Παρθένος, τὸν Κύριον, ἀποτεκεῖν Σπηλαίῳ. προφθάσατε οἱ Μάγοι. Ποιμένες νῦν παραγίνεσθε, ὕμνον ἐξ ὕψους Ἄγγελοι, ἐπανακράξατε, ὤφθη τῶν βροτῶν ἡ λύτρωσις.

Ζητῶν με τὸν πλανηθέντα, φιλάνθρωπε καὶ σπήλαιον δεχθέντα, λῃστῶν δι' ἔργα ἄκαρπα νῦν παραγέγονας, ἐκ τῆς Παρθένου σήμερον, τεχθῆναι Δέσποτα, δόξα Λόγε τῇ ἐλεύσει σου.



Digitized by Google

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

„Τὴν ἐκ Παρθένου παρουσίαν σου, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα. σὺ ἐκ Θαιμὰν σαρκούμενος, ἥκεις Λυτρωτὴ, τὸν Ἀδὰμ ἀπωσμένον, ἀνακαλέσασθαι.

Ἡ φωταυγὴς Νεφέλη ἔρχεται, ἀνατεῖλαι Χριστὸν, ἐκ μητρικῶν λαγόνων, δικαιοσύνης ἥλιον, ἅπασαν τὴν γῆν, φρυκτωρίαις ἐνθέοις, καταλαμπρύνοντα.

Θεὸς ἀνθρώποις ὤφθη ὅμοιος, καὶ πτωχύνει σαρκὶ, ἵνα ἡμᾶς πλουτίσῃ, καὶ ἐν Σπηλαίῳ τίκτεται. τοῦτον οἱ πιστοὶ καθαρᾷ διανοίᾳ, ὑποδεξώμεθα.

Ἰδοὺ Χριστὸς ἐν πόλει τίκτεται, Βηθλεὲμ τὴν Ἐδὲμ, ὅπως ἡμῖν ἀνοίξῃ, παρακοὴ τὸ πρότερον, ὄφεως κλοπῇ, κεκλεισμένην, ἐνθέως πανηγυρίσωμεν.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„Πρὸς σὲ ὀρθρίζω, τὸν δι᾽ εὐσπλαγχνίαν, ἑαυτὸν τῷ πεσόντι, κενώσαντα ἀτρέπτως, καὶ δούλου μορφὴν, ἐκ Παρθένου φορέσαντα, Λόγε Θεοῦ εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Καρδία πᾶσα, γηθομένη σκιρτάτω, εὐφραινέσθω ἡ Κτίσις, ὁ Κύριος γεννᾶται, ἐκ Κόρης Ἁγνῆς, Βηθλεὲμ ἐν Σπηλαίῳ, καὶ Μάγοι αὐτῷ, προσκομίζουσι δῶρα νῦν ἐπάξια.

Λαὸς ὁ πάλαι, ἐν σκιᾷ θανάτου, καθεζόμενος βλέψον τὸ φῶς σοι ἀνατεῖλαν, ἐκ τῆς Παρθένου, καὶ πολλῆς θυμηδείας ἐμπλήσθητι, τὸν πτωχεύσαντα Λόγον, μεγαλύνων ἀεί.

Μικρῷ Σπηλαίῳ, ἔρχῃ χωρηθῆναι, ὁ ἀχώρητος φύσει, ὅπως με σμικρυνθέντα, τῇ παραβάσει, μεγαλύνῃς δι᾽ οἶκτον ἀμέτρητον. προσκυνῶ σου, τὸ εὔσπλαγχνον Μακρόθυμε.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων, ἐκύκλωσέ με. καὶ τὸν κλύδωνα μηκέτι φέρων, ὡς Ἰωνᾶς, τῷ Δεσπότῃ βοῶ σοι, ἐκ φθορᾶς με ἀνάγαγε.

Νόμων σε ἡ Παρθένος, τῶν τῆς σαρκὸς δίχα Κύριε, παραγίνεται ἀποκυῆσαι, ἐν τῷ Σπηλαίῳ καὶ φάτνῃ, σαρκὶ, προσανακλινεῖ σε ὡς νήπιον.

Ζένον γεγεννημένον, παραβάσει με ὁ Ὑπέρθεος, τεχθεὶς ἐκ Κόρης ἀπειρογάμου, δι᾽ οἶκτον πολίτην, οὐρανοῦ ἀποδείκνυσιν.

Ὄρη τε καὶ νάπαι καὶ κοιλάδες εὐφράνθητε, ὁ γὰρ Χριστὸς σαρκὶ γεννᾶται, ἀνακαινίζων τὴν Κτίσιν, φθαρεῖσαν πονηρᾷ παραβάσει.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

„Οἱ Παῖδες ἐν Βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν, ἀλλ᾽ ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πῶς σε σμικρότατον Λόγε, καθυποδέξεται Σπήλαιον; τὸν πτωχείᾳ πολλῇ, τὴν πτωχείαν τοῦ Ἀδὰμ ἀφελόμενον, καὶ σοῦ τῆς θείας χάριτος, τοὺς ἀνθρώπους πλουτίσαντα;

Ῥήματα ξένα Ποιμένες, ἀκηκοότες κατέσπευσαν Βηθλεὲμ κατιδεῖν, καὶ ἐν φάτνῃ καὶ ἀλόγων τὸν λύσαντα, τῆς ἀλογίας ἅπαντας, εὐσεβῶς προσεκύνησαν.

Στόματι καὶ καρδίᾳ, τὸν ἐν σαρκὶ ἀφικόμενον, γεννηθῆναι Χριστὸν ἐν Σπηλαίῳ, ἐκ Παρθένου νεάνιδος, ὑμνολογοῦσαι ᾄσωμεν, καὶ πιστῶς προσκυνήσωμεν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Νόμον Πατρῴων, οἱ μακάριοι, ἐν Βαβυλῶνι νέοι, προκινδυνεύοντες, βασιλεύοντος κατέπτυσαν, προστάγματος ἀλογίστου, καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρατοῦντος ἐπάξιον, ἀνέμελπον τὸν ὕμνον, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ὑπὲρ λόγον, μόνον Κύριον σεσαρκωμένον Κόρη, καὶ περικείμενον, τῶν ἀνθρώπων τὸ ὁμοίωμα, κατέχουσα ἀγκάλαις, καὶ προσκυνοῦσα, κατασπαζομένη μητρικῶς, τέκνον ἔφης γλυκύτατον, πῶς σε οὕτως κατέχω, τὸν κατέχοντα χειρὶ πᾶσαν τὴν Κτίσιν, καὶ χειρὸς δουλείας, αὐτὴν ἐλευθεροῦντα;

Ὑμ-

Digitized by Google

Ὑμνολογῆσαι, θεῖοι Ἄγγελοι, τὸν ἐπὶ γῆς τεχθέντα, διατρεπίσθητε. Μάγοι δῶρα ὁδηγούμενοι, προσάξατε ἀστέρι. Ποιμένες τοῦτον ἀσπάσατε, ἰδεῖν ταῖς μητρικαῖς, ὥσπερ νήπιον κράζοντες, καθήμενον ἀγκάλαις· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Φωτὸς Νεφέλη, Παναμώμητε, πῶς σπαργανώσει νέφει τὸν ἐπενδύοντα, Οὐρανοὺς ἀρρήτῳ ἐνδύματι; πῶς ἀλόγων ἐν φάτνῃ, ἐπανακλινεῖς, τὸν τῆς ἀλογίας τοὺς βροτοὺς, διὰ ἔλεος ἄμετρον, ῥυσάμενον Δεσπότην; ὃν πᾶσα προσκυνεῖ φόβῳ Κτίσις, ἀνυμνολογοῦσα, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς
„ἀξίαν, ἰλιγγιᾷ δὲ νοῦς, καὶ ὑπερκόσ-
„μιος, ὑμνεῖν σε Θεοτόκε. ὅμως ἀγαθὴ ὑ-
„πάρχουσα, τὴν πίστιν δέχου. καὶ γὰρ τὸν πό-
„θον οἶδας τὸν ἔνθεον ἡμῶν. σὺ γὰρ Χρι-
„στιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Χαῖρε δοχεῖον ἄχραντον, χαρᾶς ἀνεκφράστου. ἰδοὺ γὰρ ἔρχῃ τέξασθαι ἐν Σπηλαίῳ, ἀπορρήτως τὸν Δεσπότην, μέλλοντα τὴν Κτίσιν ἅπασαν, καταφθαρεῖσαν, τῇ παραβάσει πρώην, καινίσαι ἀληθῶς, τοῦτον ὑμνολογοῦντες ἐν πίστει, σὲ μεγαλύνομεν.

Ψυχαὶ δικαίων πᾶσαι, ὑποχθόνιαι ἅμα ἀγαλλιᾶσθε. ἡ πάντων ἀπολύτρωσις, ἰδοὺ γὰρ ἐπεφάνη, πόλει Βηθλεὲμ τικτόμενος. ἀστὴρ δὲ τοῦτον καταμηνύει. Μάγοι ζητοῦσιν εὐσεβῶς. ὅνπερ κατιδόντες Σπηλαίῳ, θάμβους ἐπλήσθησαν.

Ὡς Οὐρανόν σε ἄλλον, ἀνυμνοῦμεν Παρθένε δικαιοσύνης, Ἥλιον ἡμῖν, ἐκ λαγόνων παναγίων, μέλλοντα ἀνίσχειν Ἄχραντε φωταγωγοῦντα, τοὺς ἐν σκότει ὄντας, θανάτου καὶ φθορᾶς. ὅθεν χρεωστικῶς ἐν αἰνέσει, σὲ μεγαλύνομεν.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α΄. στιχολογίαν. Κάθισμα.

Ἦχος πλ. β΄.

Ἀγγελικαὶ δυνάμεις.

Τῶν Προφητῶν αἱ ῥήσεις, νυνὶ πεπλήρωνται. ὁ γὰρ Θεὸς ἡμῶν αὔριον τίκτεται, ἐκ Παρθένου Μαρίας ὑπὲρ λόγον, καὶ μένει ὥσπερ ἦν πρὸ τοῦ τόκου. ἀθροίζονται οἱ Μάγοι, δῶρα κομίζοντες. ἀγραυλοῦσι Ποιμένες. ἐπᾴδομεν καὶ ἡμεῖς, ὁ ἐκ Παρθένου τεχθεὶς, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Τὸ αὐτό.

Εἰς τὴν β΄. στιχολογίαν. Ἦχος πλ. δ΄. Αὐτόμελον.

Αὐλῶν Ποιμενικῶν, καταπαύων ᾆσμα, στρατὸς Ἀγγελικὸς, ἐπεφώνει λέγων. παύσασθε ἀγραυλοῦντες, οἱ τῶν θρεμμάτων ἡγεμονεύοντες, κράξατε ἀνυμνοῦντες, ὅτι ἐτέχθη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Εἶτα. ὁ Ν΄. καὶ οἱ Κανόνες. οἱ δύω προεόρτιοι, μετὰ τῶν Εἱρμῶν, εἰς ι΄. καὶ τῆς Ἁγίας, εἰς δ΄. Κανὼν προεόρτιος.

Οὗ ἡ ἀκροστιχίς.

Καὶ σήμερον δὲ, Σάββατον μέλπω μέγα.

Ἄνευ τῶν Εἱρμῶν.

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμός.

„Κύματι θαλάσσης, τὸν κρύψαντα
„πάλαι, διώκτην τύραννον, φάτνῃ
„κρυπτόμενον, κτεῖναι ζητεῖ ὁ Ἡρώδης,
„ἀλλ' ἡμεῖς σὺν Μάγοις μέλψωμεν. τῷ
„Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου, γενέθλιον ὕμνον, καὶ προεόρτιον, ᾠδήν σοι ᾄσομαι, τῷ τῇ γεννήσει σου θείαν, ἀναγέννησιν διδόντι μοι, καὶ εἰς τὴν προτέραν με, εὐγένειαν ἀνάγοντι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν φάτνῃ, τὰ ὑπερκόσμια, καὶ τὰ περίγεια, κατανοοῦντα Σωτήρ μου, κατεπλήττοντο τὸ κράτος σου, ὑπὲρ νοῦν ὡράθης γὰρ, διπλοῦς φύσει Θεάνθρωπος.

Ἵνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, κλίνας ἐλήλυθας, τοὺς Οὐρανοὺς ἕως γῆς. ὡς γὰρ ἐν πόκῳ κατέβης, ὑετὸς ἐν μήτρᾳ Παρθενικῇ, ἐξ ἧς νῦν τεχθήσεσθαι, διπλοῦς ἔρχῃ Θεάνθρωπε.

Ἕτερος Κανὼν προεόρτιος, οὗ ἡ ἀκροστιχίς.

Κατὰ ἀλφάβητον. Ὠδὴ α΄. Ἦχος β΄.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἀπογραφῆς Καίσαρος θεσμῷ, θέλων ἀπογράψασθαι, βίβλῳ ζωῆς Παμβα-

σιλεῦ

Digitized by Google

σπλεῦ τὸν ἄνθρωπον, ξένος εἰς τὰ ἴδια, παραγενόμενος, τὸν δεινῶς ξενιτεύσαντα, ἐκ τοῦ Παραδείσου, εἰς τὸν οὐρανὸν ἀνακαλούμενος.

Βηθλεὲμ ὑπόδεξαι Χριστόν, σοὶ γὰρ σωματούμενος, ἐπιδημεῖ, τὴν Ἐδὲμ ἐξανοίγων μοι. εὐτρεπίζου Σπήλαιον, τὸν ἀχώρητον, θεωρῆσαι χωρούμενον, ἐν σοὶ παραδόξως, πλούτῳ εὐσπλαγχνίας νῦν πτωχεύσαντα.

Γεννηθῆναι ἔρχεται Χριστός, ξένην ἀναγέννησιν, τοῖς ἐξ Ἀδάμ, ὡς ἀγαθὸς δωρούμενος, εὐφράνθητι ἔρημος, ἡ οὐ τίκτουσα, τῶν βροτῶν φύσις ἅπασα, ἦλθεν ὁ Δεσπότης, σὲ πολυτεκνοῦσαν ἀπεργάσασθαι.

Ἕτερος Κανὼν τῆς Ἁγίας.

Οὗ ἡ ἀκροστιχίς.

Εὐγενίης μέγα κῦδος, ἐν ᾄσμασιν ἔξοχα μέλπω.

Ὠδὴ α'. Ἦχος καὶ Εἱρμός, ὁ αὐτός.

Εὐγενία Μάρτυς τοῦ Χριστοῦ, νῦν περιχορεύουσα, χαρμονικῶς σὺν Ἀγγέλων στρατεύμασιν, ὡς Παρθένος ἄμωμος, καὶ ὡς Μάρτυς στεφανηφόρος Πανόλβιε. χαίρειν δωρηθῆναι, πρέσβευε τοῖς πόθῳ ἀνυμνοῦσί σε.

Ὑμνῳδίας Νύμφη τοῦ Χριστοῦ, θείας ἐπακούσασα, πρὸς ὑψηλήν, ἐπτερώθης εὐγένειαν. ὡς γὰρ φῶς ἐνήστραψε, τῇ καρδίᾳ σου τῶν, ᾀσμάτων τοῦ Πνεύματος, ἡ θεολογία, πᾶσαν ἀθεότητα διώκουσα.

Γυναικείας φύσεως ὁ σός, νοῦς ἐπιλαθόμενος, πρὸς ἀνδρικάς, ἐνεργείας ἀνέδραμεν, ἀνδρωθεὶς τῇ χάριτι, καὶ Θεῷ προνοητικῶς εὐφραινόμενος, Μάρτυς Εὐγενία, Θείας εὐγενείας ὁ ἐπώνυμος.

Ἐλλαμφθεῖσα φέγγει νοητῷ, πλείστης τῆς ἐλλάμψεως, συμμετασχεῖν, ἀπειργάσω θεόσοφε, ἧς νῦν τοὺς ὑμνοῦντάς σε, λυτρουμένη τῆς ἁμαρτίας ἀξίωσον, ταῖς σαῖς ἱκεσίαις, Μάρτυς Εὐγενία Παμμακάριστε.

Θεοτοκίον.

Νεκρωθέντες γνώσεως φυτῷ, ξύλῳ τῆς ζωῆς Ἁγνή, πρὸς τὴν ζωήν, οἱ πιστοὶ ἀνεκλήθημεν, τῷ ἐκ σοῦ βλαστήσαντι ὑπὲρ ἔννοιαν, Θεοτόκε, Χριστῷ τῷ Θεῷ.

πρὸς αὐτὸν παῤῥησίᾳ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

„ Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα, πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα, ἐν τῷ Σπηλαίῳ τικτόμενον, θαμβητικῶς συνείχετο· οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε κραυγάζουσα.

Σύμβολα τῆς ἀῤῥήτου, σαρκώσεως, παραδεικνὺς Οἰκτίρμων, ἐπλήθυνας ὁράσεις καὶ προφητείας ἐνέπνευσας. ἃς νῦν ἐλθὼν ἐπλήρωσας σαρκὶ τικτόμενος, Κόρης ἐξ Ἁγνῆς ἐν πόλει Δαβίδ.

Ἥπλωσε γῆ τὰ νῶτα, καὶ δέχεται, τικτόμενον τὸν Κτίστην, τὴν δόξαν ἐξ Ἀγγέλων, ἐξ Οὐρανοῦ τὸν ἀστέρα δέ, ἐκ τῶν Ποιμένων αἴνεσιν, ἐκ Μάγων δῶρά τε, Κόσμου τε παντὸς ἐπίγνωσιν.

Μάντεως χρησμολόγου, προβλήματα, Βαλαὰμ νῦν πληροῦνται, ἀνέτειλε γὰρ ἄστρον ἐξ Ἰακώβ, καὶ ὡδήγησε, πρὸ τὸν τῆς δόξης Ἥλιον, δῶρα κομίζοντας, Μάγους ἐκ Περσίδος ἄνακτας.

Ἄλλος. Ἐξήνθησεν ἡ ἔρημος.

Δεσμῶν ἀπολυτρούμενος, τῶν κακῶν με Κύριε, ἐνειλήθης σπάργανα, ὥσπερ βρέφος ἔρχῃ φιλάνθρωπε, προσκυνῶ σου τὴν θείαν συγκατάβασιν.

Ἐν χρόνῳ γεγονότα σε, τὸν ἀχρόνως λάμψαντα, ἐκ τοῦ Πατρὸς προέρχεται, ἡ Παρθένος τεκεῖν τὰ χρόνια, διαλύοντα πάθη τῶν ψυχῶν ἡμῶν.

Ζητῶν με τὸν πλανώμενον, παραβάσει Σπήλαιον, ὡς οὐρανὸν κατῴκησας, τὰς μονάς μοι εὐτρεπιζόμενος, τὰς ἐκεῖθεν Οἰκτίρμων Πολυέλεε.

Ἄλλος. Ἐν πέτρᾳ με τῆς πίστεως.

Ἱερεῖον ὥσπερ ἄμωμον τῷ Δεσπότῃ, προσηνέχθης διανοίᾳ τελειοτάτῃ, τὸν πλοῦτον τὸν φθειρόμενον ἀπεσείσω, βοῶσα Πάνσοφε· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε.

Ἡ πάναγνος ἐγνώσθη σου καθαρότης, διέλαμψε τῶν ἄθλων σου ἡ στεῤῥότης. τὴν πρᾶξιν γὰρ ἐπίβασιν θεωρίας, εἰργάσω κράζουσα.

Digitized by Google

ζουσα· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε.

Σωφροσύνης τῷ ἔρωτι κατεθέλχθης, ἐτήρησας τὸ καύχημα τῆς ἁγνείας, ἐγένου περιδέξιος τῇ σοφίᾳ, Χριστῷ κραυγάζουσα, σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε. Θεοτοκίον.

Μαρίαν τὴν παμάκαρτον Θεοτόκον, ὑμνήσωμεν ὡς πρόξενον Σωτηρίας. φανεῖσαν οἱ Θεόφρονες ἐκβοῶντες. οὐκ ἔστιν ἄμωμος, ὡς σὺ Παμάκαρτε, καὶ οὐκ ἔστιν ἄμεμπτος, πλὴν σοῦ Δέσποινα.

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἀγάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρέπιζε, ὁ πάντων συνοχεὺς, τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι, τῶν Οὐρανῶν αἱ δυνάμεις, οὕτως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Θεὸς ἡμῶν.

Δόξα. τῆς Ἁγίας. Ἦχος Πλ. δ'.

Τὴν Σοφίαν καὶ λόγον.

Ἐν ἀσκήσασα πόνοις ἀθλητικοῖς, ἐδοξάσθης ἀγῶσι μαρτυρικοῖς, πολλοὺς προσενέγκασα, σωζομένους τῷ Κτίστῃ σου. τῷ γὰρ θείῳ πόθῳ, λιποῦσα τὰ πρόσκαιρα, ἀνδρικοὺς ἀγῶνας, ἐτέλεσας ἔνδοξε. ὅθεν μετὰ τέλος, ἀτελεύτητον εὗρες, ζωὴν συνυπάρχουσα, τῷ Νυμφίῳ σου πάντοτε, Εὐγενία ἰσάγγελε, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Καὶ νῦν. προεόρτιον. Ἦχος. ὁ αὐτός.

Τὸ προσαχθὲν μυστικῶς.

Τῶν γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἀξίως ἅπαντες προσυπαντήσωμεν, ὡς Μάγοι δωροφορῆσαι τὰς ἀρετὰς, καὶ ᾆσαι τὸ τῶν Ἀγγέλων ᾆσμα καινὸν, τῷ ἐκ Κόρης θεόπαιδος, ἐν Βηθλεὲμ ἀφθόρως ἀνατείλαντι (?) — ἀσπορᾶς, γεννωμένῳ Θεῷ ἡμῶν, ὃν δοξάζει τὰ σύμπαντα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Τὴν ἐκ Παρθένου παρουσίαν σου, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα, σὺ
„ ἐκ Θαιμὰν σαρκούμενος, ἥκεις Λυτρωτὰ,
„ τὸν Ἀδὰμ ἀπωσμένον, ἀνακαλέσασθαι.

Ἐγγίζει ἥκει, νῦν ὁ Κύριος, προσδοκία Ἐθνῶν, καὶ σωτηρία Κόσμου. εὐτρέπιζε Σπήλαιον, πόλις Βηθλεέμ, καὶ σὺν Μάγοις Ποιμένες, δρόμῳ προφθάσατε.

Ῥωμαλαιότητι Θεότητος, συγκραθεὶς τοῖς βροτοῖς, ἑνώσει ἀσυγχύτῳ σαρκὸς ἐν ὁμοιώματι, Σῶτερ τοῦ Ἀδὰμ ἀφθαρτίζεις καὶ σώζεις ἐν τῷ προσλήμματι.

Ὁ Λόγος σὰρξ ὀφθεὶς παχύνεται, καὶ σκηνοῖ ἐν ἡμῖν, ἀρρήτῳ προμηθείᾳ. δεῦτε πιστοὶ ὀψώμεθα, δόξαν τὴν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς, παρὰ Θεοῦ καὶ Πατρός.

Ἄλλος. Ἐλήλυθας ἐκ Παρθένου.

Ἡ κτίσις νῦν, τὴν παλαίωσιν πᾶσαν ἀπορρίψον, τὸν Κτίστην κτιζόμενον, καὶ καινουργοῦντά σε βλέπουσα, νήπιον γενόμενον, καὶ πρὸς τὸ πρῶτον σε κάλλος, ἐπανάγοντα.

Θαυμάζοντες, τὸν παράδοξον τόκον ἐφίστανται, Μάγοι ὁδηγούμενοι, θείῳ ἀστέρι, καὶ βλέπουσι, Ἥλιον ἀνίσχοντα, Παρθενικῆς ἐκ Νεφέλης, δῶρα φέροντες.

Ἰδοὺ ἥκει, ἡ Παρθένος ὡς δάμαλις φέρουσα, τὸν μόσχον ἐγγάστριον, τὸν αὐτὸν τὸν ἀφαιρούμενον, Κόσμου ἁμαρτήματα· ἀγαλλιάσθω ἡ Κτίσις ἑορτάζουσα.

Κηρύγματα, Προφητῶν τοῦ Χριστοῦ τὴν παράδειξιν, μηνύοντα εἴληφε, σήμερον πέρας σωτήριον. ἦλθε γὰρ ἐπέφανε, διὰ σαρκὸς, τοῖς ἐν σκότει κινδυνεύουσιν.

[redacted] αὐτός.

Ἐλήλυθας, σαρκωθεὶς ἐκ Παρθένου ὁ ὕψιστος, σαυτῷ μνηστευσάμενος, τὰ τῶν Παρθένων συστήματα, σὲ μόνον ποθήσαντα, τὸν τῶν Παρθένων, Νυμφίον γνωριζόμενον.

Γενέσεως, σαρκικῆς ἐξεδύσω τὸ κάλυμμα, παλιγγενεσίας δὲ μὴ φθειρόμενον ἔνδυμα, Μάρτυς παναοίδιμε, φωτοειδῶς, ἠμφιάσω τῷ βαπτίσματι.

Ἀπέτειλεν, ἡ φωσφόρος αὐγὴ τῇ καρδίᾳ σου, τῆς πλάνης διώκουσα, τὴν κεχυμένην σκοτόμαιναν, φέγγει τῷ τῆς χάριτος, Μάρτυς Χριστοῦ, Εὐγενία Καλλιπάρθενε.

Κοσμίως σου, καὶ ὡραίως τὸν βίον ἐξαίδρωσας, ἀσκήσει τὸ πρότερον, σαρκὸς τὰ

Digitized by Google

τὰ πάθη μαράνασα. ὕστερον ἀθλήσει δὲ περιφανῶς, Εὐγενία διαλάμπουσα. Δόξα.

Ὑπερτέρα, τῶν Ἀγγέλων ἐγένου Πανύμνητε, τοῦ Πατρὸς γεννήσασα βουλῆς μεγάλης τὸν Ἄγγελον, ἄνθρωπον γενόμενον, διὰ πολλὴν εὐσπλαγχνίαν, τὸν φιλάνθρωπον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„ Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς „ συμπαθῶς γενομένης, Ἡσαΐας φῶς „ ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐ- „ κραύγαζεν. ἡ Παρθένος ἰδοὺ γαστρὶ, ἕ- „ ξει καὶ τέξεται σαρκούμενον Λόγον, καὶ πάν- „ τες οἱ γηγενεῖς ἀγαλλιάσονται.

Νεοποιεῖς τοὺς γηγενεῖς, ὁ Πλαστουργὸς χοϊκὸς χρηματίσας. Φάτνη γὰρ καὶ σπάργανα καὶ σπήλαιον τῆς σῆς ταπεινώσεως σύμβολα. ὁ δὲ Μνήστωρ τῆς σῆς Μητρὸς, σὸς δὲ νομιζόμενος Πατὴρ κατὰ σάρκα, τοῦ φύσαντός σε Πατρὸς, νῦν σχηματίζει βουλήν.

Διὰ τῆς Σμύρνης τὸ θνητὸν, διὰ Χριστοῦ τὸ Βασίλειον κράτος, διὰ δὲ Λιβάνου τῆς Θεότητος, τὴν ὑπεροχὴν ὑπεμφαίνουσι, Βασιλεῖς Ἐθνῶν, ἀπαρχαὶ δωροφοροῦντές σε, τὸν ἐν τῷ Σπηλαίῳ τικτόμενον, Βηθλεὲμ ἐξ ἀλοχεύτου Μητρός.

Ἐξ ἀλοχεύτου προελθὼν, ὁ τοῦ Πατρὸς Συναΐδιος Λόγος, σαρκικῶς κατῴκησας τὸ σπήλαιον, ὡς θρόνῳ τῇ Φάτνῃ χρησάμενος. καταπλήττεις δὲ, τῇ φρικτῇ οἰκονομίᾳ σου, Μάγους καὶ Ποιμένας, Ἀγγέλους τε ἐξιστᾷς, δόξα κραυγάζοντας.

Ἄλλος. Μεσίτης Θεοῦ καὶ ἀνθρώπων.

Λαὸς ὁ ποτὲ, σκότει καθεζόμενος ἰδέτω τὸ φῶς, λάμψαν τὸ ἀνέσπερον. ὅπερ ὁ ἀστὴρ πάλαι ἐμήνυσε, τοῖς τὸ πῦρ σεβομένοις, ἐκ τῆς Περσίδος Ἄναξιν.

Μικρὸν ὑπελθεῖν, Βασιλεὺς ὁ μέγας σπεύδει Σπήλαιον, κατασμικρυνθέντα με, ὅπως μεγαλύνῃ, καὶ πτωχεύσαντα, τῇ ἀμέτρῳ πτωχείᾳ, πλουτίσῃ ὁ Ὑπέρθεος.

Νῦν ἐξ Ἰακὼβ, Βαλαὰμ ὡς ἔφησε γεννᾶται Χριστὸς, Ἐθνῶν κυριεύσει τε, καὶ ἀνυψωθήσεται ἐν χάριτι, ἡ αὐτοῦ Βασιλεία, μένουσα ἀδιάδοχος.

Ἄλλος. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Δρόμον τὸν σὸν, ἀθλούμενον βλέπων πρὸς σωτηρίαν, ὄφις ὁ ψυχόλεθρος Ἀθληφόρε, ἀναρριπίζει πειρασμούς σοι ποικίλους, τὸν σὸν τόνον λύειν πειρώμενος. τοῦτον δὲ Θεόφρον Ἁγνὴ κατεπάτησας.

Ὅλη καλὴ, τῶν καλῶν τῷ δοτῆρι καὶ εὐεργέτῃ, καὶ ψυχῶν Νυμφίῳ Χριστῷ, ἐφάνης ἠγλαϊσμένη, Ἀσκητῶν ἐν ἀσκήσει, καὶ Μαρτύρων ἀθλήσει λάμπουσα, Μάρτυς Εὐγενία, Χριστοῦ Καλλιπάρθενε.

Στέφος τῇ σῇ, κορυφῇ ἐπετέθη τὸ τῶν χαρίτων. τὴν θείαν ἐτίμησας γὰρ σοφίαν, πλοῦτον καὶ δόξαν, πατρικὴν παριδοῦσα, καὶ συντόνως ἀκολουθήσασα, τῷ πεποθημένῳ, Νυμφίῳ σου Πάνσοφε. Δόξα.

Ἐν σοῦ ζωὴ, ἀνατείλασα Κόσμῳ Θεογεννῆτορ, τοὺς πρὶν τῷ θανάτῳ κεκρατημένους, ἀνακαλεῖται, πρὸς ζωῆς ἀϊδίου μετουσίαν, τοὺς πίστει κράζοντας, ἕτερον ἐκτὸς σοῦ, Θεὸν οὐ γινώσκομεν.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Συνεχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις „ κητῴοις Ἰωνᾶς. σοῦ γὰρ τὸν τύπον „ φέρων, τοῦ παθόντος καὶ σαρκὶ φανέν- „ τος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε. „ γεννηθεὶς γὰρ νῦν τὸ κατὰ σάρκα, ταφὴν „ καὶ θάνατον, ἔμελλες ὑπελθεῖν, αὖθις „ ἀναστήσεσθαι τριήμερος.

Ἀνῃρέθη, νῦν καὶ διῃρέθη, ἔχθρας τῆς ἀρχαίας τῇ σῇ, ἐνσάρκῳ παρουσίᾳ, τὸ μεσότειχον Χριστὲ καὶ νῶτα, ῥομφαία πᾶσιν, ἡ φλογίνη δίδωσι, ζωηφόρου τῆς Ἐδὲμ δὲ ξύλου, μεταλαμβάνω πιστῶς, ἀθανάτων φυτῶν, αὖθις γεωργὸς ἀναδεικνύμενος.

Βασιλεύει, σὺν τῇ ἁμαρτίᾳ, ᾅδης ἐξ Ἀδὰμ μέχρι σοῦ. ἀλλ' ἀναιρεῖται τούτου, ἡ ἀναίδεια τῆς τυραννίδος, τὸ κατὰ σάρκα τικτομένου σου Λυτρωτὰ, ἐκ φυλῆς Δαβὶδ, καὶ ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, τεθειμένου σου φῶς, καὶ εἰς τοὺς αἰῶνας βασιλεύοντος.

Βρεφοκτόνος, ἀλλ' οὐ Χριστοκτόνος, ἔφυ Ἡρώδης ὁ δεινός. εἰ γὰρ καὶ τῶν νηπίων,



Digitized by Google

ἐξεθέρισε πικρῶς τὴν χλόην, ἀλλὰ τὴν στάχυν, τῆς ζωῆς οὐκ ἴσχυσε, καταλήψεσθαι καὶ θανατῶσαι. ζωῆς γὰρ ὢν χορηγὸς, ἔλαθεν ὡς Θεὸς, θείᾳ δυναστείᾳ τὸν διώκοντα.

Ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

Ζενοτρόπως Χριστὸς εἰς τὰ ἴδια, ἔρχεται ξενώσωμεν, ἁμαρτιῶν ἑαυτοὺς, καὶ τοῦτον εἰσδεξώμεθα, ταῖς πραέων ψυχαῖς οἰκιζόμενον.

Οὐδαμῶς ἐλαχίστη ἐν Πόλεσι, Βηθλεὲμ γεγένησαι. ἐν σοὶ γεννᾶται γὰρ, ὁ Βασιλεὺς καὶ Κύριος, τοῦ ποιμᾶναι λαὸν περιούσιον.

Πῶς σμικρόν σε εἰσδέξεται Σπήλαιον, Κόσμῳ μὴ χωρούμενον, ἀπεριμόντε; πῶς ὁραθήσῃ νήπιος, ὁ Πατρὶ συνωμούμενος Ἄναρχος; Ὁ αὐτός.

Νυσταγμὸν σοῖς βλεφάροις οὐκ ἔδωκας, ἕως ἡδυπάθειαν, πᾶσαν ἐνέκρωσας, καὶ καθαρὸν τῷ Κτίστῃ σου, σεαυτὴν ἀπετέλεσας σκήνωμα.

Αἰγυπτίας τοὺς τρόπους ζηλώσασα, ἡ μεμελασμένη, καὶ πρᾶγμα καὶ ὄνομα, συκοφαντεῖν θρασύνεται, τὴν σεπτὴν πολιτείαν σου Πάνσοφε.

Ἐπαθηρὰν ἐπεδείξω τὴν ἔνστασιν, καὶ τῶν ἰαμάτων τὴν χάριν πλουτήσασα, περιουσίᾳ πίστεως, Μοναστῶν καθηγήσω συστήματος. Θεοτοκίον.

Μυστικῶς ἐμυοῦντο τὴν ἄφραστον, πάντες οἱ Προφῆται σου, Πάναγνε γέννησιν, τηλαυγῶς τυπούμενοι, καὶ προλέγοντες πᾶσι τὰ μέλλοντα.

Κοντάκιον, προεόρτιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετ᾽ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Ὁ Οἶκος.

Πῶς θαυμάσω Παρθένον κυήσασαν, καὶ ἀστέρα τὸν τόκον μηνύοντα, βρέφος μετὰ σπαργάνων θεώμενος, μετὰ δώρων τοὺς Μάγους προσπίπτοντας; ὁρῶ καὶ φάτνην ἀτελεστάτην, καὶ Ἀγγέλους αὐτὴν περιθέοντας, καὶ τῶν πάντων Δεσπότην ὑμνοῦντας ᾠδαῖς, καὶ βοῶντας τό, δόξα Θεῷ, τῷ ἐν ὑψίστοις, τῷ εὐδοκήσαντι γενέσθαι Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Κοντάκιον ἕτερον τῆς Ἁγίας. Ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Τὴν τοῦ Κόσμου πρόσκαιρον, φυγοῦσα δόξαν, τὸν Χριστὸν ἐπόθησας, τὸ εὐγενές σου τῆς ψυχῆς, ἀδιαλώβητον σώζουσα, Μάρτυς Θεόφρων, Εὐγενία Πανεύφημε. Ὁ Οἶκος.

Βίῳ καὶ λόγῳ καθαρῷ καὶ χάριτι Παρθένε, ἀεὶ κεκοσμημένη, σαυτὴν θῦμα προσήγαγες, τῷ ἐκ Παρθένου δι᾽ ἡμᾶς σάρκα ἀνειληφότι, καὶ τεχθέντι ἐπὶ γῆς, δι᾽ εὐσπλαγχνίαν ἄφατον, καὶ διπλοῖς ἐκόσμησε δόξης ἐν στεφάνοις, εὐπρεπῶς σε ὁ Δεσπότης. ἁγνείαν γὰρ ὡς ἄσαρκος τηρήσασα Σεμνὴ, ὡς ἄμωμος Νύμφη, συνεισῆλθες αὐτῷ εἰς τὸν οὐράνιον νυμφῶνα, ὅλη φαεινὴ, τοῖς ἄθλοις πεποικιλμένη, Μάρτυς Θεόφρων, Εὐγενία Πανεύφημε.

Τῷ αὐτῷ Μηνὶ ΚΔ. Μνήμη τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος Εὐγενίας, καὶ τῶν σὺν αὐτῇ.

Στίχ. Στεφθεῖσα πρῶτον τοῖς πόνοις Εὐγενία.

Βαφὴν ἔβαψω δόξοποιὸν ἐκ ξίφους.

Τέτλαθι Εὐγενίη ξίφος εἰκάδι ἀμφὶ τετάρτῃ.

Ἐξ Εὐγενείας δυσσεβοῦς ὥς τις κλάδος, ῥοὴ λαθεν Εὐγενία δόξα τοῦ γένους.

Ῥώμης μὲν αὕτη τῆς παλαιᾶς ἐξέφυ,

Γεννήτορες δὲ τὴν Ἀλεξάνδρου Πόλιν,

Ἐκ Βασιλέως εἰς τιμὴν εἰληφότες,

Σὺν Εὐγενίᾳ καὶ τεκούσῃ συζύγῳ.

Λαθοῦσα τοίνυν σὺν δυσὶν ὑπηρέταις,

Ἐξῆλθε νυκτὸς φυγὰς ἡ Εὐγενία.

Καὶ προσρυεῖσα τινὶ τῶν Ἐπισκόπων,

Ἐν ἀνδρικῷ σχήματι καὶ λυσαμένη,

Λουτρὸν τὸ θεῖον, ἀποκαρεῖσα τρίχας,

Ἐξ Εὐγενίου λαχοῦσα κλῆσιν τρέχει.

Πρὸς τὴν μονὴν βαδίσας ὄρθρου σὺν τάχει,

Με-

Digitized by Google

Μετῆλθεν εἰς ἅπασαν ἀρετὴν μόνοις.
Ἀγῶσι μόχθοις καὶ στάσει τῇ παννύχῳ,
Τοσοῦτον ἐξέλαμψε φωστὴρ ὡς μέγας,
Ὡς τῶν ἀδελφῶν τῆς μονῆς προστασίαν,
Παρακαλούντων κατέχειν καὶ διέπειν,
Τοῦ προστατοῦντος ἐκλιπόντος τὰ κάτω.
Λόγοις δυσωπηθεῖσα φλογμῷ τοῦ πόθου,
Συγκατένευσε μὴ θέλουσα τῇ βίᾳ.
Οὕτως τὸν Εὐγένιον ὁ ψιλὸς λόγος,
Ἔδειξε πᾶσι λαμπρότατον καὶ μέγαν,
Πρᾶξις δὲ πάντας καὶ μόνη θεωρία,
Εἷλκε ξενικῶς ὡς σίδηρον μαγνίτης,
Εἰς ἀπόλαυσιν τῶν καλῶν τῆς ἰδέας.
Ἀλλ' ἡ μέλαινα τὴν ψυχὴν Μελανθία,
Σύμμικτος οὖσα τῷ λαῷ φεῦ τοῦ μύσους,
Ὡς εἶδεν Εὐγένιον ὡραῖον φύσει,
Ἔρωτι δεινῷ συσχεθεῖσα τῆς θέας,
Κενὴν πρόφασιν ἠξίου μακρὰν νόσον,
Ἣν εἶχε κρύφα καὶ κατὰ μόνας λέγει.
Ἄλλως γὰρ οὐκ ἔνεστι φυγεῖν τὴν νόσον.
Εὐγένιος δὲ συντριβῇ τῆς καρδίας,
Τοῖς ἀπατηλοῖς τῆς Μελανθίας λόγοις,
Ἐξ ἁπλότητος εἴξας ὡς Θεῷ φίλον,
Συγκατένευσεν ἀγνοήσας τὸν δόλον.
Ὡς δ' οὖν ὁ οἶστρος τῆς Μελανθίας πλέον,
Ἀνῆψε πυρσὸς ὡς ἔρωτα καρδίας.
Καὶ τυφλὸς ὥσπερ ἀποβαλοῦσα κόρας,
Τὴν προσβολὴν ἔπραξε καῦσιν τοῦ πάθους.
Καὶ μὴ τυχοῦσα τῶν σκοπῶν ἀπερρίφη.
Τοιάδε συνέγραψε τῇ Εὐγενίᾳ.
Ὡς τῆς μονῆς τῆς δεῖνα Θεῖος προστάτης,
Γυναῖκας ἁγνὰς ἀπατῶν δόλου λόγοις,
Κἀμοὶ προσῆλθε πόρνος ὢν τολμητίας.
Ὁ γοῦν Ἔπαρχος καὶ Πατὴρ ὢν τῆς Κόρης,
Εὐθὺς ἀκούσας καὶ χόλου πλησθεὶς ὅλος,
Πρὸς τὴν μονὴν ἐκπέμψας ἐν πολλῷ τάχει,
Τὸν Εὐγένιον ὡς τῆς μονῆς προστάτην,
Καὶ τοὺς Μοναχοὺς ὡς κριτοὺς καὶ δεσμίους,
Καὶ ψευδολάτρας ἢ πλέον κακεργάτας,
Ὑπαρχικῷ βήματι παρισταμένους,
Λόγους ὑποσχεῖν ἀποφαίνεται κρίσει.
Ὡς οὖν παρέστη τὰ μέρη πρὸς τὴν δίκην,
Ἤρξατο δ' αὖθις τοῦ λέγειν Μελανθία,
Ὕβρεις καταχέουσα θείου προστάτου,
Ἐπιγελῶσα λοιδοροῦσα στωμύλως,
Καὶ τοῖς τυχοῦσιν ἐν θρασύτητι λόγων,
Ἐπιβοῶσα δεικνύουσα τοῖς φίλοις,
Δακτυλοδείκτως τοῦ μύσους ὡς ἐργάτην,
Καὶ τοὺς ὑπ' αὐτὸν, οὓς φθορεῖς τολμᾷ λέγειν,
Τρανῶς ἀναβοῶσα καὶ λέγουσά πως.
Ἅπαντες ἀκούσατε τἀληθῆ λέγω,
Τῆς ἀνοχῆς σου Δέσποτα Παντοκράτωρ,
Χιτῶνα ῥήξας Εὐγένιος αὐτίκα,
Δείκνυσιν εὐθὺς θαῦμα φρικτὸν καὶ ξένον,
Καὶ τοῖς παροῦσι προσλαλεῖ παρρησίᾳ.
Ἔδει μὲν ἡμᾶς εὐχαριστεῖν καὶ φέρειν,
Ὕβρεις γέλωτας καὶ κακώσεις σωμάτων,
Ἀλλ' ἵνα μὴ τὸ σχῆμα τυγχάνῃ γέλως,
Ἐγὼ γυνὴ τὴν φύσιν εἰμὶ Θυγάτηρ,
Πατρὸς δικαστοῦ καὶ κριτοῦ μου φιλτάτου,
Μήτηρ δὲ τούτου σύζυγος τεξασά με.
Αὐτοὶ δ' ἀδελφοὶ, καὶ γὰρ οὐ δούλους λέγω.
Ταῦτα λεγούσης τῆς καλῆς Εὐγενίας,
Ἅπαντες ἐξέστησαν, ὢ πρᾶγμα ξένον.
Μελανθίαν δ' ἄνωθεν ἡ θεία δίκη,
Ὅπως μετῆλθε πᾶς ἀκούσας θαυμάσει.
Ὁ γοῦν Πατὴρ αὐτίκα τὴν δόξαν ἅμα,
Καὶ πλοῦτον αὐτὸν καὶ βίου φαντασίαν,
Γέννησιν ἀφεὶς ἀναγεννᾶται ξένην.
Ποιμὴν δὲ πιστὸς γίνεται τῶν ἐν Πόλει,
Καὶ μαρτυρικῶς διαβὰς ζωῆς τέλος,
Ταῖς τῶν ἀπίστων κατατρωθεὶς αἰκίαις,
Χαίρων ἀπέπτη πρὸς μονὰς οὐρανίους.
Μήτηρ δὲ τάχει σὺν θυγατρὶ φιλτάτῃ,
Χώραν ξένην λιποῦσα καὶ τὴν πατρίδα.
Ποθοῦσα κατῴκησεν ἐν ταύτῃ πάλιν.
Καὶ δόγματος τεθέντος εἰδώλοις θύειν,
Τοὺς Χριστιανοὺς, ἢ θανεῖν κακηγκάκως,
Λάμψασα πᾶσι φανερῶς Εὐγενία,
Χριστοῦ πόθῳ δὲ τῷ βαρεῖ πάνυ λίθῳ
Καὶ προσδεθεῖσα καὶ ῥιφεῖσα εἰς ὕδωρ,
Καὶ παραδόξως μὴ βλαβεῖσα τῷ ξίφει,
Τὴν κάραν ἐκτμηθεῖσα τῶν ἄθλων τέλος,
Χαίρουσ' ἀπέπτη πρὸς ποθεινὸν νυμφίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Βασίλλα, ἡ συμμαρτυρήσασα τῇ Ἁγίᾳ Εὐγενίᾳ, ξίφει τελειοῦται.

Στ. Τίς ἂν παραδράμῃ σε τμηθεῖσαν ξίφει,

Μάρ-

Digitized by Google

Μάρτυς βασιλέα πίστεως θείας βάσις;
Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Φίλιππος, ὁ Πατὴρ τῆς Ἁγίας Εὐγενίας, ξίφει τελειοῦται.

Στ. Μάχαιραν ὄντως δίστομον κατὰ πλάνης, Κτείνει Φίλιππον τῆς μαχαίρας τὸ στόμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ Ἅγιοι, Πρωτᾶς, καὶ Ὑάκινθος, οἱ αὐτοῦχοι καὶ συνασκηταὶ τῆς Ἁγίας Εὐγενίας, ξίφει τελειοῦνται.

Στ. Τμηθέντες Ὑάκινθε καὶ Πρωτᾶ ξίφει, Κληροῦσθε πρῶτα Μαρτύρων Θεοῦ γέρα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου Μοναχοῦ τοῦ ἀπὸ στρατιωτῶν, καὶ διήγησις ὠφέλιμος.

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Νικηφόρου, στρατιώτης τὴν τύχην. Τοῦ οὖν Βασιλέως ἐκστρατεύσαντος κατὰ Βουλγάρων, ἐξῆλθε καὶ αὐτὸς σὺν τῷ στρατοπέδῳ. Καὶ διερχόμενος, πρὸς ἑσπέραν κατέλυσεν ἐν πανδοχείῳ. καὶ συνδειπνήσας τῷ πανδοχεῖ καὶ προσευξάμενος, ἀνεκλίθη πρὸς ὕπνον. Καὶ περὶ δευτέραν ἢ τρίτην φυλακὴν τῆς νυκτὸς, ἡ τοῦ ὑποδεξαμένου αὐτὸν θυγάτηρ σατανικῷ ἔρωτι τρωθεῖσα, ἔνυξε τὸν δίκαιον, πρὸς αἰσχρὰν μίξιν ἐφελκομένη. Ὁ δὲ Ἅγιος πρὸς αὐτὴν φησί. Παῦσαι γύναι τοῦ σατανικοῦ καὶ ἀθέσμου ἔρωτος, καὶ μὴ θελήσῃς χρᾶναι τὴν παρθενίαν σου, κἀμὲ τὸν ταλαίπωρον εἰς ᾅδου πέταυρον ἀγαγεῖν. Ἡ δὲ πρὸς μικρὸν ἀνεχώρησε, καὶ μετ᾽ ὀλίγον ἐλθοῦσα, πάλιν ὤχλει τὸν δίκαιον. Ὁ δὲ Ἅγιος ἀπεπέμψατο αὐτὴν τὸ δεύτερον ἐπιτιμήσας σφοδρῶς. Ἡ δὲ πάλιν ἀναχωρήσασα, ἐκβακχευομένη τῷ ἔρωτι, ὑπέστρεψε πρὸς αὐτόν. Τότε ὁ Ἅγιος λέγει πρὸς αὐτήν. Ταλαίπωρε, καὶ πάσης αἰσχύνης καὶ ἀναιδείας πεπληρωμένη, οὐχ ὁρᾷς, ὅτι οἱ δαίμονές σε ταράσσουσιν, ἵνα καὶ τὴν παρθενίαν σου διαφθείρωσι, καὶ γέλως καὶ ὄνειδος πᾶσι, καὶ τῇ συγγενείᾳ σου ἀποκαταστήσωσι, καὶ τὴν ψυχήν σου εἰς κόλασιν ἐμβάλωσι; οὐ βλέπεις ὅτι κἀγὼ ὁ ἐλάχιστος, πρὸς ἔθνη βάρβαρα, καὶ πολέμων ἐκχύσεις πορεύομαι, τοῦ Θεοῦ ἐνδυναμοῦντός με; πῶς οὖν μιανῶ τὴν σάρκα, πρὸς πόλεμον ἀπερχόμενος; Ταῦτα καὶ ἕτερα τοιαῦτα προσειπὼν αὐτῇ, ἀπεπέμψατο, καὶ ἀναστὰς καὶ προσευξάμενος, εἴχετο τῆς ὁδοῦ. Καὶ τῇ ἐπελθούσῃ νυκτὶ ὑπνοῦντος αὐτοῦ, ὁρᾷ ἑαυτὸν εἰς εὐόπτον τόπον ἱστάμενον, καὶ πλησίον αὐτοῦ δυνάστην τινὰ καθεζόμενον, καὶ τὸν δεξιὸν πόδα τῷ ἀριστερῷ ποδὶ ἐπικείμενον ἔχοντα, καὶ φησὶ πρὸς αὐτόν. Βλέπεις ἑκατέρου μέρους τὰ στρατεύματα; Ὁ δὲ ἀπεκρίνατο· ναὶ Κύριε, ὁρῶ ὅτι οἱ Ῥωμαῖοι συγκόπτουσι τοὺς Βουλγάρους. Καὶ λέγει ὁ φαινόμενος πρὸς τὸν δίκαιον. Βλέψον πρὸς ὑμᾶς. Καὶ προσβλεψάμενος, εἶδεν αὐτὸν τὸν δεξιὸν πόδα τῇ γῇ προσερείσαντα, καὶ τὸν ἀριστερὸν ἐπάνω τοῦ δεξιοῦ ἐπιθέμενον. Οὗ γενομένου, περιβλεψάμενος πάλιν ὁ δίκαιος πρὸς τὸ στρατόπεδον, βλέπει τοὺς ὑπεναντίους ἀφειδῶς συγκόπτοντας τοὺς Ῥωμαίους. Καὶ μετὰ τὸ παύσασθαι τὴν συγκοπὴν τῶν σκηνωμάτων, λέγει ὁ καθήμενος τῷ στρατιώτῃ. Καταμόνησον ἀκριβῶς τὴν συγκοπὴν τῶν σκηνωμάτων, καὶ λέγε μοι τί τὸ ὁρώμενον; Ὁ δὲ περιβλεψάμενος, εἶδε πᾶσαν τὴν φαινομένην αὐτῷ γῆν, νεκρῶν σωμάτων πεπληρωμένην, καὶ μέσον πάντων, μιᾶς κοίτης λιβαδιαίαν χλοεράν. Καὶ λέγει αὐτῷ· Κύριε πᾶσα ἡ γῆ τῶν ἀφειδῶς κατακοπέντων Ῥωμαίων πεπληρωμένη ἐστίν. ἐκτὸς μιᾶς κοίτης. Τότε ὁ φαινόμενος φοβερὸς, εἶπε τῷ Στρατιώτῃ. καὶ τί λογίζῃ εἶναι αὐτό; Ὁ δὲ ἀπεκρίνατο. ἰδιώτης εἰμὶ Κύριε, καὶ οὐ γινώσκω. Καὶ πάλιν πρὸς αὐτὸν ὁ φοβερός. αὕτη ἡ γυμνὴ λιβὰς ἣν ὁρᾷς μιᾶς κοίτης ἔχουσα μῆκος, σή ἐστι, καὶ ἐν αὐτῇ ὤφειλες συγκοπῆναι μετὰ τῶν συστρατιωτῶν σου, καὶ τεθῆναι ἐν αὐτῇ, καὶ ἀναπληρῶσαι τὸ λεῖπον. ἐπεὶ δὲ τῇ παρελθούσῃ νυκτὶ, τὸν τρίπλοκον ὄφιν, τρισσῶς προσπαλαίσαντα, καὶ ἀποκτεῖναι θέλοντα, ἀνδρείως ἀπὸ σοῦ ἀπετίναξας, ἰδοὺ σὺ αὐτὸς ἑαυτὸν ἐκ τῆς συγκοπῆς ταύτης ἠλευθέρωσας, καὶ τῆς στιβάδος τῶν στρωμνῶν ἄμοιρον πεποίηκας, καὶ τὴν ψυχὴν σὺν τῷ σώματι σέσωκας. λοιπὸν οὔτε φυσικὸς θάνατος σοῦ κυριεύσει, ἐὰν γνησίως σύ μοι

Digitized by Google

μοι δουλεύσῃς. Ταῦτα ἑωρακώς, ἔκθαμβος καὶ σύντρομος γενόμενος, διϋπνισθεὶς καὶ ἀναστάς, προσηύχετο. Καὶ ὑποστρέψας μιᾶς ἡμέρας ὁδοῦ διάστημα, ἀνῆλθεν εἰς ὄρος. καὶ προσευχόμενος ἐδέετο τοῦ Θεοῦ περὶ τοῦ στρατοπέδου. Καὶ εἰσελθὼν ὁ Βασιλεὺς εἰς τὰς κλεισούρας τῆς Βουλγαρίας, ἀνῆλθον οἱ Βούλγαροι εἰς τὸ ὄρος, ὀλίγους ἐάσαντες εἰς παραφυλακὴν, πεντεκαίδεκα χιλιάδας, μικρόν τι πλεῖον ἢ ἔλασσον. Οὓς καὶ κατασφάξαντες οἱ Ῥωμαῖοι, ἐματαιώθησαν. ἀσυστρόφως γὰρ τῇ χώρᾳ προσρυέντες, μικροῦ πᾶσα ἡ τῶν Ῥωμαίων παράταξις φόνου ἂν ἐγένετο παρανάλωμα, σὺν τῷ Βασιλεῖ Νικηφόρῳ. Τότε ὁ δίκαιος τῆς ὀπτασίας ἀναμνησθεὶς, καὶ τῷ Θεῷ εὐχαριστήσας, ὑπέστρεψεν ἐκεῖθεν, κλαίων καὶ ὀδυρόμενος. καὶ ἀπελθὼν ἐν Μοναστηρίῳ, ἔλαβε τὸ Ἅγιον Σχῆμα, καὶ τῷ Θεῷ γνησίως δουλεύσας ἐπὶ χρόνους ἱκανοὺς, γέγονε διακριτικώτατος καὶ μέγας πατήρ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μάρτυς Ἀχαϊκὸς, ξίφει τελειοῦται.

Στιχ. Πᾶν Ἀχαϊκὸς ἐκβαλὼν ψυχῆς ἄχος.
Ὅλῃ χαρᾷ δέδωκε τὴν κάραν ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Ἀντίοχος, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ἀντιόχῳ βδέλυγμα τύρβαι τοῦ βίου,
Καὶ βίος ἅπας, ὃν παρῆλθεν ἡδέως.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

ᾨδὴ ζ'. Ὁ Εἱρμός.

„Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους Παῖδας ἐκ φλογὸς, φάτνῃ πενιχρᾷ, βρέφος ἀνακέκλιται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Φέρεται πλάνος, ἐχθρὸς Θεὸν Βρέφος κείμενον, ἐπὶ φάτνης βλέπων πενιχρᾶς, καὶ τρέμει χειρὶ, θεία δυναμούμενον, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος φάτνη. ἐν ἑαυτῇ δεξαμένη γὰρ, ὥσπερ βρέφος, τὸν Δημιουργὸν, ὡς χερουβικὸς Θρόνος ἀναδείκνυται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ βροτείῳ, τὴν ἐν ἀπαργαῖς καταθέσιν, καταδέχῃ βρέφος πεφηνὸς. δι' ὧν τοὺς δεσμοὺς, λύεις τῶν πταισμάτων μου, ἐλευθερίαν βραβεύων τοῖς βοῶσι· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν, ἡ ἐν ἀνάρχῳ γεννήσει σου, καὶ ἐν τόκῳ, τῷ μετὰ σαρκὸς, Θεότης Χριστὲ, σὺν Πατρὶ, καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Ῥανάτωσαν ἄνωθεν ὕδωρ Νεφέλαι, ὁ μέγα τιθέμενος, αὐτοῦ σεπτῶς ἐπίβασιν. Νεφέλῃ ὀχούμενος, Παρθένῳ ἔρχεται, λάμψαι φῶς ἀνέσπερον, τοῖς πρὶν ἐσκοτισμένοις, καὶ κινδυνεύουσι.

Στρατοὺς ἐντρεπίσθητι θείων Ἀγγέλων, ὑμνῆσαι τὴν ἄφατον, Κυρίου συγκατάβασιν, Μάγοι ἐπιφθάσατε, Ποιμένες προσᾴσατε. ἦλθεν ᾧ ἀπόκειται Χριστὸς, ἡ προσδοκία Ἐθνῶν, καὶ λύτρωσις.

Τί τοῦτο τὸ μέγιστον, καὶ ξένον θαῦμα; πῶς φέρω σε φέροντα, τῷ ῥήματι τὰ σύμπαντα, ἀπόρρητον γέννημα, Υἱέ μου Ἄναρχε; ἔλεγεν ἡ Πανάγνος, Χριστὸν ἐν ταῖς ἀγκάλαις, φρικτῶς κατέχουσα.

Ὁ αὐτός.

Ἀνέπτυξας ἅπασι, τῶν θεοπνεύστων, γραφῶν τὴν ἀλήθειαν, τὸ θῆλυ ἀρρενώσασα, καὶ πάντας κατέπληξας, τῷ παραδόξῳ Σεμνή. οὕσπερ καὶ προσήγαγες λαμπρῶς, πεπιστευκότας Χριστῷ Πανόλβιε.

Σοφαῖς ἐστηλίτευσας, τὴν τῶν Εἰδώλων, μανίαν Πανεύφημε, τοῖς θείοις σου διδάγμασι, Παρθένων ἀμέτρητον, μεμνηστευμένη πληθὺν, πάντων βασιλεύοντι Χριστῷ, λαμπρυνομένη, Μαρτύρων αἵμασιν.

Ἰδοῦσα τὸν βίον σου, τὸν θεοφόρον, Βασίλισσα ἡ ἔνδοξος, σὲ πόθῳ ἐμιμήσατο. Χριστῷ γὰρ μνηστεύεται, καταλιποῦσα σαρκὸς, πᾶσαν τὴν εὐπάθειαν, καὶ νῦν τῆς τῶν Μαρτύρων, χαρᾶς ἠξίωται.



Digitized by Google

Θεοτοκίον.

Νομὴν ἐθεράπευσας, τὴν τοῦ θανάτου, ἀσπόρως κυήσασα, ζωὴν τὴν ἐνυπόστατον, Παρθένε παναμώμε, Θεογεννήτορ Ἁγνή. ὅθεν σε γηθόμενοι, πηγὴν ἀθανασίας, κατονομάζομεν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν, τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ σπαργάνοις συμπλέκεται, ὁ πάντα φέρων δρακί, καὶ φάτνῃ σμικρᾷ ξενοδοχεῖται· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λέλυται δέσμιος Ἀδάμ, ἐλευθερία τε, πᾶσι δίδοται πιστοῖς, σπαργάνοις Σωτὴρ ἐμπλακέντος σου, καὶ ἐν Σπηλαίῳ σμικρῷ, καὶ φάτνῃ τῶν ἀλόγων τεθέντος. διό σοι γεγηθότες, προεόρτιον ὕμνον, ἐν τῇ σῇ γεννήσει, προσφέρομεν ἐν πίστει.

Πέπαυται πλάνη Περσική. Ἀστεροσκόποι γάρ, Βασιλεῖς ἀνατολῶν, τεχθέντι δῶρα προσκομίζουσι, Χριστῷ τῷ παμβασιλεῖ, χρυσόν τε καὶ Σμύρναν σὺν Λιβάνῳ. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν. ὢ ἀγαθότητος, καὶ ἀπείρου ἀνοχῆς. ἰδοὺ γὰρ ὡς βρέφος λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ φεύγει Θεός, θέλων Ἡρώδην. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Κάμινός ποτε.

Ὕψος ἀληθῶς, ἀρρήτου μυστηρίου, τοὺς Οὐρανοὺς γνώσει καλύψαντος, ἡ ἀμέμπτος Δέσποινα, κατεπλήττετο καὶ ἔλεγεν. ὁ θρόνος ὁ Οὐράνιος, φλέγεται καθορῶν σε, καὶ πῶς Υἱέ μου βαστάζω σε;

Φέρεις Πατρικὴν, ὁμοίωσιν Υἱέ μου, καὶ πῶς τοῦ δούλου τὸ ὁμοίωμα, πτωχεύσας ἀνέλαβες; πῶς ἐν φάτνῃ ἀνακλίνω σε, ἀλόγων τὸν ῥυόμενον, ἅπαντας ἀλογίας; ὑμνολογῶ σου τὸ εὔσπλαγχνον.

Χαῖρε πᾶσα γῆ, ἰδοὺ Χριστὸς ἐγγίζει, ἐν Βηθλεὲμ ἀποτικτόμενος. Θάλασσα εὐφράνθητι, Προφητῶν ὅμιλε σκίρτησον τὴν ἔκβασιν θεώμενος, σήμερον τῶν σῶν λόγων. πάντες ἀγάλλεσθε Δίκαιοι.

Ἄλλος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἐν Ποταμῷ νεανικῶς, ἐν πυρὶ καρτερικῶς ἐδοκιμάσθης. ἀμαρτίας γὰρ φύσεως στερρῶς διῆλθες Χριστὸν, ὑμνοῦσα, καὶ πίστει κραυγάζουσα· ὑπερευλογῶ σε, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ξενοπρεπῶς ἐπιφανείς, ὁ Χριστός σοι ἐν φρουρᾷ κατεχομένῃ, διατρέφει πλουσίως, καὶ τῇ Γεννήσει αὐτοῦ, συνάπτει, τοῖς ἄνω στρατεύμασιν, αὐτὸν εἰς αἰῶνας, δοξάζουσαν Ὁσία.

Ὁ σὸς Νυμφίος εὐπρεπῶς, ἐν στεφάνοις σε διπλοῖς καθωραΐζει, Εὐγενία Θεόφρων, καὶ σοὶ νυμφῶνα λαμπρὸν, ἐνδίκως ὁ δίκαιος δίδωσιν. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Χάρις Θεοῦ φωτοειδῶς, ἐπιλάμπουσά σε νῦν καταγλαΐζει, ἐν μοναῖς Οὐρανίοις, ἧς ἐμπλησθεῖσα ταῖς σαῖς, πρεσβείαις ἀπαύστως δυσώπησον, τοὺς ἐπιτελοῦντας, τὴν σὴν μνήμην Θεόφρων.

Θεοτοκίον.

Τῆς ἀθανασίας διαυγῆ, ἐπιστάμεθα πηγὴν σε Θεοτόκε, ὡς τεκοῦσαν τὸν Λόγον, τοῦ ἀθανάτου Πατρὸς, τὸν πάντας θανάτου λυτρούμενον, τοὺς ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„Μὴ ἐκθαμβοῦ μου ὦ Μῆτερ, καθορῶσα ὡς βρέφος, ὃν ἐκ γαστρὸς πρὸ ἑωσφόρου, τέτοκε Πατήρ. ἀναστῆσαι γὰρ, καὶ συνδοξάσαι βροτῶν, πεπτωκυῖαν τὴν φύσιν, ἐλήλυθα σαφῶς, τὴν ἐν πίστει καὶ πόθῳ, σὲ μεγαλύνουσαν.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὠδῖνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, Ἄναρχε Υἱέ. σὲ δὲ νῦν ὁρῶσα, Ἡρώδην φεύγοντα, τῇ ῥομφαίᾳ τῆς λύπης, σπαράττομαι ψυχήν. ἀλλὰ ζῆθι καὶ σῶζε, τοὺς σὲ γεραίροντας.

Γῆς μὲν ἐπέβην Αἰγύπτου, ἀλλ' Αἰγύπτου ὦ Μῆτερ, τὰ χειροποίητα κατέβαλον σεισμῷ. τὴν ψυχὴν δέ μου ματαίως ἐπιζητούντων ἐχθρῶν, πεμπομένων εἰς Ἅ-

δην

Digitized by Google

δὺ ὡς μόνος κραταιὸς, ἐπαγάξω, ἓ σώσω, τοὺς σὲ γεραίροντας.

Ἀγαλλιάσθω ἡ Κτίσις. κτίζεται γὰρ ὁ Κτίστης, ἓ ὁ προὼν νῦν πρόσφατος, γνωρίζεται Θεός. μετὰ Μάγων Ποιμένες τὸ θαῦμα, κροτήσωσιν πιστῶς, ἓ βροτοὶ τοῖς Ἀγγέλοις, συνευφραινέσθωσαν.

Ἄλλος. Ἀνάρχου γεννήτορος.

Ψαλάτωσαν χαίρουσαι, αἱ βασιλεῖαι πάσης γῆς, πατριαὶ τῶν Ἐθνῶν τε, ἀγαλλιάσθωσαν, Ὄρη ἓ Βουνοὶ ἓ Κοιλάδες, οἱ Ποταμοὶ, Θάλασσα καὶ ὅλη, ἡ Κτίσις τὸν Κύριον, νῦν τικτόμενον μεγαλύνε.

Εἰς τὰ ἴδια, ἐν ἀλλοτρίῳ ἔρχεται, ὁ Παναγίος Λόγος, Ἁγίῳ Σώματι, ξένῳ τοκετῷ ξενωθέντα, προσοικειῶν, ἑαυτῷ τὸν Κόσμον. αὐτὸν ἀνυμνήσωμεν, δι' ἡμᾶς πτωχὸν γενόμενον.

Ὦ τέκνον γλυκύτατον, πῶς τρέφω σε τὸν τρέφοντα; πῶς κρατῶ σε κρατοῦντα, τὰ πάντα νεύματι; πῶς δὲ σπαργανῶ σπαργανοῦντα, πᾶσαν τὴν γῆν, ὁμίχλη ἐβόα, ἡ Πανάγνος Δέσποινα; ἣν ἐν πίστει μεγαλύνομεν.

Ὁ αὐτός.

Μονὰς κατοικήσασα, τὰς οὐρανίους ἔνδοξε, νῦν τρυφῆς Παραδείσου, κατηξιώθης σαφῶς, μετὰ τῶν Παρθένων ὡς Μάρτυς, πανάληθής, ἓ μετὰ Μαρτύρων, Παρθένος Πανάμωμος, Εὐγενία Παμμακάριστε.

Ἐφέσεως ἔτυχες, τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν, ὀρεκτῶν ἀκροτάτῳ, παριστανένη φαιδρῶς, καὶ ταῖς φωτοβόλοις ἀκτῖσι, τῆς ἀρχικῆς, Τριάδος Θεόφρων, σαφῶς διαλάμπουσα, Εὐγενία Παμμακάριστε.

Λαμπάδα κατέχουσα, τῆς Παρθενίας ἔνδοξε, τῶν Μαρτύρων στεφάνῳ, κατακεκόσμησαι. ἓ νῦν δυσωποῦσα μὴ παύσῃ, τοὺς εὐσεβῶς, πόθῳ σε τιμῶντας, σωθῆναι πρεσβείαις σου, Εὐγενία πανάοιδιμε.

Πρὸς θεῖαν ἐξῆλθες νῦν, ἀνάψυξιν Πανάριστε, αἰκισμῶν διελθοῦσα, τὸ πῦρ τὸ ἄσβεκτον, καὶ τὸ ἀνυπόστατον ὕδωρ, τῶν πειρασμῶν, Μάρτυς Εὐγενία. Χριστὸν οὖν δυσώπησον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Ὡς πόκος Πανάμωμε, τὸν ὄμβρον τὸν Οὐράνιον, ἐν γαστρὶ συλλαβοῦσα, ἡμῖν ἐκτέτοκας, τὸν τὴν ἀμβροσίαν διδοῦντα, τοῖς εὐσεβῶς, αὐτὸν ἀνυμνοῦσι, ἓ σὲ τὴν Πανάμωμον, Θεοτόκον καταγγέλλουσιν.

Ἐξαπος. Τοῖς Μαθηταῖς.

Ὁ φῶς οἰκῶν ἀπρόσιτον, ἓ συνέχων τὰ πάντα, δι' εὐσπλαγχνίαν ἄφατον, ἐκ Παρθένου γεννᾶται, ἓ σπαργανοῦται ὡς βρέφος, ἐν Σπηλαίῳ ἓ φάτνῃ, ἀλόγων ἀνακλίνεται. σπεύσωμεν ἐπαχθῆναι, ἐν Βηθλεέμ, εἰς αὐτοῦ προσκύνησιν μετὰ Μάγων, καρποὺς ἀρίστων πράξεων, κομίζοντες ὡς δῶρα.

Ἕτερον τῆς Ἁγίας. Ὅμοιον.

Οὐδὲν ἐδειχθης κώλυμα, πρὸς τελείους ἀγῶνας, τὸ ἀσθενὲς τοῦ θήλεως, ἀοράτῳ σου σθένει, Χριστὲ ῥωννύμενον ὅθεν, Εὐγενία ἡ Μάρτυς, γενναίως ὑπερήθλησεν. ἧς τὴν ἔνδοξον μνήμην, συνῆψε νῦν, τῇ σεπτῇ γεννήσει σου ἓ φωσφόρῳ. ἣν κατεδέξω Δέσποτα, ἐκ Παρθένου Ἁγίας.

Ἕτερον Ὅμοιον. Προεόρτιον.

Ὕμνον πιστοὶ προσάξωμεν, τῇ Παρθένῳ Μαρίᾳ. ἰδοὺ γὰρ νῦν προέρχεται, Βηθλεὲμ ἐν τῇ Πόλει, τεκεῖν Χριστὸν τὸν Σωτῆρα. ὅθεν Μάγοι σὺν δώροις, μετὰ Ἀστέρος δράμετε, σὺν ἡμῖν προσκυνῆσαι. Ποιμένες δὲ, ἐκβοῆσαι, σπεύσατε σὺν Ἀγγέλοις, τῷ τικτομένῳ δόξα σοι, ἐν Σπηλαίῳ καὶ Φάτνῃ.

Ἕτερον. Ἐπεσκέψατο ἡμᾶς.

Προεξάρξωμεν πιστοὶ, φαιδρῶς πανηγυρίζοντες, τῇ τοῦ Χριστοῦ ἐπιδείξει. ἡ Παρθένος γὰρ ἰδοὺ, τεκεῖν αὐτὸν ἐπείγεται, Βηθλεὲμ ἐν τῇ πόλει, εἰς Κόσμου ἀνάπλασιν.

Εἰς τοὺς Αἴνους, ἱστ. προσόμ. Ἦχος πλ. β'.

Αἱ Ἀγγελικαί.

Ὡς τῶν ὑπὲρ νοῦν, ἓ ἀρρήτων μυστηρίων, τίκτεται Θεὸς, ἐπὶ γῆς δι' εὐσπλαγχνίαν, τὴν δουλικὴν εἰκόνα, ἑαυτῷ περιθέμενος, ὅπως τῆς δουλείας ἀφαρπάσῃ, τῆς τοῦ ἀλλοτρίου τοὺς βοῶντας, πόθῳ ζέοντι



Digitized by Google

τι· εὐλογημένος εἶ Σωτὴρ, ὁ μόνος φιλάνθρωπος.

Δεῦρο Ἰσραὴλ, βαρυκάρδιε ἀπόθου, τὸ ἐν τῇ ψυχῇ, ἐπικείμενόν σοι νέφος. ἐπίγνωθι τὸν Πλάστην, ἐν Σπηλαίῳ τικτόμενον. οὗτος τῶν Ἐθνῶν ἡ προσδοκία, οὗτος καθελεῖ τὰς ἑορτάς σου. βοᾶν οὐ παύσῃ γὰρ, ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγίνεται.

Ὅπου ὁ Χριστὸς, τίκτεται ἴωμεν πάντες, ἔχοντες ἐν νῷ, τὸν τῆς πίστεως ἀστέρα. ἐκεῖ γὰρ βαδίσαντες, νοητῶν καὶ προφθάσωμεν, ὡς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, αὐτὸν ὀψώμεθα τεχθέντα, καὶ προσάξωμεν, δῶρα ἐπάξια αὐτῷ, ἀρετῶν τὰ κρείττονα.

Δῶμεν τῷ Θεῷ, πιστοὶ μεγαλωσύνην, τῷ διὰ πολλὴν εὐσπλαγχνίαν σαρκωθέντι, καὶ τῇ αὐτοῦ πτωχείᾳ, καὶ κενώσει πλουτήσαντι, πάντας τοὺς πτωχεύσαντας ἀθλίως, καὶ δόντι τὸ κάλλος τὸ ἀρχαῖον. πιστῶς κράζουσιν· εὐλογημένος εἶ Σωτὴρ, ὁ μόνος φιλάνθρωπος.

Ἥλιε Υἱὲ, πῶς σε κρύψω τοῖς σπαργάνοις; πῶς σε γαλουχῶ, πάσης φύσεως τροφέα; πῶς σε χερσὶ κατέχω, τὸν κρατοῦντα τὰ σύμπαντα; πῶς σοι ἀδεῶς ἐνατενίζω, ᾧ οὐ τολμᾷ ἐνατενίζειν, τὰ πολυόμματα; ἡ Ἀπειρόγαμος Χριστὸν, κρατοῦσα ἐφθέγγετο.

Ἄσμασι καινοῖς, ἀλαλάξατε Ποιμένες. λόγους μαγικοὺς, ἀπορρίψατε οἱ Μάγοι. σταλάξατε τὰ ὄρη, καὶ βουνοὶ ἀγαλλίασιν. δεῦτε θυγατέρες Βασιλέων, εἰς τὴν χαρὰν τῆς Θεοτόκου. λαοὶ εἴπωμεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ὅμοιον.

Δεῦρο Βηθλεὲμ, ἑτοίμαζου τὰ τοῦ τόκου. ἴθι Ἰωσὴφ, ἀπογράφου σὺν Μαρίᾳ. σεπτοτάτη ἡ φάτνη, θεοφόρα τὰ σπάργανα. ἔνθα ἡ ζωὴ ἐμφανισθεῖσα, σειρὰς θανάτου διαρρήξει, ἐπισφίγγουσα, πρὸς ἀφθαρσίαν τοὺς βροτοὺς, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καὶ νῦν. Ὅμοιον.

Ὢ Μακαριστὴ, τῆς θεόπαιδος κοιλία. ἥτις νοητῶς, Οὐρανοῦ μείζων ἐδείχθη. ὄν οὐ χωρεῖ γὰρ οὗτος, σὺ κατέχεις βαστάζουσα. ὢ μακαριστοὶ μαστοὶ Παρθένου, οὓς περ θηλάσειεν ὁ τρέφων, πνοὴν ἅπασαν. Χριστὸς ὁ μήτρα σὰρξ παγεὶς, ἀνάνδρου Νεάνιδος.

Εἰς τὸν ν. κ. προσόμοια. Ἦχος βʹ.

Οἶκος τοῦ Εὐφραθᾶ.

Οἶκος τοῦ Παντουργοῦ, ἐδείχθης ὦ Παρθένε. ἐν σοὶ γὰρ ἐνοικήσας, ὁ Κύριος τῆς δόξης, τεχθῆναι νῦν προέρχεται.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Νέον ἐν Βηθλεὲμ, παιδίον ἐκ Παρθένου, Θεὸς ὁ πρὸ αἰώνων, ἐν φάτνῃ τῶν ἀλόγων, γεννᾶται. ὢ τοῦ θαύματος.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Τάξεις αἱ νοεραὶ, Ἀγγέλων ἐν ὑψίστοις, Θεῷ μετὰ Ποιμένων, βοήσατε καὶ Μάγων, τῷ τικτομένῳ δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. δʹ.

Ὑπόδεξαι Βηθλεὲμ, τὴν τοῦ Θεοῦ μητρόπολιν. φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ. ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε. Ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Ἀρχὴ τῆς Ἀκολουθίας τῶν Ὡρῶν.

Τῆς κατὰ σάρκα Γεννήσεως τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χρὴ γινώσκειν, ὅτι εἰ τύχῃ ἡ παραμονὴ τῆς Χριστοῦ Γεννήσεως ἐν Σαββάτῳ, ἢ Κυριακῇ, νηστεία οὐ γίνεται, οὔτε μὴν τὴν Ἀκολουθίαν ταύτην ἐν αὐτῇ ψάλλομεν, ἀλλ' ἐν τῇ Παρασκευῇ γινομένης ἐννάτης. Περὶ ὥραν, αʹ. τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ πάντες. Καὶ εὐλογοῦντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου. Εἶτα τὸ, Δεῦτε προσκυνήσωμεν, τρίς, καὶ στιχολογοῦμεν τοὺς παρόντας τρεῖς Ψαλμούς.

Ψαλ-

Ψαλμὸς έ.

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες τῆς κραυγῆς μου. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν Ἅγιόν σου ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, κρῖνον αὐτοὺς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν, ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Ὅτι σὺ εὐλογήσεις δίκαιον Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ψαλμὸς μδ'.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ Βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινε καὶ κατευοδοῦ καὶ Βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. Τὰ βέλη σου ἠκονημένα Δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ Βασιλέως. Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Σμύρνα καὶ στακτὴ καὶ κασία, ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βαρέων ἐλεφαντίνων, ἐξ ὧν εὔφρανάν σε Θυγατέρες Βασιλέων ἐν τῇ τιμῇ σου. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον Θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου. ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ. Καὶ θυγάτηρ Τύρου ἐν δώροις, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν. ἐν κροσσωτοῖς χρυσοῖς, περιβεβλημένη πεποικιλμένη. Ἀπενεχθήσονται τῷ Βασιλεῖ Παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν Βασιλέως. Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ψαλμὸς μέ.

Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα, ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. Τοῦ Ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν Πόλιν τοῦ Θεοῦ, ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ. Ἐταράχθησαν Ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ



Digitized by Google

τῆς γῆς, ἀνταναιρῶν πολέμους, μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὑψωθήσομαι ἐν τοῖς Ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Κύριος τῶν δυνάμεων μεθ᾽ ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δόξα, καὶ νῦν. Ἀλληλ. γ΄.

Εἶτα τὸ Τροπάριον. Δόξα. Ἦχος δ΄.

Ἀπεγράφετο ποτὲ, σὺν τῷ πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐκ σπέρματος Δαβὶδ, ἐν Βηθλεὲμ ἡ Μαριὰμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. ἐπέστη δὲ καιρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι. ἀλλ᾽ ὡς τερπνὸν παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστήσαι εἰκόνα.

Καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν ὦ κεχαριτωμένη; Οὐρανὸν, ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς δικαιοσύνης. Παράδεισον, ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον, ὅτι ἔμεινας ἄφθορος. ἁγνὴν Μητέρα, ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις υἱὸν, τὸν πάντων Θεόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὰ ἰδιόμελα. Ἦχος Πλ. δ΄.

Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη. τὸ Σπήλαιον δεχέσθω. ἡ ἀλήθεια ἦλθεν. ἡ σκιὰ παρέδραμε. καὶ Θεὸς ἀνθρώποις, ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ᾽ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ, κράζοντες. ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

Δίς. Ἄνευ στίχου.

Εἶτα στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἦχος γ΄.

Νῦν προφητικὴ πρόρρησις, πληρωθῆναι ἐπείγεται, μυστικῶς ἡ φάσκουσα, καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ὑπάρχεις ἐλαχίστη ἐν τοῖς Ἡγεμόσι, προευτρεπίζουσα τὸ σπήλαιον. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, ἡγούμενος τῶν ἐθνῶν διὰ σαρκὸς, ἐκ Παρθένου Κόρης Χριστὸς ὁ Θεός. ὃς ποιμανεῖ τὸν λαὸν αὐτοῦ, τὸν νέον Ἰσραήλ. δῶμεν αὐτῷ ἅπαντες μεγαλωσύνην.

Πάλιν τὸ αὐτό. Εἶτα. Δόξα. Ἦχος τὸ αὐτό.

Τάδε λέγει Ἰωσὴφ πρὸς τὴν Παρθένον. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀπορῶ καὶ ἐξίσταμαι, καὶ τὸν νοῦν καταπλήττομαι. λάθρα τοίνυν ἀπ᾽ ἐμοῦ, γενοῦ ἐν τάχει. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀντὶ τιμῆς, αἰσχύνην. ἀντ᾽ εὐφροσύνης, τὴν λύπην. ἀντὶ τοῦ ἐπαινεῖσθαι, τὸν ψόγον μοι προσήγαγες. οὐκ ἔτι φέρω λοιπόν. τὸ ὄνειδος ἀνθρώπων. ὑπὸ γὰρ Ἱερέων ἐκ τοῦ ναοῦ, ὡς ἄμεμπτον Κυρίου σὲ παρέλαβον, καὶ τί τὸ ὁρώμενον;

Καὶ νῦν. τὸ αὐτό.

Καὶ εὐθὺς τὸ προκείμενον τῆς Προφητείας. Ἦχος δ΄.

Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Στ. Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι Ἔθνη τὴν κληρονομίαν σου. Εἶτα ἡ Προφητεία.

Προφητείας Μιχαίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Εὐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς Ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται. καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτοῦ ὑπάρξουσι. διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς. Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς, λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων, ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. Ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ

πάντα

Digitized by Google

πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. Τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων, Υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην. λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ, πάντες Ἄγγελοι. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱὸν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ σὺ κατ' ἀρχὰς Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ Οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Εἶτα τὸ Εὐαγγέλιον κατὰ Ματθαῖον: Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις, οὕτως ἦν.

Εἶτα λέγει ὁ Ἀναγνώστης.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Εἶτα τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Καὶ εὐθὺς τὸ Κοντάκιον. Ἦχος γ'. Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον. Τὸ, Κύριε ἐλέησον, μ'. Καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρα. Κύριε ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ εὐχή.

Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ Φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψόμεθα φῶς τὸ ἀπρόσιτον, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν, πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

## ΩΡΑ ΤΡΙΤΗ.

Γῇ τρίτῃ ὥρα, Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τὸ, Κύριε ἐλέησον, ιβ. Τὸ Δεῦτε προσκυνήσωμεν, γ'. Εἶτα τοὺς τρεῖς Ψαλμούς.

Ψαλμὸς ξϛ'.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν Ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ Ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες, γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν. εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, καὶ φοβηθήτωσαν αὐτὸν πέντα τὰ πέρατα τῆς γῆς.

Ψαλμὸς πϛ'.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς Ὄρεσι τοῖς ἁγίοις. ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ Πόλις τοῦ Θεοῦ. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος, τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων, τῶν γεγεννημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ψαλμὸς π'.

Ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,



Digitized by Google

τῆς γῆς, ἀνταναιρῶν πολέμους, μέχρι τῶν περάτων τῆς γῆς. Τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τοῖς Ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Δόξα, καὶ νῦν. Ἀλληλ. γ'.

Εἶτα τὸ Τροπάριον. Δόξα. Ἦχος δ'.

Ἀπεγράφετό ποτε, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαβίδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. ἐπέστη δὲ καιρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι. ἀλλ' ὡς τερπνὸν παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστῆσαι εἰκόνα.

Καὶ νῦν. Θεοτοκίον.

Τί σε καλέσωμεν ὦ κεχαριτωμένη; Οὐρανόν, ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς δικαιοσύνης. Παράδεισον, ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον, ὅτι ἔμεινας ἄφθορος. ἁγνὴν Μητέρα, ὅτι ἔσχες ταῖς ἁγίαις ἀγκάλαις υἱόν, τὸν πάντων Θεόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὰ ἰδιόμελα. Ἦχος Πλ. δ'.

Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη. τὸ Σπήλαιον δεχέσθω. ἡ ἀλήθεια ἦλθεν. ἡ σκιὰ παρέδραμε. καὶ Θεὸς ἀνθρώποις, ἐκ Παρθένου πεφανέρωται, μορφωθεὶς τὸ καθ' ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται σὺν τῇ Εὔᾳ, κράζοντες. ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

Δίς. Ἀνὰ στίχον.

Εἶτα Στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἦχος γ'.

Νῦν προφητικὴ πρόρρησις, πληρωθῆναι ἐπείγεται, μυστικῶς ἡ φάσκουσα, καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ὑπάρχεις ἐλαχίστη ἐν τοῖς Ἡγεμόσι, προευτρεπίζουσα τὸ σπήλαιον. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, ἡγούμενος τῶν ἐθνῶν διὰ σαρκός, ἐκ Παρθένου Κόρης Χριστὸς ὁ Θεός. ὃς ποιμανεῖ τὸν λαὸν αὐτοῦ, τὸν νέον Ἰσραήλ. δῶμεν αὐτῷ ἅπαντες μεγαλωσύνην.

Πάλιν τὸ αὐτό. Εἶτα. Δόξα. Ἦχος ὁ αὐτός.

Τάδε λέγει Ἰωσὴφ πρὸς τὴν Παρθένον. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀπορῶ καὶ ἐξίσταμαι, καὶ τὸν νοῦν καταπλήττομαι. λάθρα τοίνυν ἀπ' ἐμοῦ, γένου ἐν τάχει. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀντὶ τιμῆς, αἰσχύνην. ἀντ' εὐφροσύνης, τὴν λύπην. ἀντὶ τοῦ ἐπαινεῖσθαι, τὸν ψόγον μοι προσήγαγες. οὐκ ἔτι φέρω λοιπόν. τὸ ὄνειδος ἀνθρώπων. ὑπὸ γὰρ Ἱερέων ἐκ τοῦ ναοῦ, ὡς ἄμεμπτον Κυρίου σὲ παρέλαβον, καὶ τί τὸ ὁρώμενον;

Καὶ νῦν. τὸ αὐτό.

Καὶ εὐθὺς τὸ προκείμενον τῆς Προφητείας. Ἦχος δ'.

Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Στ. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι Ἔθνη τὴν κληρονομίαν σου. Εἶτα ἡ Προφητεία.

Προφητείας Μιχαίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Εὐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς Ἄρχοντα ἐν τῷ Ἰσραήλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται. καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτοῦ ὑπάρξουσι. διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς. Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεός, λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων, ἐλάλησεν ἡμῖν ἐν Υἱῷ. Ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ

πάντα

Digitized by Google

πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. Τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων, Υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην. λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ, πάντες Ἄγγελοι. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ σὺ κατ' ἀρχὰς Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ Οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Εἶτα τὸ Εὐαγγέλιον κατὰ Ματθαῖον. Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις, οὕτως ἦν.

Εἶτα λέγει ὁ Ἀναγνώστης.

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.

Εἶτα τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Καὶ εὐθὺς τὸ Κοντάκιον. Ἦχος γ'. Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον. Τὸ, Κύριε ἐλέησον, μ'. Καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ. Κύριε ἐλέησον, γ'. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ εὐχή.

Χριστὲ τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ Φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν, πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν.

## ΩΡΑ ΤΡΙΤΗ.

Τῇ τρίτῃ ὥρᾳ, Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Τὸ, Κύριε ἐλέησον, ιβ'. Τὸ Δεῦτε προσκυνήσωμεν, γ'. Εἶτα τοὺς τρεῖς Ψαλμούς.

Ψαλμὸς ξς'.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν Ἔθνη, ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ Ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες, γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν. εὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Ψαλμὸς πς'.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς Ὄρεσι τοῖς ἁγίοις. ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ Πόλις τοῦ Θεοῦ. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος, τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων, οὗτοι ἐγεννήθησαν ἐκεῖ. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων, τῶν γεγεννημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Ψαλμὸς ν'.

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου,


Digitized by Google

ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, γ'.

Καὶ τὸ Τροπάριον.

Ἀπεγράφετό ποτε, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαβίδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. Ἐπέστη δὲ καιρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι. ἀλλ' ὡς τερπνὸν Παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται. τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα. Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Εἶτα τὰ ἰδιόμελα. Ἦχος Πλ. β'.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ὁ τεχθεὶς ἐκ Παρθένου, καὶ τοῖς ἀνθρώποις συναναστραφείς. Φάτνῃ πτωχικῇ, Υἱὸς μονογενής, κείμενος ὁρᾶται βροτός, καὶ σπαργάνοις πλέκεται, ὁ τῆς δόξης Κύριος. Καὶ Μάγους ἀστὴρ μηνύει, εἰς αὐτοῦ προσκύνησιν, καὶ ἡμεῖς μελῳδοῦμεν. Τριὰς Ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν. Δίς. Ἀνὰ στίχ. Εἶτα. Ἦχος ὁ αὐτός.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Πρὸ τῆς γεννήσεως τῆς σῆς, τρόμῳ ὁρῶσαι τὸ μυστήριον Κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο. ὡς γὰρ βρέφος νηπιάσαι ηὐδόκησας, ὁ τὸν πόλον κοσμήσας τοῖς ἄστρασι. καὶ φάτνῃ τῶν ἀλόγων ἀνακέκλισαι, ὁ δρακὶ συνέχων πάντα γῆς τὰ πέρατα. τοιαύτη γὰρ οἰκονομία, ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστὲ τὸ μέγα ἔλεος, δόξα σοι.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Πάλιν τὸ αὐτό. Εἶτα, Δόξα. Ἦχος γ'.

Ἰωσὴφ εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγώ φησι τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου πέπεισμαι, ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως, οὗ εἰς προσκύνησιν. Μάγοι ἐξ Ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες, ὁ σαρκωθεὶς δι' ἡμᾶς. Κύριε δόξα σοι. Καὶ νῦν.

Καὶ εὐθὺς τὸ προκείμ. τῆς Προφ. Ἦχος δ'.

Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, Υἱός.

Στ. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ.

Digitized by Google

μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη. Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα. πάντες οἱ κρατοῦντες αὐτὴν, εἰς ζωὴν, οἱ δὲ καταλιπόντες αὐτὴν ἀποθανοῦνται. Ἐπιστράφου Ἰακὼβ, καὶ ἐπιλαβοῦ αὐτῆς. διόδευσον πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς. Μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. μακάριοι ἐσμὲν Ἰσραήλ. ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ, ἡμῖν γνωστά ἐστιν.

Εἶτα ὁ Ἀπόστολος, πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς Πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ Υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι.

Εὐαγγέλ. κατὰ Λουκᾶν. Ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου. Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ᾽ ἡμέραν, κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν. Τὸ Τρισάγιον. Τὸ, Παναγία Τριάς. Τὸ, Πάτερ ἡμῶν. Εἶτα τὸ Κοντάκιον. Ἡ Παρθένος σήμερον. Τὸ, Κύριε ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Δέσποτα Θεὲ, Πάτερ παντοκράτωρ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλὸν, καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΩΡΑ ΕΚΤΗ.

Ἐπισυνάπτομεν δὲ καὶ τὴν Ἕκτην Ὥραν, λέγοντες εὐθὺς, Δεῦτε προσκυνήσωμεν, τρίς.

Ψαλμὸς οα΄.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ Βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ Βασιλέως. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει. Ἀναλαβέτω τὰ Ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην. Καὶ συμπαραμενεῖ τῷ Ἡλίῳ, καὶ πρὸ τῆς Σελήνης γενεὰς γενεῶν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ Σελήνη. Καὶ κατακυριεύσει ἀπὸ Θαλάσσης ἕως Θαλάσσης, καὶ ἀπὸ Ποταμῶν, ἕως περάτων τῆς Οἰκουμένης. Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. Βασιλεῖς Θαρσεῖς, καὶ Νῆσοι δῶρα προσοίσουσι, Βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι. Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ Βασιλεῖς τῆς Γῆς, πάντα τὰ Ἔθνη δουλεύσουσιν αὐτῷ. Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός. Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει. Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν, καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν. Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ, ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντὸς, ὅλην μὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων, ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ Πόλεως ὡσεὶ χόρτος τῆς γῆς. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ Ἡλίου διαμενεῖ τὸ

ὄνο-

Digitized by Google

ὄνομα αὐτοῦ. Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ, πᾶσαι αἱ φυλαὶ τῆς γῆς. πάντα τὰ Ἔθνη μακαριοῦσιν αὐτόν. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ, γένοιτο, γένοιτο.

Ψαλμὸς ρλά.

Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου. εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσώμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτήν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτοὺς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν, εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν. Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ψαλμὸς μ´.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ Οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. Ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ. μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἐκ γ´.
Εἶτα τὸ τροπάριον. Δόξα. Ἦχος δ´.
Ἀπεγράφετό ποτε.
Καὶ νῦν. Ὅτι οὐκ ἔχομεν παῤῥησίαν.
Καὶ εὐθὺς ψάλλομεν τὰ παρόντα ἰδιόμελα.

Ἦχος ά.

Δεῦτε πιστοὶ ἐπαρθῶμεν ἐνθέως, καὶ κατίδωμεν συγκατάβασιν θεϊκὴν ἄνωθεν, ἐν Βηθλεὲμ πρὸς ἡμᾶς ἐμφανῶς. καὶ νοῦν καθαρθέντες, τῷ βίῳ προσενέγκωμεν, ἀρετὰς ἀντὶ μύρου, προευτρεπίζοντες πιστῶς, τῶν Γενεθλίων τὰς εἰσόδους, ἐπὶ

τῶν

Digitized by Google

τῶν ψυχικῶν θησαυρισμάτων κράζοντες. ἐν ὑψίστοις δόξα, Θεῷ τῷ ἐν Τριάδι. δι' οὗ ἐν ἀνθρώποις εὐδοκία ἐπεφάνη, τὸν Ἀδὰμ ἐκλυτρούμενος, τῆς ἀρχεγόνου ἀρᾶς ὡς φιλάνθρωπος. Τ. ς. Ἀνὰ στίχον.

Εἶτα ἀ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἦχος δ'.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ. σαλευθήτω τὰ θεμέλια, ἐπιλαβέτω τρόμος τὰ καταχθόνια. ὅτι ὁ Θεὸς τε καὶ Κτίστης, σαρκὸς εἰσέδυ πλάσιν. καὶ ὁ κραταιᾷ κτίσας χειρὶ τὴν Κτίσιν, σπλάγχνον ὁρᾶται πλάσματος, ὢ βάθος πλούτου, καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Καὶ πάλιν τὸ αὐτό. Δόξα. Ἦχος πλ. ά.

Δεῦτε Χριστοφόροι λαοὶ κατίδωμεν, θαῦμα πᾶσαν ἔννοιαν, ἐκπλῆττον καὶ συνέχον. καὶ εὐσεβῶς προσκυνοῦντες, πίστει ἀνυμνήσωμεν. Σήμερον πρὸς Βηθλεὲμ, ἐγκυμονοῦσα Κόρη παραγίνεται, τοῦ γεννῆσαι τὸν Κύριον. χοροὶ δὲ Ἀγγέλων προτρέχουσι. καὶ ταῦτα βλέπων ἐβόα Ἰωσὴφ ὁ Μνήστωρ. τί τὸ ἐν σοὶ ξένον μυστήριον Παρθένε; καὶ πῶς μέλλεις λοχεῦσαι, ἡ ἀπειρόζυγος Δάμαλις;

Καὶ νῦν. τὸ αὐτό. Καὶ εὐθὺς, Προκείμενον τῆς Προφητείας. Ἦχος Πλ. δ'.

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Προσέθετο Κύριος λαλῆσαι Ἄχαζ, λέγων. Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος, ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ. οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον. Καὶ εἶπεν Ἡσαΐας. Ἀκούσατε δὴ οἶκος Δαβίδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν, ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Καὶ εἶπε Κύριος πρός με. λάβε σεαυτῷ τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ. καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν Προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπέ μοι Κύριος· Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι Βασιλέως Ἀσσυρίων. Μεθ' ἡμῶν ὁ Θεὸς, Γνῶτε Ἔθνη καὶ ἡττᾶσθε. Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. Ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος. καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ἡμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου, εἰσὶν οἱ Οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις. καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ, ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη,



Digitized by Google

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τοῦ Ἰησοῦ γεννηθέντος. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ Οἰκτιρμοί σου Κύριε. Τὸ, Τρισάγιον. Τὸ, Παναγία Τριάς. Τὸ, Πάτερ ἡμῶν. Τὸ Κοντάκιον. Ἡ Παρθένος σήμερον. Τὸ, Κύριε ἐλέησον, μ΄. Ὁ ἐν παντὶ καιρῷ. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Καὶ ἡ εὐχή.

Θεὲ καὶ Κύριε τῶν δυνάμεων, καὶ πάσης Κτίσεως Δημιουργέ. ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου, τὸν Μονογενῆ σου Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαῤῥήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους. Αὐτὸς Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας, καὶ ἱκετηρίους ἐντεύξεις. καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας. ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς. Ἵνα διὰ παντὸς πρὸς σὲ ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ Ἀνάρχῳ Πατρὶ, σὺν τῷ Μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΩΡΑ ΕΝΝΑΤΗ.

Ἐπισυνάπτομεν καὶ τὴν ἐνάτην ὥραν. Τὸ Τρισάγιον. Τὸ, Παναγία Τριάς. Τὸ, Πάτερ ἡμῶν. Τὸ Κύριε ἐλέησον, ιβ. Δεῦτε προσκυνήσωμεν. Καὶ οἱ Ψαλμοί.

Ψαλμὸς ρθ΄.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιὼν, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε. Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου, συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ Βασιλεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται. διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ψαλμὸς ρι΄.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν Ἐθνῶν. Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια, καὶ κρίσις. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ, ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ἀρχὴ σοφίας φόβος Κυρίου. σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. ἡ αἴνεσις αὐτοῦ, μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ψαλμὸς πε΄.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιει-

Digitized by Google

ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι Κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ Ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος. Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ Θεὸς παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ Κύριε ὁ Θεός μου, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος, καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν. ὅτι σὺ Κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Δόξα. Ἀπεγράφετο ποτέ.

Καὶ νῦν.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.

Εἶτα τὰ ἰδιόμελα. Ἦχος βαρύς.

Ἐξεπλήττετο ὁ Ἡρώδης, ὁρῶν τῶν Μάγων τὴν εὐσέβειαν. καὶ τῷ θυμῷ νικώμενος, τοῦ ἔτους ἠκριβολόγει τὸ διάστημα. Μητέρες ἠτεκνοῦντο, καὶ ἡ ἄωρος ἡλικία τῶν βρεφῶν, πικρῶς κατεθερίζετο. μαζοὶ ἐξηραίνοντο, καὶ πόροι γάλακτος συνεστέλλοντο. μέγα ἦν τὸ δεινόν. διὸ εὐσεβῶς πιστοὶ συνελθόντες, προσκυνήσωμεν τοῦ Χριστοῦ τὴν γέννησιν. Δίς. Ἀναστίχου.

Εἶτα, Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ἦχος β΄.

Ὅτε Ἰωσὴφ, Παρθένε λύπῃ ἐτιτρώσκετο, πρὸς Βηθλεὲμ ἀπαίρων, ἐβόας πρὸς αὐτόν. τί ὁρῶν με ἔγκυον, στυγνάζεις καὶ ταράττεσαι, ἀγνοῶν ὅλως τὸ ἐμοὶ φρικτὸν μυστήριον; λοιπὸν ἀπόθου φόβον ἅπαντα, τὸ παράδοξον ἐννοῶν. Θεὸς κάτεισι γὰρ ἐπὶ γῆς δι' ἔλεον, ἐν τῇ μήτρᾳ μου νῦν, καὶ σάρκα προσελάβετο. ὃν περ τικτόμενον, ὄψει ὡς ηὐδόκησε. καὶ τῆς χαρᾶς πλησθεὶς, προσκυνήσεις ὡς Κτίστην σου. ὃν Ἄγγελοι ὑμνοῦσιν ἀπαύστως, καὶ δοξάζουσι, σὺν Πατρὶ καὶ Ἁγίῳ Πνεύματι.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Καὶ πάλιν τὸ αὐτό. Δόξα. Ἦχος πλ. β΄.

Γίνεται, ὅτι τὸ παρὸν ἰδιόμελον, τὸ, Σήμερον γεννᾶται, ἀναγινώσκεται πρότερον εὐλαβῶς καὶ μεγαλοφώνως παρὰ τοῦ Κανονάρχου ἐν τῷ μέσῳ τοῦ Ναοῦ. Εἶτα ψάλλεται μελῳδικῶς ὑπὸ τῶν δύω Χορῶν, εἰς Ἦχον Πλ. β΄.

Σήμερον γεννᾶται ἐκ Παρθένου, ὁ δρακὶ τὴν πᾶσαν ἔχων Κτίσιν. Ῥάκει καθάπερ βροτὸς σπαργανοῦται, ὁ τῇ Οὐσίᾳ ἀναφής. Θεὸς ἐν φάτνῃ ἀνακλίνεται, ὁ στερεώσας τοὺς Οὐρανοὺς πάλαι κατ' ἀρχάς. Ἐκ μαζῶν γάλα τρέφεται, ὁ ἐν τῇ ἐρήμῳ μάννα ὀμβρήσας τῷ λαῷ. Μάγους προσκαλεῖται, ὁ νυμφίος τῆς Ἐκκλησίας. Δῶρα τούτων αἴρει, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὴν γένναν Χριστέ. δεῖξον ἡμῖν, καὶ τὰ θεῖά σου Θεοφάνεια.

Καὶ νῦν, τὸ αὐτό. Καὶ εὐθὺς τὸ Προκείμενον τῆς Προφητείας. Ἦχος δ΄.

Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Στίχ. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς Ἁγίοις. Ἡ Προφητεία.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, καὶ ὑγείαν αὐτῶν. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ

οὐκ

Digitized by Google

οὐκ ἔστιν ὅριον. ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ ἐπὶ τὴν Βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαβέσθαι αὐτῆς, ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες. δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν, ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Ἀναχωρησάντων τῶν Μάγων.

Εἶτα τὸ, Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου τὸ Ἅγιον.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Κύριε ἐλέησον, μ΄. Καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Τὸ, Κύριε ἐλέησον, ιβ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ὁ Ἱερεύς. Δι' εὐχῶν τῶν Ἁγίων. Καὶ ἡ εὐχή.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν Παράδεισον ὡδοποίησας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὤλεσας. Ἱλάσθητι καὶ ἡμῖν τοῖς ταπεινοῖς, καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου. Ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ. Διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα, φεῖσαι ἡμῶν Κύριε διὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ Ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα ἵνα τὸν παλαιὸν ἡμῶν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα, καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ καὶ κηδεμόνι. Καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ Τυπικὰ, χῦμα.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ. Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι.

Αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.

Μακάριοι οἱ πενθοῦντες.

Μακάριοι οἱ πραεῖς.

Μακάριοι οἱ πεινῶντες.

Μακάριοι οἱ ἐλεήμονες.

Μακάριοι οἱ εἰρηνοποιοί.

Μακάριοι οἱ δεδιωγμένοι.

Μακάριοι ἐστὲ, ὅταν.

Χαίρετε καὶ ἀγαλλιᾶσθε.

Δόξα,

Digitized by Google

Δόξα, καὶ νῦν

Μνήσθητι ἡμῶν Κύριε.

Μνήσθητι ἡμῶν Δέσποτα.

Μνήσθητι ἡμῶν Ἅγιε.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος, Σαβαώθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχ. Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος, Σαβαώθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.

Δόξα.

Χορὸς Ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων δυνάμεων ὑμνεῖ σε καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος, Σαβαώθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Καὶ νῦν.

Πιστεύω εἰς ἕνα Θεὸν, Πατέρα Παντοκράτορα.

Ἄνες, ἄφες, συγχώρησον ἡμῖν ὁ Θεὸς τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ ἐν παραβάσει καὶ παρακοῇ, τὰ κατὰ νοῦν καὶ διάνοιαν, τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Τὸ Κοντάκιον. Ἡ Παρθένος σήμερον. Τὸ, Κύριε ἐλέησον, μ'. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Τὸ, Εὐλογήσω τὸν Κύριον.

Καὶ ἀπόλυσις.

Μετὰ δὲ τὴν ἀπόλυσιν, ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, προσευχῇ καὶ ἀναγνώσει σχολάζοντες ἄχρι τῆς ὥρας τοῦ λυχνικοῦ. Περὶ δὲ ὥραν, ι'. σημαίνει τὸ μέγα, καὶ συναχθέντες, ἀρχόμεθα τοῦ Λυχνικοῦ, προευτρεπισθέντος τοῦ Ἱερέως, καὶ τοῦ Διακόνου, εἴπερ ἐστί. Καὶ ποιήσαντος τὴν εὐλόγησιν, ἤγουν, Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, ψάλλομεν τὸν Προοιμιακὸν Ψαλμόν. Μεθ' ὃν γίνεται Συναπτὴ μεγάλη παρὰ τοῦ Διακόνου, ἢ παρὰ τοῦ Ἱερέως. Εἶθ' οὕτω τὸ, Κύριε ἐκέκραξα, εἰς Ἦχον β'. Καὶ θυμιᾷ ὁ Ἱερεὺς ὡς ἔθος, ἢ ὁ Διάκονος. Ἱστῶμεν δὲ Στίχ. η'. καὶ ψάλλομεν τοὺς δ'. δευτέρους. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, καὶ τοὺς λοιποὺς, γ'. ποιοῦντες, η'. Ψαλλομένων δὲ τούτων, ἀπέρχεται ὁ Ἱερεὺς μετὰ τοῦ Διακόνου, καὶ ποιεῖ τὴν προσκομιδήν. Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός. Αὐγούστου μοναρχήσαντος. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς κατὰ τὴν τάξιν αὐτῶν, ὡσαύτως καὶ τὰ τροπάρια τῶν Προφητειῶν εἰς τὸν καιρὸν αὐτῶν μετὰ τῶν στ. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἀναγνωσμάτων, γίνεται Συναπτὴ μικρὰ, καὶ μετὰ τὴν ἐκφώνησιν, ἀρχόμεθα τοῦ Τρισαγίου. Εἶτα, Προκείμενον, Ἦχος α'. Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ. Στ. Αἴτησαι παρ' ἐμοῦ. Ὁ Ἀπόστολος πρὸς Ἑβραίους. Πολυμερῶς καὶ πολυτρόπως. Ἀλληλουϊάριον. Ἦχος α'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Στ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἐξῆλθε δόγμα. Καὶ καθ' ἑξῆς ἡ θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν.

Χρὴ γινώσκειν, ὡς εἰ τύχῃ ἡ παραμονὴ τῆς Χριστοῦ γεννήσεως ἐν Σαββάτῳ, ἢ Κυριακῇ, νηστεία οὐ γίνεται, οὔτε μὴν τὰ τροπάρια τῶν ὡρῶν ψάλλομεν ἐν αὐτῇ, ἀλλ' ἐν τῇ Παρασκευῇ γινομένης ἐννάτης. Εἰ δὲ ἐν Σαββάτῳ ἢ Κυριακῇ ὡς εἴπομεν φθάσῃ λαχεῖν, τελεῖται Λειτουργία ὡς συνήθως τοῦ Χρυσοστόμου. μετὰ δὲ τὴν ἀπόλυσιν τῆς Λειτουργίας, οὐ ποιοῦμεν Τράπεζαν, ἀλλ' ἐν τῷ Νάρθηκι καθεσθέντες, ἐπιδίδοται ἡμῖν παρὰ τοῦ Κελαρίτου ἀνὰ κλάσματος ἄρτου μετ' ὀλίγων Ἰσχάδων, οὐ Φοινίκων, καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου. Εἶθ' οὕτως ἀπελθόντες ἐν τοῖς Κελλίοις ἡμῶν, ἰδιάζομεν μέχρι τοῦ Ἑσπερινοῦ. Λέγεται δὲ ἐν ταύτῃ τῇ Λειτουργίᾳ, ὁ Ἀπόστολος πρὸς Γαλάτας. Ἀδελφοὶ, κατὰ ἄνθρωπον λέγω. ζήτει τῇ δ'. τῆς ιε'. ἑβδομάδος. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος, ὡμοιώθη ἡ βασιλεία τῶν Οὐρανῶν κόκκῳ σινάπεως. Ζήτει Σαββάτῳ ιβ'. τοῦ Λουκᾶ, ἢ εἰς τὸ μηνο-

λό-

Digitized by Google

λόγιον. Εἰς δὲ τὸν ἑσπερινὸν, εἴτε Λειτουργία ἐστὶ, δηλονότι τῇ παραμονῇ, εἴτε οὔ, τῆς ἑορτῆς λέγεται ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰ τοίνυν οὐκ ἔστι νηστεία, σημαίνει περὶ ὥραν, ι'. καὶ ἀρχόμεθα τοῦ λυχνικοῦ. Εἰ οὖν τύχῃ ἡ παραμονὴ ἐν Σαββάτῳ, στιχολογεῖται τὸ α'. καθ. ὅλον. εἰ ἐν Κυριακῇ, τὸ πρῶτον ἀντίφωνον. εἰ δὲ ἔστι νηστεία, ἄλλο. οὐ γίνεται.

Ἰστέον, ὅτι ὅτε οὐκ ἔστι νηστεία ἐν τῇ παραμονῇ, ψάλλεται ἡ ἀκολουθία καθὼς γέγραπται. μετὰ οὖν τὴν συμπλήρωσιν τῶν ἀναγνωσμάτων, εὐθὺς τὸ προκείμενον τοῦ Ἀποστόλου, οὐδὲ γὰρ λέγεται τρισάγιον, εἶτα ὁ Ἀπόστολος, τὸ Ἀλληλούϊα, καὶ τὸ Εὐαγγέλιον. εἶθ' οὕτως ἐκτενής, αἱ συνήθεις αἰτήσεις, καὶ ἀπόλυσις. Μετὰ δὲ τὴν Ἀπόλυσιν, εἴτε Λειτουργία γίνεται, εἴτε οὔ, ἅψαντες μανουάλια ἐν μέσῳ τοῦ Ναοῦ, στοιχηδὸν οἱ ἀδελφοὶ ψάλλουσι τὸ τῆς ἑορτῆς ἀπολυτίκιον, καὶ τὸ Κοντάκιον, ἔπειτα ἵσταταί τις μοναχὸς εἰς μέσον, ἢ ὁ Διάκονος ἠλλαγμένος, καὶ μετὰ τὸ κοντάκιον, φημίζει τοὺς Βασιλεῖς, καὶ τὸν Ἀρχιερέα τῆς ἐνορίας τῆς Μονῆς, εἰς δὲ τὸν προεστῶτα λέγει.

Σώσαι ὁ Θεὸς τὸν πανοσιώτατον Πατέρα ἡμῶν καὶ Καθηγούμενον, σὺν πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι.

Ἐκ τρίτου.

Καὶ οὕτω πληροῦται ὁ πολυχρονισμός, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἐσθίοντες ἔλαιον, πίνοντες καὶ οἶνον, εἰς δόξαν Θεοῦ, ἰχθὺν δὲ οὐδαμῶς. ἐν τισὶ δὲ τῶν τυπικῶν, οὐχ ὁριστικῶς γέγραπται ἐσθίειν ἡμᾶς ἔλαιον, ἀλλ' ἀπὸ συνηθείας. ἀλλ' οὐδὲ περὶ τῆς εἰς τὸ κελλίον τοῦ Προεστῶτος ἰδίας πολυχρονίσεως δεδήλωται οἶμαι, ὡς μηδὲ τούτου τότε γινομένου.

Ἰστέον, ὅτε ἐὰν τύχῃ ἡ παραμονὴ ἐν Σαββάτῳ ἢ Κυριακῇ, ἡ λειτουργία τοῦ Χρυσοστόμου τελεῖται εἰς τὴν ὥραν αὐτῆς, ἡ δὲ τοῦ μεγάλου Βασιλείου, τελεῖται τῇ ἐπαύριον, ἤτοι κατ' αὐτὴν τὴν ἡμέραν τῆς Ἑορτῆς.

## Τῷ αὐτῷ Μηνὶ ΚΕ'.

### Ἡ κατὰ Σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως ἐν Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῆς Ἑορτῆς. Εἰς τὸν, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμ. Ἦχος β'. Γερμανοῦ.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι. τὸ μεσότειχον τοῦ φραγμοῦ διαλέλυται. ἡ φλογίνη ῥομφαία, τὰ νῶτα δίδωσι. καὶ τὰ Χερουβὶμ, παραχωρεῖ τοῦ ξύλου τῆς ζωῆς. κἀγώ, τοῦ παραδείσου τῆς τρυφῆς μεταλαμβάνω, οὗ προεξεβλήθην διὰ τῆς παρακοῆς. ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς, ὁ χαρακτὴρ τῆς ἀϊδιότητος αὐτοῦ, μορφὴν δούλου λαμβάνει. ἐξ ἀπειρογάμου Μητρὸς προελθὼν, οὐ τροπὴν ὑπομείνας. ὃ γὰρ ἦν διέμεινε, Θεὸς ὢν ἀληθινός. καὶ ὃ οὐκ ἦν προσέλαβεν, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν. αὐτῷ βοήσωμεν, ὁ τεχθεὶς ἐκ Παρθένου Θεὸς, ἐλέησον ἡμᾶς.

Δίς. Ὁ αὐτός. Ἀνατολίου.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος, ἐκ τῆς ἁγίας Παρθένου, πεφώτισται τὰ σύμπαντα. Ποιμένων γὰρ ἀγραυλούντων, καὶ Μάγων προσκυνούντων, Ἀγγέλων ἀνυμνούντων, Ἡρώδης ἐταράττετο. ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη, Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δίς.

Ἡ Βασιλεία σου Χριστὲ ὁ Θεὸς, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ Δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. ὁ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς Ἀειπαρθένου Μαρίας ἐνανθρωπήσας. φῶς ἡμῖν ἔλαμψε Χριστὸς ὁ Θεὸς ἡ σὴ παρουσία, φῶς ἐκ φωτὸς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, πᾶσαν Κτίσιν ἐφαίδρυνε. πᾶσα πνοὴ αἰνεῖ σε, τὸν χαρακτῆρα τῆς δόξης τοῦ Πατρὸς, ὁ ὢν καὶ προών, καὶ ἐκλάμψας ἐκ Παρθένου Θεὸς, ἐλέησον ἡμᾶς.

Δίς. Ὁ αὐτός.

Τί σοι προσενέγκωμεν Χριστὲ, ὅτι ὤφθης

ἐπὶ

Digitized by Google

[ἐ]πὶ Γῆς ὡς ἄνθρωπος δι' ἡμᾶς; ἕκαστον ἐκ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, τὴν εὐχαριστίαν σοι προσάγει. οἱ Ἄγγελοι τὸν ὕμνον, οἱ Οὐρανοὶ τὸν Ἀστέρα, οἱ Μάγοι τὰ δῶρα, οἱ Ποιμένες τὸ θαῦμα, ἡ Γῆ τὸ Σπήλαιον, ἡ ἔρημος τὴν Φάτνην, ἡμεῖς δὲ Μητέρα Παρθένον. ὁ πρὸ αἰώνων Θεός, ἐλέησον ἡμᾶς.

Δόξα, ϗ νῦν. Ἦχος ὁ αὐτός.

Κασίας.

Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο· καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς Ἁγνῆς, ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται. ὑπὸ μίαν Βασιλείαν ἐγκόσμιον, αἱ πόλεις γεγένηνται. καὶ εἰς μίαν Δεσποτείαν Θεότητος, τὰ ἔθνη ἐπίστευσαν. ἀπεγράφησαν οἱ λαοί, τῷ δόγματι τοῦ Καίσαρος· ἐπεγράφημεν οἱ Πιστοί, ὀνόματι Θεότητος, σοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ἡμῶν. μέγα σοῦ τὸ ἔλεος δόξα σοι.

Καὶ γίνεται Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, Φῶς ἱλαρόν, ϗ τὰ Ἀναγνώσματα κατὰ τὴν τα[illegible] τῶν, καὶ μετὰ τῶν Τροπαρίων ϗ τῶν στι[illegible] αὐτῶν.

Γενέσεως τὸ Ἀνάγνωσμα α΄.

Κεφ. α. 1. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανόν, ϗ τὴν Γῆν. ἡ δὲ Γῆ ἦν ἀόρατος ϗ ἀκατασκεύαστος. ϗ σκότος ἐπάνω τῆς ἀβύσσου. ϗ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. ϗ εἶπεν ὁ Θεός· γενηθήτω φῶς. ϗ ἐγένετο φῶς. ϗ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν, ϗ διεχώρησεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτός, ϗ ἀνὰ μέσον τοῦ σκότους. καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν, ϗ τὸ σκότος ἐκάλεσε, νύκτα. καὶ ἐγένετο ἑσπέρα, ϗ ἐγένετο πρωΐ, ἡμέρα μία. ϗ εἶπεν ὁ Θεός. γενηθήτω Στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, ϗ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος, ϗ ὕδατος. ϗ ἐγένετο οὕτως. ϗ ἐποίησεν ὁ Θεὸς τὸ Στερέωμα. ϗ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ Στερεώματος, ϗ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ὑπὸ κάτω τοῦ Στερεώματος, ϗ ἐκάλεσεν ὁ Θεὸς τὸ Στερέωμα Οὐρανόν. ϗ εἶδεν ὁ Θεὸς ὅτι καλόν, ϗ ἐγένετο ἑσπέρα, ϗ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα, καὶ εἶπεν ὁ Θεός. συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ, εἰς συναγωγὴν μίαν, ϗ ὀφθήτω ἡ ξηρά. ϗ ἐγένετο οὕτως. ϗ συνήχθη τὸ ὕδωρ τὸ ὑπὸ κάτω τοῦ Οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, ϗ ὤφθη ἡ ξηρά. ϗ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηράν, Γῆν, ϗ τὰ συστήματα τῶν ὑδάτων, ἐκάλεσε Θαλάσσας. ϗ εἶδεν ὁ Θεὸς ὅτι καλόν. ϗ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ Γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, ϗ καθ' ὁμοιότητα, ϗ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ γένος ἐπὶ τῆς γῆς· ϗ ἐγένετο οὕτως. καὶ ἐξήνεγκεν ἡ Γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, ϗ καθ' ὁμοιότητα, ϗ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν, ϗ ἐγένετο ἑσπέρα, ϗ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Ἀριθμῶν τὸ Ἀνάγνωσμα β΄.

Κεφ. κδ΄. 6. Ἐγένετο Πνεῦμα Θεοῦ ἐπὶ Βαλαάμ. ϗ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπεν· ὡς καλοί σου οἱ οἶκοι Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ, ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῶν, ϗ ὡς σκηναί, ἃς ἔπηξε Κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα, ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, ϗ κυριεύσει ἐθνῶν πολλῶν, ϗ ὑψωθήσεται ἡ Βασιλεία αὐτοῦ ϗ αὐξηθήσεται. ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου ὡς δόξαν Μονοκέρωτος αὐτῷ, ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, ϗ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ. ϗ ταῖς βολίσιν αὐτοῦ, κατατοξεύσει ἐχθρούς. κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, ϗ ὡς σκύμνος. τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε, εὐλογημένοι· ϗ οἱ καταρώμενοί σε, κεκατήρανται. (Ἐδ. 17.) Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, ϗ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, ϗ θραύσει τοὺς Ἀρχηγοὺς Μωάβ. ϗ προνομεύσει πάντας τοὺς Υἱοὺς Σήθ. ϗ ἔσται Ἐδὼμ κληρονομία, ϗ ἔσται κληρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ, ϗ Ἰσραὴλ ἐποίησεν ἰσχύν.



Digitized by Google

Προφητείας Μιχαίου τὸ Ἀνάγνωσμα γ΄.

Κεφ. δ΄. 6. Ἐν ταῖς ἡμέραις ἐκείναις λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην. καὶ θήσομαι τὴν συντετριμμένην, εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην, εἰς ἔθνος ἰσχυρὸν, καὶ βασιλεύσει Κύριος ἐπ᾽ αὐτοὺς ἐν ὄρει Σιὼν, ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα. (Κεφ. έ. 2.) Καὶ σὺ Βηθλεὲμ, οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης. τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ, ἐπιστρέψουσιν ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. καὶ στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κυρίου, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτῶν ὑπάρξουσι, διότι νῦν μεγαλυνθήσονται, ἕως ἄκρων τῆς γῆς.

Εἶτα Ἀνιστάμενοι λέγομεν.

Τροπάριον. Ἦχος Πλ. β΄.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον, ἀλλ᾽ Οὐρανός σε πᾶσιν ἐκήρυξεν ὥσπερ στόμα, τὸν Ἀστέρα προβαλλόμενος Σωτήρ. καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ᾽ ὧν ἐλέησον ἡμᾶς.

Στίχ. α΄. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον.

Στίχ. β΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ Πόλις τοῦ Θεοῦ. μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον.

Στίχ. γ΄. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον.

Στίχ. δ΄. Οὗτοι ἐγεννήθησαν ἐκεῖ. Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον.

Στίχ. έ. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ Ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

Λαθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον.

Δόξα. Τὸ τέλος τοῦ Τροπαρίου.

Καὶ νῦν. Τὸ ὅλον.

Εἶτα, τὰ ἐφεξῆς. Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα δ΄.

Κεφ. ιά. 1. Τάδε λέγει Κύριος, ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἀναπαύσεται ἐπ᾽ αὐτῷ Πνεῦμα Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτό. οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ἐν δικαιοσύνῃ ταπεινῶν κρίσιν, καὶ ἐλέγξει ἐν εὐθύτητι τοὺς ἐνδόξους τῆς Γῆς. καὶ πατάξει τὴν Γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ τῷ Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς. καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ. τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνῶν, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον, καὶ λέων, καὶ ταῦρος, ἅμα βοσκηθήσονται. καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα, καὶ Παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων, καὶ ἀπογεγαλακτισμένον, ἐπὶ κοίτης ἐγγόνων ἀσπίδων, τὴν χεῖρα ἐπιβαλεῖ καὶ οὐ μὴ κακοποιήσουσι, οὐδ᾽ οὐ μὴ δυνήσονται ἀπολέσαι ἐπὶ τὸ Ὄρος τὸ Ἅγιόν μου. ὅτι ἐνεπλήσθη ἡ σύμπασα Γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι Θαλάσσας, καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα έ.

Κεφ. γ΄. 35. Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης. καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ Παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Αὐ-

Digitized by Google

(Κεφ. δ'. 1.) Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ Νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα. πάντες οἱ κρατοῦντες αὐτὴν, εἰς ζωὴν, οἱ δὲ καταλιπόντες αὐτὴν, ἀποθανοῦνται. ἐπιστράφου Ἰακὼβ, καὶ ἐπιλαβοῦ αὐτῆς. διόδευσον πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς. μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. μακάριοι ἐσμὲν Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ, ἡμῖν γνωστά ἐστι.

Προφητείας Δανιὴλ τὸ Ἀνάγνωσμα ς'.

Κεφ. β'. 31. Εἶπε Δανιὴλ τῷ Ναβουχοδονόσορ· σὺ Βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία. μεγάλη ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερὴς, ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά. εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ. αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς, ἀργυροῖ. ἡ κοιλία καὶ οἱ μηροὶ, χαλκοῖ. αἱ κνῆμαι, σιδηραῖ. οἱ πόδες, μέρος μέν τι σιδηροῦν, καὶ μέρος τι ὀστράκινον. ἐθεώρεις, ἕως οὗ ἀπετμήθη λίθος ἀπὸ ὄρους ἄνευ χειρὸς, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰς ἅπαξ, τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκὸς, ὁ ἄργυρος, ὁ χρυσός. καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς. καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη ἐν αὐτοῖς. καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα, ἐγένετο εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. τοῦτο ἐστὶ τὸ ἐνύπνιον. καὶ τὴν σύγκρισιν αὐτοῦ, ἐροῦμεν ἐνώπιον τοῦ Βασιλέως. (Ἐδ. 44.) ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται. καὶ λεπτυνεῖ καὶ ἐκλικμήσει πάσας τὰς βασιλείας. καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκὸν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ Βασιλεῖ, ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ἀληθινὸν τὸ ἐνύπνιον. καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

Τροπάριον. Ἦχος Πλ. β'.

Ἀνέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς Δικαιοσύνης. καὶ Ἀστὴρ σε ὑπέδειξεν, ἐν Σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον. Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου· μεθ' ὧν σε μεγαλύνομεν, ζωοδότα δόξα σοι.

Στίχ. α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.

Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου.

Στ. β'. Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου.

Στ. γ'. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.

Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου.

Στίχ. δ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου.

Δόξα. τὸ τέλος τοῦ Τροπαρίου. Καὶ νῦν. ὅλον τὸ Τροπάριον. Εἶτα, τὰ ἐφ' ἑξῆς Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα ζ'.

Κεφ. θ'. 6. Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς, καὶ ἐδόθη ἡμῖν. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, Ἄρχων εἰρήνης Πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς Ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον. ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν κρίματι καὶ δικαιοσύνῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα η'.

Κεφ. ζ'. 11. Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου, εἰς



Digitized by Google

βάθος, ἢ εἰς ὕψος. καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω, οὐδ᾽ οὐ μὴ πειράσω Κύριον. καὶ εἶπεν Ἠσαΐας· ἀκούσατε δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ἡμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται. πρὶν ἢ γνῶναι αὐτὸν, ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν. διότι πρὶν ἢ γνῶναι τὸ Παιδίον ἀγαθὸν, ἢ κακὸν, ἀπωθεῖ πονηρίαν τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. (Κεφ. η. 1.) Καὶ εἶπε Κύριος πρός με· λάβε σεαυτῷ τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν Ἱερέα, καὶ Ζαχαρίαν τὸν Υἱὸν Βαραχίου. καὶ προσῆλθον πρὸς τὴν Προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν Υἱόν, καὶ εἶπέ μοι Κύριος· Κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλασον, ὀξέως προνόμασον. Διότι πρὶν ἢ γνῶναι τὸ Παιδίον καλεῖν Πατέρα ἢ Μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι Βασιλέως Ἀσσυρίων. (Ἐδ. 8.) μεθ᾽ ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. ἰσχυκότες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. καὶ ἣν ἂν βουλὴν βουλάσησθε, διασκεδάσει Κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ᾽ ἡμῶν ὁ Θεός.

Μετὰ δὲ τὴν τῶν Ἀναγνωσμάτων συμπλήρωσιν, γίνεται Συναπτή, καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλεται τὸ Τρισάγιον.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος ά.

Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ.

Στ. Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη.

Ὁ Ἀπόστολος Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ά. 1. Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς Πατράσιν ἐν τοῖς Προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· Τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν Οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς Βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ, Σὺ κατ᾽ ἀρχὰς Κύριε, τὴν Γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ Οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δὲ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι᾽ Ἀγγέλων λαληθεὶς λόγος, ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

Ἀλληλουϊάριον. Ἦχος Πλ. δ'.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου

ἐκ

Digitized by Google

ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου.
Στ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος.
Στ. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε,

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα. Τέλος. Καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Καὶ καθεξῆς, ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Περὶ δὲ ὥραν α΄. τῆς νυκτὸς, σημαίνει ὡς ἔθος ἐστὶ, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἀρχόμεθα τῆς ἀποδείπνου κατὰ τὴν συνήθειαν. καὶ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ.

Ἀρχόμεθα τῆς Λιτῆς.

Εἰς τὴν λιτὴν, στιχ. ἰδιόμελα. Ἦχος α΄. Ἰωάννου Μοναχοῦ.

Ὁ οὐρανὸς καὶ ἡ γῆ, σήμερον προφητικῶς εὐφραινέσθωσαν. Ἄγγελοι καὶ ἄνθρωποι πνευματικῶς πανηγυρίσωμεν. ὅτι Θεὸς ἐν σαρκὶ ἐπέφανε τοῖς ἐν σκότει, καὶ σκιᾷ καθημένοις, γεννηθεὶς ἐκ γυναικός. Σπήλαιον καὶ φάτνη, ὑπεδέξαντο αὐτόν. Ποιμένες τὸ θαῦμα ἀνακηρύττουσι. Μάγοι ἐξ ἀνατολῶν, ἐν Βηθλεὲμ δῶρα προσάγουσιν. ἡμεῖς δὲ τὴν αἶνον ἀναξίοις χείλεσιν, Ἀγγελικῶς αὐτῷ προσάξωμεν. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἦλθε γὰρ ἡ προσδοκία τῶν ἐθνῶν· ἦλθεν ἔσωσεν ἡμᾶς, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Ὁ οὐρανὸς καὶ ἡ γῆ, σήμερον ἡνώθησαν, τεχθέντος τοῦ Χριστοῦ. σήμερον Θεὸς, ἐπὶ γῆς παραγέγονε, καὶ ἄνθρωπος, εἰς οὐρανοὺς ἀναβέβηκε. σήμερον ὁρᾶται σαρκὶ, ὁ φύσει ἀόρατος, διὰ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ ἡμεῖς δοξολογοῦντες, βοήσωμεν αὐτῷ. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐβράβευσε γὰρ ἡ παρουσία σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Δόξα ἐν ὑψίστοις Θεῷ, ἐν Βηθλεὲμ ἀκούω ὑπὸ Ἀσωμάτων σήμερον, τῷ ἐπὶ γῆς εἰρήνην, εὐδοκήσαντι γενέσθαι. νῦν ἡ Παρθένος, οὐρανῶν πλατυτέρα. ἐξανέτειλε γὰρ φῶς τοῖς ἐσκοτισμένοις. καὶ ταπεινοὺς ὕψωσε, τοὺς ἀγγελικῶς μελῳδοῦντας. Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὁ αὐτός.

Τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν, ῥεύσαντα ἐκ παραβάσεως, ἰδὼν ὁ Ἰησοῦς, κλίνας οὐρανοὺς, κατέβη, καὶ ᾤκησεν ἐν μήτρᾳ Παρθενικῇ ἀναλλοιώτως, ἵνα ἐν αὐτῇ, τὸν φθαρέντα Ἀδὰμ, ἀναπλάσῃ κράζοντα. δόξα τῇ ἐπιφανείᾳ σου, ὁ λυτρωτής μου καὶ Θεός.

Δόξα. Ἦχος Πλ. α΄. Ἰωάννου Μοναχοῦ.

Μάγοι Περσῶν Βασιλεῖς, ἐπιγνόντες σαφῶς, τὸν ἐπὶ γῆς τεχθέντα, Βασιλέα οὐράνιον, ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι, ἔφθασαν ἐν Βηθλεὲμ, δῶρα προσφέροντες ἔγκριτα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. καὶ πεσόντες προσεκύνησαν. εἶδον γὰρ ἐν τῷ Σπηλαίῳ, βρέφος κείμενον τὸν ἄχρονον.

Καὶ νῦν. Ἦχος Πλ. β΄. Γερμανοῦ.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ, Σωτῆρα Κύριον. ὅτι πᾶσα πλάνη, τῶν εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς, εἰς τοὺς αἰῶνας.

Μετὰ δὲ τὸ εἰπεῖν τὰς συνήθεις εὐχὰς, εἰσερχόμεθα ἐν τῷ ναῷ, ψάλλοντες ταῦτα τὰ ἰδιόμελα. Ἦχος β΄. Γερμανοῦ.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον. Παρθένος τίκτει, καὶ μήτρα οὐ φθείρεται. ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς σὺν αὐτοῖς ἐκβοῶμεν. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Στ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. Ἦχος γ΄. Τοῦ αὐτοῦ.

Σήμερον τίκτει ἡ Παρθένος, τὸν Ποιητὴν τοῦ παντός. Ἐδὲμ προσφέρει σπήλαιον, καὶ ἀστὴρ μηνύει Χριστὸν, τὸν ἥλιον τοῖς ἐν σκότει. μετὰ δώρων Μάγοι προσεκύνησαν, πίστει φωτιζόμενοι, καὶ Ποιμένες εἶδον τὸ θαῦμα, Ἀγγέλων ἀνυμνούντων, καὶ λεγόντων, Δόξα ἐν ὑψίστοις Θεῷ.



Digitized by Google

Στ. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Ὁ αὐτός. Ἀνατολίου.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐξ ἀνατολῶν ἐλθόντες Μάγοι, προσεκύνησαν Θεὸν ἐνανθρωπήσαντα. καὶ τοὺς θησαυροὺς αὐτῶν, προθύμως ἀνοίξαντες, δῶρα τίμια προσέφερον. δόκιμον χρυσὸν, ὡς Βασιλεῖ τῶν αἰώνων, καὶ λίβανον, ὡς Θεῷ τῶν ὅλων, ὡς τριημέρῳ δὲ νεκρῷ, σμύρναν τῷ ἀθανάτῳ. πάντα τὰ ἔθνη, δεῦτε προσκυνήσωμεν, τῷ τεχθέντι, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε πάντες, οἱ ἀγαπῶντες Σιών. σήμερον ὁ χρόνιος ἐλύθη δεσμὸς, τῆς καταδίκης τοῦ Ἀδάμ. ὁ Παράδεισος ἡμῖν ἠνεώχθη. ὁ ὄφις κατηργήθη. ἣν γὰρ ἠπάτησε πρώην, νῦν ἐθεάσατο, τοῦ Δημιουργοῦ γενομένην Μητέρα. ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ἡ προξενήσασα τὸν θάνατον πάσῃ σαρκὶ, τῆς ἁμαρτίας τὸ ὄργανον, Σωτηρίας ἀπαρχὴ ἐγένετο τῷ Κόσμῳ παντὶ, διὰ τῆς Θεοτόκου. βρέφος γὰρ τίκτεται ἐξ αὐτῆς, ὁ παντέλειος Θεός. καὶ διὰ τοῦ τόκου, Παρθενίαν σφραγίζει, σειρὰς ἁμαρτημάτων, λύων διὰ σπαργάνων. καὶ διὰ νηπιότητος, τῆς Εὔας θεραπεύει, τὰς ἐν λύπαις ὠδῖνας. χορευέτω τοίνυν πᾶσα ἡ Κτίσις, καὶ σκιρτάτω. ἀνακαλέσαι γὰρ αὐτὴν, παραγέγονε Χριστὸς, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος ὁ αὐτός. Ἀνατολίου.

Ἐν σπηλαίῳ παρῴκησας Χριστὲ ὁ Θεὸς, Φάτνη ὑπεδέξατο. Ποιμένες καὶ Μάγοι προσεκύνησαν. τότε δὴ τῶν Προφητῶν ἐπληροῦτο τὸ κήρυγμα. καὶ Ἀγγέλων αἱ δυνάμεις, ἐθαύμαζον βοῶσαι καὶ λέγουσαι. δόξα τῇ συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Νῦν ἀπολύεις. Τὸ τρισάγιον.

Καὶ τὸ ἀπολυτίκιον. Ἦχος δ΄. ἐκ γ΄.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως. ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

Τὸ αὐτὸ, καὶ εἰς τὸ, Θεὸς Κύριος.

Ἡ συνήθης εὐλόγησις τῶν ἄρτων, καὶ μεταλαμβάνομεν ἐξ αὐτῶν πάντες οἱ ἀδελφοὶ, εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος, καὶ γίνεται ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον, λόγος, δ΄. καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ Ἑξάψαλμος. τὸ, Θεὸς Κύριος. Τροπάριον. Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν. Εἶτα στιχολογοῦμεν.

Μετὰ τὴν α΄. στιχολογίαν, κάθισμα. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν πιστοὶ, ποῦ ἐγεννήθη ὁ Χριστός. ἀκολουθήσωμεν λοιπὸν, ἔνθα ὁδεύει ὁ ἀστὴρ, μετὰ τῶν Μάγων ἀνατολῆς τῶν Βασιλέων. Ἄγγελοι ὑμνοῦσιν, ἀκαταπαύστως ἐκεῖ. Ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον. δόξα ἐν ὑψίστοις λέγοντες, τῷ σήμερον ἐν σπηλαίῳ τεχθέντι, ἐκ τῆς Παρθένου καὶ Θεοτόκου, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Δίς.

Ἕτερον κάθισμα. μετὰ τὴν β΄. στιχολογίαν.

Ἦχος ὁ αὐτός.

Τί θαυμάζεις Μαριὰμ, τί ἐκθαμβεῖσαι τῷ ἐν σοί; ὅτι ἄχρονον Υἱὸν, χρόνῳ ἐγέννησα φησὶ, τοῦ τικτομένου τὴν σύλληψιν μὴ διδαχθεῖσα. ἄνανδρος εἰμὶ, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν τίς ἑώρακε; ὅπου Θεὸς δὲ βούλεται, νικᾶται φύσεως τάξις, ὡς γέγραπται. Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Μετὰ δὲ τὸν Πολυέλεον, κάθισμα. ὅμοιον.

Ὁ ἀχώρητος παντὶ, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρὸς, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν, ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν. ἄσαρκος γὰρ ὢν, ἐσαρκώθη ἑκών. καὶ γέγονεν ὁ ὢν, ὃ οὐκ ἦν δι᾽ ἡμᾶς. καὶ μὴ ἐκστὰς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος. διπλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, Κόσμον θέλων ἀναπληρῶσαι. Δίς.

Οἱ ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου. Προκείμενον. Ἦχος δ΄.

Ἐκ

Digitized by Google

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.
Στ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου.

Τὸ Εὐαγγέλιον. ὁ Ν΄. Δόξα.

Τὰ σύμπαντα σήμερον, χαρᾶς πληροῦνται. Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου.

Καὶ νῦν, τὸ αὐτὸ, εἶτα.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς, καὶ ψαλλομεν.

τὸ παρὸν ἰδιόμελον. Ἦχος Πλ. β.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. σήμερον δέχεται ἡ Βηθλεὲμ, τὸν καθήμενον διὰ παντὸς σὺν Πατρί. σήμερον Ἄγγελοι τὸ βρέφος τὸ τεχθὲν, θεοπρεπῶς δοξολογοῦσι, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Καὶ εὐθὺς Οἱ Κανόνες τοῦ Κυρίου Κοσμᾶ, καὶ τοῦ Κυρίου Ἰωάννου. τοὺς εἱρμοὺς, ἀνὰ δύω. τὰ δὲ τροπάρια, ἀνὰ δ. ἤγουν ὁμοῦ, εἰς ιβ΄. τὰ τροπάρια. Ὕστερον δὲ πάλιν τοὺς εἱρμοὺς οἱ δύω χοροὶ πρὸς μίαν. Ὁ Κανὼν, φέρων ἀκροστιχίδα τήνδε.

Χριστὸς βροτωθεὶς, ἦν ὅπερ Θεὸς μένῃ.

Ὠδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

„ Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς
„ ἐξ οὐρανῶν, ἀπαντήσατε. Χριστὸς
„ ἐπὶ γῆς, ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ
„ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσα-
„ τε λαοὶ, ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν κατ᾽ εἰκόνα γενόμενον, ὅλον τῆς φθορᾶς ὑπάρξαντα, κρείττονος ἐκπεπτωκότα θείας ζωῆς, αὖθις ἀναπλάττει, ὁ σοφὸς Δημιουργὸς, ὅτι δεδόξασται.

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσὶν, ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται. τοῦτον δὲ ἐκ Παρθένου, Θείας Ἁγνῆς, ὅλον οὐσιοῦται, ἀληθείᾳ σαρκωθεὶς, ὅτι δεδόξασται.

Σοφία λόγος καὶ δύναμις, Υἱὸς ὢν τοῦ Πατρὸς, καὶ ἀπαύγασμα. Χριστὸς ὁ Θεὸς, δυνάμεις λαθὼν, ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ. καὶ ἐνανθρωπήσας, ἀνεκτήσατο ἡμᾶς, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν Ἰαμβικὸς, φέρων ἀκροστιχίδα τήνδε διὰ στίχων ἡρωϊκῶν.

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει,
Υἷα Θεοῦ μερόπων εἵνεκα τικτόμενον
Ἐν χθονὶ, καὶ λύοντα πολύστονα πήματα Κόσμου.
Ἀλλ᾽ Ἄνα ῥητῆρας ῥύεο τῶν δε πόνων.

Ὠδὴ α΄. Ἦχος ὁ αὐτός. Ποίημα Κυρίου Ἰωάννου Μοναχοῦ. Ὁ Εἱρμός.

„ Ἔσωσε λαὸν, θαυματουργῶν δεσπότης,
„ Ὑγρὸν θαλάσσης κῦμα χερσώσας
„ πάλαι.
„ Ἑκὼν δὲ τεχθεὶς, ἐκ Κόρης τρίβον βα-
„ τὴν,
„ Πόλου τίθησιν ἡμῖν, ὃν κατ᾽ οὐσίαν,
„ Ἴσον τε Πατρὶ, καὶ βροτοῖς δοξάσωμεν.

Ἤνεγκε γαστὴρ, ἡγιασμένη Λόγον,
Σαφῶς ἀφλέκτῳ, ζωγραφουμένη
βάτῳ.
Μιγέντα μορφῇ, τῇ βροτησίᾳ Θεὸν,
Εὔας τάλαιναν, νηδὺν ἀρᾶς τῆς πάλαι,
Λύοντα πικρᾶς, ὃν βροτοὶ δοξάσωμεν.

Ἔδειξεν ἀστὴρ, τὸν πρὸ ἡλίου Λόγον,
Ἐλθόντα παῦσαι, τὴν ἁμαρτίαν Μάγοις.
Σαφῶς πενιχρὸν, εἰς σπέος τὸν συμπαθῆ,
Σὲ σπαργάνοις ἑλικτὸν, ὃν γεγηθότες,
Ἴδον τὸν αὐτὸν, καὶ βροτὸν, καὶ Κύριον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεν-
„ νηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχά-
„ των ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως,
„ Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας
„ τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὁ τῆς ἐπιπνοίας, μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκὸς, καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ, Χριστῷ γυναικὸς βοᾷ ὁρῶν. ὁ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γεγονὼς, Ἅγιος εἶ Κύριε.

Σύμμορφος πηλίνης, εὐτελοῦς διαρτίας Χριστὲ γεγονὼς, καὶ μετοχῇ σαρκὸς τῆς χείρω, μεταδοὺς θείας φύσεως, βροτὸς πεφυκὼς, καὶ μείνας Θεὸς, ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Βηθλεὲμ εὐφραίνου, Ἡγεμόνων Ἰούδα Βασίλεια. τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων



Digitized by Google

μων, Χερουβὶμ ὁ ἐπ' ὤμων, ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας τὰς χεῖρας ἡμῶν, πάντων ἐβασίλευσεν.

Ἄλλος.

„ Νεῦσον πρὸς ὕμνους, οἰκετῶν Εὐεργέτα,
„ Ἐχθροῦ ταπεινῶν, τὴν ἐπηρμένην
„ ὀφρύν.
„ Φέρων τε παντεπόπτα τῆς ἁμαρτίας,
„ Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,
„ Μάκαρ μελῳδούς, τῇ βάσει τῆς πίστεως.

Νύμφης πανάγνου, τὸν πανόλβιον τόκον,
Ἰδεῖν ὑπὲρ νοῦν, ἠξιωμένος χορός,
Ἄγραυλος ἐκλονεῖτο, τῷ ξένῳ τρόπῳ.
Τάξιν μελῳδοῦσαν τε τῶν ἀσωμάτων,
Ἄνακτα Χριστόν, ἀσπόρως σαρκούμενον.

Ὕψους ἀνάσσων, οὐρανῶν διασπλαγχνίᾳ,
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου Κόρης.
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ' ἐπ' ἐσχάτων,
Λόγος παχυνθεὶς σαρκί, τὸν πεπτωκότα,
Ἵνα πρὸς αὐτὸν, ἑλκύσῃ πρωτόκτιστον.

Ἡ Ὑπακοή. Ἦχος Πλ. δ'.

Τὴν ἀπαρχὴν τῶν ἐθνῶν, ὁ οὐρανός σοι προσεκόμισε, τῷ κειμένῳ νηπίῳ ἐν φάτνῃ, δι' ἀστέρος τοὺς Μάγους καλέσας, οὓς καὶ κατέπληττεν, οὐ σκῆπτρα, καὶ θρόνοι, ἀλλ' ἐσχάτη πτωχεία. τί γὰρ εὐτελέστερον σπηλαίου; τί δὲ ταπεινότερον σπαργάνων; ἐν οἷς διέλαμψεν ὁ τῆς Θεότητός σου πλοῦτος. Κύριε δόξα σοι.

Ἰστέον ὅτι, ὅτε λέγομεν Ὑπακοήν, Κάθισμα. οὐ λέγομεν, ὡς ἔν τισι Τυπικοῖς εὕρομεν.

Κάθισμα. Ἦχος Πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω οὐρανός, γῆ εὐφραινέσθω, ὅτι ἐτέχθη ἐπὶ γῆς, ὁ ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ Κόσμῳ τὴν ἀπολύτρωσιν. ὁ Λόγος ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς Παρθένου ἄνευ σπορᾶς. ὃν οἱ Μάγοι ἐξίσταντο, ὁρῶντες ἐν Βηθλεέμ, τικτόμενον ὡς νήπιον, ὃν δοξάζει τὰ σύμπαντα.

Πάλιν τὸ αὐτό. Ὠδὴ δ'. Ὁ Εἱρμός.

„ Ῥάβδος, ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ „ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρ„ θένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετὸς „ κατασκίου δασέος. ἦλθες σαρκωθεὶς ἐξ „ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός· δόξα τῇ δυ„ νάμει σου Κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακώβ, ἐθνῶν ἀπεκδοχὴν Χριστέ, φυλῆς Ἰούδα ἐξανέτειλας, καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας σκῦλά τε, ἦλθες προνομεύσας πλάνην τρέπων, εἰς πίστιν θεοπρεπῆ· δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ Μάντεως πάλαι Βαλαάμ, τῶν λόγων μυητὰς σοφούς, ἀστεροσκόπους χαρᾶς ἐπλήσας, ἀστὴρ ἐκ τοῦ Ἰακώβ, ἀνατείλας Δέσποτα, ἐθνῶν ἀπαρχὴν εἰσαγομένους, ἐδέξω δὲ προφανῶς, δῶρά σοι δεκτὰ προσκομίζοντας.

Ὡς πόκῳ γαστρὶ Παρθενικῇ, κατέβης ὑετὸς Χριστέ, καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι. Αἰθίοπες, καὶ Θαρσεῖς, καὶ Ἀράβων νῆσοί τε, Σαβᾶ Μήδων πάσης γῆς κρατοῦντες, προσέπεσόν σοι Σωτήρ· δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος.

„ Γένους βροτείου, τὴν ἀνάπλασιν πά„ λαι, Ἄδων Προφήτης Ἀββακοὺμ
„ προμηνύει,
„ Ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον.
„ Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς Παρθένου,
„ Ἐξῆλθε λαῶν, εἰς ἀνάπλασιν Λόγος.

Ἴσος προῆλθες, τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε σάρκα, προσλαβὼν ἐκ Παρθένου.
Ἰὸν καθάραι τῆς δρακοντίας κάρας.
Ἄγων ἅπαντας, πρὸς σέλας ζωηφόρον.
Θεὸς πεφυκώς, ἐκ πυλῶν ἀνηλίων.

Ἔθνη τὰ πρόσθεν, τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην, δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας, σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντα Χριστόν, ὡς εὐεργέτην,
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ Παρθένε,
Ὅρους παρῆλθες, τῶν βροτῶν τῆς οὐσίας.
Πατρὸς τεκοῦσα, τὸν πρὸ αἰώνων Λόγον.
Ὡς ηὐδόκησεν αὐτός, ἐσφραγισμένην
Νηδὺν διελθεῖν, τῇ κενώσει τῇ ξένῃ.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

„ Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς

μεγ

Digitized by Google

„ μεγάλης βουλῆς σὲ τὸν Ἄγγελον, εἰρή-
„ νην παρεχόμενον, ἀπέστειλας ἡμῖν. ὅ-
„ θεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέν-
„ τες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦ-
„ μέν σε φιλάνθρωπε.

Ἐν δούλοις τῷ Καίσαρος δόγματι, ἀπεγράφης πειθήσας, καὶ δούλους ἡμᾶς ἐχθροῦ καὶ ἁμαρτίας, ἠλευθέρωσας Χριστέ. ὅλον τὸ καθ᾽ ἡμᾶς δὲ πτωχεύσας, καὶ χοϊκὸν ἐξ αὐτῆς ἑνώσεως, καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ Παρθένος ὡς πάλαι φησίν, ἐν γαστρὶ συλλαβοῦσα ἐκύησε, Θεὸν ἐνανθρωπήσαντα. καὶ μένει Παρθένος. δι᾽ ἧς καταλλαγέντες, Θεῷ οἱ ἁμαρτωλοί, Θεοτόκον κυρίως οὖσαν, ἐν πίστει ἀνυμνήσωμεν.

Ἄλλος.

„ Ἐκνυκτὸς ἔργων, ἐσκοτισμένης πλάνης,
„ Ἱλασμὸν ἡμῖν Χριστέ, τοῖς ἐγρηγόρως,
„ Νῦν σοι τελοῦσιν ὕμνον, ὡς εὐεργέτῃ,
„ Ἔλθοις πορίζων, εὔχερῆ τε τὴν τρίβον,
„ Καθ᾽ ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Ἄπλωες ἔχθος, τὸ πρὸς αὐτὸν Δεσπότης,
Τεμὼν διαμπάξ, σαρκὸς ἐν παρουσίᾳ,
Ἵνα κρατοῦντος, ὤλεσε ψυχοφθόρου,
Κόσμον συνάπτων, ταῖς ἀΰλοις οὐσίαις.
Τιθεὶς προσηνῆ τὸν τεκόντα τῇ κτίσει.
Ὁ λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος,
Μεθ᾽ ἡμέραν φῶς, τῆς ἄνω φρυκτωρίας.
Ἔθνη Θεῷ δέ, κλῆρον Υἱὸς προσφέρει,
Νέμων ἐκεῖσε, τὴν ἀπόρρητον χάριν,
Οὗ πλεῖστον, ἐξώθησεν ἡ ἁμαρτία.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

„ Ἐσπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμε-
„ σεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο. τῇ
„ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρ-
„ κα λαβών, διελήλυθε φυλάξας ἀδιάφ-
„ θορον. ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν
„ τεκοῦσαν, κατέσχεν ἀπήμαντον.

Ἦλθε σαρκωθεὶς Χριστὸς ὁ Θεὸς ἡμῶν, γαστρὸς ὃν Πατὴρ, πρὸ ἑωσφόρου γεννᾷ, τὰς ἡνίας δέ, ὁ κρατῶν τῶν ἀχράντων δυνάμεων, ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται, ῥάκει σπαργανοῦται λύει δέ, πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδάμ, παιδίον φυράματος, ἐτέχθη Υἱός, καὶ πιστοῖς δέδοται, τοῦ δὲ μέλλοντος, οὗτος ἐστὶν αἰῶνος, Πατὴρ καὶ Ἄρχων, καὶ καλεῖται τῆς μεγάλης Βουλῆς Ἄγγελος, οὗτος ἰσχυρὸς Θεός ἐστι, καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως. Ἄλλος.

„ Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις,
„ Ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέ-
„ σαι.
„ Νυγεὶς ἐγὼ δέ, τοῦ τυραννοῦντος βέλει,
„ Χριστῷ προσαυδῶ, τῷ κακῶν ἀναιρέτῃ.
„ Θᾶττον μολῆσαι τῆς ἐμῆς ῥᾳθυμίας.

Ὅς ἦν ἐν ἀρχῇ, πρὸς Θεὸν Θεὸς λόγος,
Νῦν κρατύνει, μὴ σθένουσαν τὴν πάλαι,
Ἰδὼν φυλάξαι, τὴν καθ᾽ ἡμᾶς οὐσίαν.
Καθεὶς σεαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθις προσφαίνων, τῶν παθῶν ἐλευθέραν.
Ἥκται δι᾽ ἡμᾶς, Ἀβραὰμ ἐξ ὀσφύος,
Λυγρῶς πεσόντας, ἐν σκότει τῶν πταισμάτων,
Υἱὸς ἐγεῖραι, τῶν κάτω μεμυκότων,
Ὁ φῶς κατοικῶν, καὶ φάτνην παρ᾽ ἀξίαν,
Νῦν εὐδοκήσας, εἰς βροτῶν σωτηρίαν.

Κοντάκιον. Ἦχος γ΄.

Ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει. καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι. δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον ὁ πρὸ αἰώνων Θεός. Ὁ Οἶκος.

Τὴν Ἐδὲμ Βηθλεὲμ ἤνοιξε, δεῦτε ἴδωμεν, τὴν τρυφὴν ἐν κρυφῇ εὕρομεν, δεῦτε λάβωμεν, τὰ τοῦ Παραδείσου, ἔνδον τοῦ σπηλαίου. ἐκεῖ ἐφάνη ῥίζα ἀπότιστος, βλαστάνουσα ἄφεσιν. ἐκεῖ εὑρέθη φρέαρ ἀνόρυκτον, οὗ πιεῖν Δαβὶδ πρὶν ἐπεθύμει. ἐκεῖ Παρθένος τεκοῦσα βρέφος, τὴν δίψαν ἔπαυσεν εὐθύς, τὴν τοῦ Ἀδάμ, καὶ τοῦ Δαβίδ. διὰ τοῦτο, πρὸς τοῦτο ἐπειχθῶμεν οὗ ἐτέχθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Τῷ αὐτῷ Μηνὶ ΚΕ΄. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.


Digitized by Google

Στίχ. Θεὸς τὸ τεχθέν, ἡ δὲ Μήτηρ Παρθένος.
Τί μεῖζον ἄλλο καινὸν εἶδεν ἡ κτίσις;
Παρθενικὴ Μαρίη Θεὸν εἰκάδι γείνατο πέμπτῃ.

Ἰδὼν ὁ φιλάνθρωπος Θεὸς τὸ γένος τῶν ἀνθρώπων ὑπὸ τοῦ διαβόλου τυραννούμενον, ἐσπλαγχνίσθη. καὶ ἀποστείλας τὸν Ἀρχάγγελον αὐτοῦ Γαβριήλ, εἶπε τῇ Θεοτόκῳ τό, χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. καὶ εὐθέως συνελήφθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἐν τῇ ἀχράντῳ μήτρᾳ αὐτῆς. καὶ πληρωθέντων τῶν ἐννέα μηνῶν, ἀπὸ τῆς συλλήψεως αὐτῆς, ἐξῆλθεν ὁρισμὸς παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν Οἰκουμένην. καὶ ἀπεστάλη Κυρήνιος εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐν Βηθλεέμ, ποιήσασθαι ἀπογραφήν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ὁ φύλαξ τῆς Θεοτόκου σὺν αὐτῇ, τοῦ ἀπογραφῆναι ἐν Βηθλεέμ. καὶ ἐπεὶ ἔμελλε τίκτειν ἡ Παρθένος, μὴ εὑρίσκουσα οἴκημα, διὰ τὸν πολὺν λαόν, εἰσῆλθεν εἰς πενιχρὸν σπήλαιον. καὶ ἐκεῖ ἔτεκεν ἀφθόρως τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ ἐσπαργάνωσεν αὐτόν, ὡς βρέφος. καὶ ἐν τῇ τῶν ἀλόγων φάτνῃ ἀνέκλινε, καὶ ἔθηκε τὸν τῶν ἁπάντων Κτίστην, ὡς μέλλοντα ῥύσασθαι ἡμᾶς τῆς ἀλογίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ προσκύνησις τῶν Μάγων.

Στ. Σὲ προσκυνοῦσα τάξις ἐθνικὴ Λόγε,
Τὸ πρὸς σὲ δηλοῖ τῶν ἐθνῶν μέλλον σέβας.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο Μάντις, λεγόμενος Βαλαάμ, ἐν τῇ τῶν Περσῶν χώρᾳ. καὶ μαντευόμενος καὶ ἄλλα πολλά, εἶπε καὶ τοῦτο. Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. ἔχοντες οὖν οἱ ἄλλοι Μάντεις τὴν τοιαύτην προφητείαν κατὰ διαδοχήν, ἐδίδασκον πάντας τοὺς τῶν Περσῶν Βασιλεῖς. καὶ περιῆλθεν ἄχρι τούτων, τρεῖς ὄντας, καὶ παρετήρουν πότε ἴδωσιν ἀστέρα τοιοῦτον. ὡς ἀστρονόμοι δὲ ἰδόντες τὸν τοῦ Χριστοῦ ἀστέρα, ὅτι οὐκ ἐποίει πορείαν, ὡς οἱ λοιποὶ ἀστέρες, ἀπὸ ἀνατολῶν πρὸς δύσιν, ἀλλ' ἀπὸ ἄρκτου πρὸς μεσημβρίαν, ἔγνωσαν ὅτι γέννησιν μεγάλου Βασιλέως δηλοῖ, καὶ ἀκολουθήσαντες τῷ ἀστέρι, εὗρον Χριστὸν τὸν Κύριον, καὶ πεσόντες προσεκύνησαν αὐτῷ. καὶ προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν. καὶ οὕτω τῇ προστάξει τοῦ Ἀγγέλου, ὑπέστρεψαν εἰς τὴν χώραν αὐτῶν. μαθὼν δὲ Ἡρώδης, ὁ τῶν Ἰουδαίων ἀρχηγός, παρὰ τῶν Μάγων, ὅτι Βασιλεὺς μέγας ἐγεννήθη, ὃς μέλλει τὸν Κόσμον ὅλον ὑποτάξαι, προσεκαλέσατο τοὺς Μάγους λάθρα, καὶ εἶπεν. Ἀπελθόντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃ ποῦ ἐστί, καὶ ἀποστείλῃ καὶ φονεύσῃ αὐτό. εἶτα προσκαλεσάμενος τοὺς Γραμματεῖς, ἠρώτησε, ποῦ λέγει ἡ Γραφὴ γεννηθῆναι τὸν Χριστόν; οἱ δὲ εἶπον, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Τότε ἀπέστειλε τὰ στρατεύματα αὐτοῦ, φονεῦσαι τοὺς ἐν Βηθλεὲμ παῖδας, ἀπὸ διετοῦς καὶ κατωτέρω. Διὰ τοῦτο ἀπεστάλη Ἄγγελος ἐκ Θεοῦ, καὶ εἶπε τῷ Ἰωσήφ. Ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. Ὁ δὲ Ἰωσὴφ ἐποίησεν οὕτω. καὶ παραλαβὼν τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, ἀπῆλθεν εἰς Αἴγυπτον.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν. ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Ποιμένες ἀγραυλοῦντες, ἐκπλαγοῦς φωτοφανείας ἔτυχον. δόξα Κυρίου γὰρ αὐτούς, περιέλαμψε καὶ Ἄγγελος, ἀνυμνήσατε βοῶν, ὅτι ἐτέχθη Χριστός· ὁ τῶν Πατέρων Θεός, ἐνανθρωπήσας.

Ἐξαίφνης σὺν τῷ λόγῳ τοῦ Ἀγγέλου, οὐρανῶν στρατεύματα, δόξα ἐκραύγαζον Θεῷ, ἐν ὑψίστοις ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, Χριστὸς ἔλαμψεν· ὁ τῶν Πατέρων Θεὸς ἐνανθρωπήσας.

Ῥῆμα

Digitized by Google

Ρῆμα τί τοῦτο εἶπον οἱ Ποιμένες, διελθόντες ἴδωμεν τὸ γεγονὸς, Θεῖον Χριστόν. Βηθλεὲμ καταλαβόντες δὲ σὺν τῇ τεκούσῃ, προσεκύνουν ἀναμέλποντες· ὁ τῶν Πατέρων Θεὸς, εὐλογητὸς εἶ.

Ἄλλος.

„ Ἰὼ παντάμακτος, ἐξεφαύλισαν πόθῳ,
„ Ἄπλητα θυμαίνοντος ἠγχισρωμένοι,
„ Παῖδες τυράννου, δυσθεον γλωσσαλγίαν.
„ Οἷς εἶκαθε πῦρ, ἄσπετον τῷ Δεσπότῃ,
„ Λέγουσιν, εἰς αἰῶνας εὐλογητὸς εἶ.

Ὑπηρέτας μὲν, ἐμμανῶς καταφλέγει,
Σώζει δὲ παμφλάζουσα, ῥοιζηδὸν νέους,
Ταῖς ἑπταμέτροις καύσεσι, πυρουμένη,
Οὓς ἔστεφε φλὸξ ἄφθονον, τοῦ Κυρίου.
Νέμοντος εὐσεβείας εἵνεκα δρόσον.

Ἔρρωγε Χριστὲ, τὸν βροτοῖς ἐναντίον,
Πρόβλημα τὴν σάρκωσιν ἀῤῥήτως ἔχων,
Ἤχυνας ὄλβον, τῆς θεώσεως φέρων.
Μορφούμενος νῦν, ἧς τιμος δι' ἐλπίδα,
Ἄνωθεν εἰς κάθμῶνας ἤλθομεν ζόφου.

Τὴν ἀγριωπὸν, ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύσασαν ἐξοιστρουμένην,
Κόσμου καθεῖλες, παναθενῶς ἁμαρτίαν.
Οὓς εἵλκυσε πρὶν, σήμερον τῶν ἀρκύων,
Σώζεις δὲ σαρκωθεὶς ἑκὼν εὐεργέτα.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„ Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον. οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος Παρθένου, ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ἕλκει Βαβυλῶνος ἡ Θυγάτηρ παῖδας, δορυκτήτους Δαβὶδ ἐκ Σιών. ἐν αὐτῇ δωροφόρους πέμπει δὲ, Μάγους παῖδας, τὴν τοῦ Δαβὶδ [Θ]εοδόχον Θυγατέρα λιτανεύσοντας. [δ]ιὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς. οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών. Βαβυλῶνος λύει δὲ, πλάνην πᾶσαν καὶ μουσικῶν, ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς Βασιλίδος Σιὼν, καὶ δορύκτητον ὄλβον ἐδέξατο, θησαυροὺς Χριστός. ἐν Σιὼν δὲ ταύτης, καὶ Βασιλεῖς σὺν ἀστέρι ὁδηγῷ, ἀστροπολοῦντας ἕλκει. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος.

„ Μήτραν ἀφλέκτως, εἰκονίζουσι Κόρης,
„ Οἱ τῆς παλαιᾶς, πυρπολούμενοι νέοι,
„ Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην.
„ Ἄμφω δὲ δρῶσα, θαυματουργίᾳ μιᾷ,
„ Λαοὺς πρὸς ὕμνον, ἐξανίστησι χάρις.

Ὕμνῳ φυγοῦσα, τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄληκτον ὑμνεῖ, τὸν κενούμενον Λόγον,
Νεανικῶς ἅπασα, σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὖχος, δειματουμένη φέρειν,
Ῥαστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις πλανῆτιν, πρὸς μονὴν ἐπιστρέφων,
Τὴν αὐτοποιὸν, ἐξ ἐρημαίων λόφων,
Ἣ τῶν ἐθνῶν ἔγ[ειρ]ε, ἀνθρώπων φύσιν,
Ῥώμην βιαίαν, τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανεὶς τε, καὶ Θεὸς προμηθείᾳ.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

„ Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον, Οὐρανὸν τὸ σπήλαιον, θρόνον Χερουβικὸν, τὴν Παρθένον, τὴν φάτνην, χωρίον. ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός. ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαίσιον δρόμον ὁρῶντες οἱ Μάγοι, ἀσυνήθους νέου ἀστέρος, ἀρτιφαοῦς οὐρανίους ὑπερλάμποντος, Χριστὸν Βασιλέα, ἐτεκμήραντο ἐν γῇ, γεννηθέντα Βηθλεὲμ, εἰς σωτηρίαν ἡμῶν.

Νεηγενὲς Μάγων λεγόντων, παιδίον ἄναξ οὗ ἀστὴρ ἐφάνη π[οῦ ἐσ]τιν; εἰς γὰρ ἐκείνου προσκύνησιν ἥκομεν. [μ]ανεὶς ὁ Ἡρώδης, ἐταράττετο, Χριστὸν ἀνελεῖν, ὁ θεομάχος φρυαττόμενος.

Ἠκρί-

Digitized by Google

Ἠκρίβωσε χρόνον Ἡρώδης ἀστέρος. οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἐν Βηθλεὲμ, προσκυνοῦσι Χριστῷ σὺν δώροις. ὑφ' οὗ πρὸς Πατρίδα ὁδηγούμενοι, δεινὸν παιδοκτόνον, ἐγκατέλιπον παιζόμενον.

Ἄλλος.

„ Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ.
„ Ῥᾷον σιωπὴ, τῷ πόθῳ δὲ Παρθένε,
„ Ὕμνους ὑφαίνειν, συντόνως τεθειμένους,
„ Ἐργῶδες ἐστὶν, ἀλλὰ καὶ Μήτηρ σθένος,
„ Ὅση πέφυκεν, ἡ προαίρεσις δίδου.

Τύπους ἀφεγγεῖς, καὶ σκιὰς παρηγμένας,
Ὦ Μῆτερ Ἁγνὴ, τοῦ Λόγου δεδορκότες,
Νέου φανέντος, ἐκ πύλης κεκλεισμένης,
Δεξάμενοί τε, τῆς ἀληθείας φάος,
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχὼς, καὶ Θεοῦ παρουσίας,
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος,
Νῦν ποτνιᾶται, τῆς παλιγγενεσίας,
Ὡς ζωοποιοῦ, τὴν χάριν δὲ Παρθένε,
Νέμοις ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

Ἐξαποστειλάριον ἴδιον. Λέγεται. ἐκ γ'.

Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν, ἀνατολὴ ἀνατολῶν, καὶ οἱ ἐν σκότει καὶ σκιᾷ, εὕρομεν τὴν ἀλήθειαν. καὶ γὰρ ἐκ τῆς Παρθένου ἐτέχθη ὁ Κύριος.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν, στιχ. Ἰδιόμελα. Ἦχος δ'.

Ἀνδρέου Ἱεροσολυμίτου.

Εὐφραίνεσθε δίκαιοι, Οὐρανοὶ ἀγαλλιᾶσθε, σκιρτήσατε τὰ ὄρη, Χριστοῦ γεννηθέντος. Παρθένος καθέζεται, τὰ Χερουβὶμ μιμουμένη, βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. Ποιμένες τὸν τεχθέντα δοξάζουσι. Μάγοι τῷ Δεσπότῃ, δῶρα προσφέρουσιν. Ἄγγελοι ἀνυμνοῦντες λέγουσιν. ἀκατάληπτε Κύριε δόξα σοι.

Ὁ αὐτὸς.

Ὁ Πατὴρ εὐδόκησεν, ὁ Λόγος σὰρξ ἐγένετο. καὶ ἡ Παρθένος ἔτεκε, Θεὸν ἐνανθρωπήσαντα. ἀστὴρ μηνύει. Μάγοι προσκυνοῦσι. Ποιμένες θαυμάζουσι. καὶ ἡ Κτίσις ἀγάλλεται.

Ὁ αὐτὸς.

Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα, ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας, ὅτι Μήτηρ γέγονας, τῆς εὐδοκίας τοῦ Πατρὸς, βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. οὐ φέρει τὸ μυστήριον ἔρευναν. πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν κράζοντες, μετὰ σοῦ καὶ λέγοντες. ἀνερμήνευτε Κύριε δόξα σοι.

Ὁ αὐτὸς.

Δεῦτε ἀνυμνήσωμεν, τὴν Μητέρα τοῦ Σωτῆρος, τὴν μετὰ τόκον πάλιν ὀφθεῖσαν Παρθένον. χαίροις Πόλις ἔμψυχε, τοῦ Βασιλέως, καὶ Θεοῦ, ἐν ᾗ Χριστὸς οἰκήσας, Σωτηρίαν εἰργάσατο. μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν σε. μετὰ τῶν Ποιμένων, δοξάζομεν κράζοντες. Θεοτόκε πρέσβευε, τῷ ἐκ σοῦ σαρκωθέντι, σωθῆναι ἡμᾶς.

Δόξα. Ἦχος Πλ. β'. Γερμανοῦ.

Ὅτε καιρὸς, τῆς ἐπὶ γῆς παρουσίας σου, πρώτη ἀπογραφὴ, τῇ Οἰκουμένῃ ἐγένετο, τότε ἔμελλες τῶν ἀνθρώπων ἀπογράψασθαι τὰ ὀνόματα, τῶν πιστευόντων τῷ τόκῳ σου. διὰ τοῦτο, τὸ τοιοῦτον δόγμα, ὑπὸ Καίσαρος ἐξεφωνήθη. τῆς γὰρ αἰωνίου σου βασιλείας, τὸ ἄναρχον ἐκαινουργήθη. διό σοι προσφέρομεν καὶ ἡμεῖς, ὑπὲρ τὴν χρηματικὴν φορολογίαν, ὀρθοδόξου πλουτισμὸν θεολογίας, τῷ Θεῷ καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος β'. Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου, σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. αἱ Δυνάμεις τῶν Οὐρανῶν ἀγάλλονται, καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται. οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν. οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν. ἡμεῖς δὲ, ἀκαταπαύστως βοῶμεν. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Ἀντίφωνα.

Ἀντίφωνον α'. Ἦχος β'.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἐν

Digitized by Google

Στίχ. β'. Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ, μεγάλα τὰ ἔργα Κυρίου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. γ'. Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στ. δ'. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Εἶτα οἱ δύω χοροὶ ὁμοῦ. Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β'. Ἦχος β.

Στ. α'. Μακάριος ἀνὴρ, ὁ φοβούμενος τὸν Κύριον. ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθεὶς, ψάλλοντάς σοι. Ἀλληλούϊα.

Στ. β'. Δυνατὸν ἐν τῇ Γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς.

Στ. γ'. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς.

Στ. δ'. Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς.

Δόξα, καὶ νῦν. Ὁμοῦ οἱ δύω χοροί.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον γ'. Ἦχος δ'.

Στ. α'. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ Κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως.

Στίχ. β'. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ Κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως.

Στ. γ'. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰσοδικόν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε. ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Εἶτα γεγονωτέρᾳ φωνῇ.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα, καὶ νῦν.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Κοινωνικόν. Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ.

## ΤΥΠΙΚΟΝ.

Περὶ τῆς Ἑορτῆς τῶν Χριστοῦ Γεννῶν, εἰ τύχῃ ἐν Κυριακῇ, πῶς ψάλλεται ἡ μετὰ τὴν Χριστοῦ Γέννησιν Κυριακὴ, ἐν τῇ εἰκοστῇ ἕκτῃ τοῦ Δεκεμβρίου Μηνός.

Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ἡ Ἑορτὴ τῶν Χριστοῦ Γεννῶν ἐν Κυριακῇ, ψάλλεται ἡ μετὰ τὴν Χριστοῦ Γέννησιν Κυριακὴ, ἐν τῇ κϛ'. τοῦ Δεκεμβρίου Μηνὸς, οὕτως. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, στ. τῆς Ἑορτῆς, τοὺς γ'. δευτέρους. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. καὶ τὰ ἕτερα δύω, καὶ τῶν Ἁγίων προσόμοια γ'. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων. Δόξα, Ἦχος πλ. β'. Μνήμην ἐπιτελοῦμεν. Καὶ νῦν, ὁ αὐτός. Δόξα ἐν Ὑψίστοις Θεῷ. Εἴσοδος. Προκείμενον. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; μετὰ τῶν στ. αὐτοῦ Εἰς τὸν στ. στ. Ἰδιόμελα τῆς Ἑορτῆς, τοὺς γ'. πρῶτ. μετὰ τῶν στ. αὐτῶν. Δόξα τῶν Ἁγίων, Ἦχος πλ. β'. Ἱερέων μνήμην. Καὶ νῦν, Ἦχος πρῶτ. Ἐν Βηθλεὲμ συνέδραμον Ποιμένες. Ἀπολυτίκιον τῶν Ἁγίων, Ἦχος β'. Εὐαγγελίζου Ἰωσήφ. καὶ τῆς Ἑορτῆς. Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος. Ἀπολυτίκιον, τῆς Ἑορτῆς δὶς, καὶ τῶν Ἁγίων. εἶτα πάλιν τῆς Ἑορτῆς. Ἐν τῇ στιχολογίᾳ τοῦ Ψαλτηρίου, καθίσματα τῆς Ἑορτῆς. Ἀνάγνωσις, Λόγος τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Νύσσης, εἰς τὸν Ἀβραὰμ, καὶ εἰς τὴν Ἁγίαν Τριάδα, εἰς δόσεις δύω. Οἱ Κανόνες τῆς Ἑορτῆς, μετὰ τῶν Εἱρμῶν εἰς ι'. καὶ τῶν Ἁγίων εἰς δ'. Καταβασία. Χριστὸς γεννᾶται. Ἀπὸ γ'. ᾠδῆς, Κοντάκιον τῆς Ἑορτῆς, Ἦχος πλ. β'. Ὁ πρὸ Ἑωσφόρου. καὶ ὁ Οἶκος. Εἶτα τὰ καθίσματα τῶν Ἁγίων, καὶ τῆς Ἑορτῆς. Ἀφ' ἕκτης, Κοντάκιον τῶν Ἁγίων. Ἐν τῇ θ'. ᾠδῇ, οὐ στιχολογεῖται ἡ Τιμιωτέρα.

Digitized by Google

τέρα. Ἐξαποστειλάριον τῶν Ἁγίων, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους στιχ. Ἰδιόμελα, τοὺς δ΄. τετάρτους. Δόξα, τῶν Ἁγίων, Ἦχος πλ. δ΄. Αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Καὶ νῦν. Σήμερον ὁ Χριστός. Δοξολογία μεγάλη. Καὶ μετὰ τὸ Τρισάγιον. Ἀπολυτίκιον, τῶν Ἁγίων. Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς. Ἡ ἐκτενὴς, ἡ Κατήχησις, ἡ συνήθης Λιτὴ, καὶ ἡ α΄. ὥρα ἐν τῷ νάρθηκι, καὶ Ἀπόλυσις. Ἐν ταῖς ὥραις, Ἀπολυτίκιον τῆς Ἑορτῆς, καὶ κοντ. τῶν ὡρῶν. Μετὰ τὸ τρισάγιον. Κοντάκιον τῆς Ἑορτῆς. Ὁ πρὸ Ἑωσφόρου. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων, τῆς Ἑορτῆς ᾠδὴ γ΄. καὶ τῶν Ἁγίων ἡ ς΄. Ἀπολυτίκιον τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Δόξα. Κοντάκιον τῶν Ἁγίων. Καὶ νῦν, τῆς Ἑορτῆς. Ὁ πρὸ Ἑωσφόρου. Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος γ΄. ᾠδὴ τῆς Θεοτόκου. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. στιχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἕτερον τῶν Ἁγίων, Ἦχος δ΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. Ὁ Ἀπόστολος πρὸς Ἑβραίους. Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες. καὶ τῶν Ἁγίων. πρὸς Κορινθίους α΄. Γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον. Ἀλληλούϊάριον τῆς Θεοτόκου, Ἦχος πλ. δ΄. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου. καὶ τῶν Ἁγίων. Ἦχος δ΄. Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ, Εὐαγγέλιον κατὰ Ματθαῖον. Ἀναχωρησάντων τῶν Μάγων. Κοινωνικόν. Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. καὶ τῶν Ἁγίων. Ἀγαλλιᾶσθε Δίκαιοι ἐν Κυρίῳ. Τὴν δὲ Ἀκολουθίαν τοῦ Ἁγίου Εὐθυμίου, ψάλλομεν ἐν ταῖς Ἀποδείπνοις.

Περὶ τῆς Ἀποδόσεως τῆς Ἑορτῆς τῶν Χριστοῦ Γεννῶν, εἰ τύχῃ ἐν Κυριακῇ.

Χρὴ εἰδέναι, ὅτι ἐὰν φθάσῃ ἡ Ἀπόδοσις τῆς Ἑορτῆς τῶν Χριστοῦ Γεννῶν ἐν Κυριακῇ, ἐν τῷ μικρῷ Ἑσπερινῷ, στιχ. Ἀναστάσιμα, καὶ τῆς Θεοτόκου, ὡς σύνηθες. Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὴν συνήθη στιχολ. εἰς τὸ, Κύριε ἐκέκραξα, στιχ. Ἀναστάσιμα γ΄. καὶ τῆς Ἑορτῆς τοὺς δ΄. δευτέρους. Δεῦτε ἀγαλλιασώμεθα, καὶ τὰ ἕτερα γ΄. καὶ τῶν Ἁγίων Πατέρων, προσόμοια γ΄. Ἦχος α΄. Τὸν Θεοπάτορα πάντες. καὶ τὰ ἕτερα δύω. Δόξα τῶν Ἁγίων, Ἦχος πλ. β΄. Μνήμην ἐπιτελοῦμεν. Καὶ νῦν. Ἦχος β΄. Αὐγούστου μοναρχήσαντος. Εἰς τὸν στ. στιχ. Ἀναστάσιμα τοῦ ἤχου, τὰ κατ᾿ Ἀλφ. Δόξα τῶν Ἁγίων, Ἦχος πλ. β΄. Γερέων μνήμη. Καὶ νῦν, τῆς Ἑορτῆς. Ἦχος δ΄. Σπηλαίῳ παρῴκησας, Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων, τὸ, Θεοτόκε Παρθένε, δὶς, καὶ τῶν Ἁγίων, ἅπαξ, Εὐαγγελίζου Ἰωσήφ. Ἀνάγνωσις, εἰς τὰς Ἐπιστολάς. αἱ δὲ ἕτεραι Ἀναγνώσεις, ἐκ τοῦ βίου τοῦ Χρυσοστόμου, καὶ τῆς Ὁσίας μητρὸς ἡμῶν Μελάνης. Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ, Θεὸς Κύριος, Ἀπολυτίκιον τὸ Ἀναστάσιμον δὶς, τῶν Ἁγίων, καὶ τῆς Ἑορτῆς. Εἰς τὰ καθίσματα. τῆς στιχολ. καθίσματα. Ἀναστάσιμα, μετὰ τῶν Θεοτοκίων αὐτῶν. Ὁ Ἄμωμος. Ἡ Ὑπακοή. οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον. Πᾶσα πνοή. Εὐαγγέλιον Ἀναστάσιμον. Οἱ Κανόνες, ὁ Ἀναστάσιμος, εἰς δ΄. τῆς Θεοτόκου, εἰς β΄. τῆς Ἑορτῆς οἱ δύω, εἰς ς΄. καὶ τῶν Ἁγίων, εἰς δ΄. Καταβασία. Χριστὸς γεννᾶται. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον, καὶ τὸν Οἶκον τῶν Ἁγίων. εἶτα, καθίσματα. τῶν Ἁγίων, καὶ τῆς Ἑορτῆς, καὶ Ἀνάγνωσις τοῦ Ἁγίου Γρηγορίου τοῦ Νύσσης, εἰς δόσιν μίαν. Ἀφ᾿ ἕκτης, τὸ Κοντάκιον. καὶ τὸν Οἶκον τῆς Ἑορτῆς. Ἐν τῇ θ΄. ᾠδῇ, στιχολογεῖται ἡ Τιμιωτέρα. Ἐξαποστειλάριον τὸ Ἀναστάσιμον, τῶν Ἁγίων, καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. στιχ. Ἀναστάσιμα τοῦ ἤχου δ΄. καὶ τῆς Ἑορτῆς Ἰδιόμελα, τοὺς δ΄. τετάρτους. Δόξα τῶν Ἁγίων, Ἦχος πλ. δ΄. Αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη, καὶ μετὰ τὸ Τρισάγιον, Ἀπολυτίκιον τὸ Ἀναστάσιμον. ἡ ἐκτενὴς, ἡ Κατήχησις, ἡ συνήθης Λιτὴ, καὶ ἡ α΄. ὥρα ἐν τῷ νάρθηκι, καὶ ἀπόλυσις. Ἐν ταῖς ὥραις, ἐν τῇ μιᾷ μὲν, Ἀπολυτίκιον τὸ Ἀναστάσιμον. Δόξα τῆς Ἑορτῆς. Καὶ νῦν. κοντ. τῆς ὥρας. μετὰ δὲ τὸ Τρισάγιον. Κοντάκιον τῆς Ἑορτῆς. Ἐν δὲ τῇ ἑτέρᾳ, Ἀπολυτίκιον τὸ Ἀναστάσιμον Δόξα τῶν Ἁγίων.

Καὶ

Καὶ νῦν. Στ. τῆς ὥρας. μετὰ δὲ τὸ Τρισάγιον, Κοντάκιον, τῆς Ἑορτῆς. Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοὶ τοῦ ἤχου, εἰς δ΄. καὶ τῆς Ἑορτῆς, ἡ γ΄. ᾠδή, εἰς δ΄. καὶ τῶν Ἁγίων ἡ ϛ΄. ᾠδή, εἰς δ΄. Ἀπολυτίκιον Ἀναστάσιμον. Δόξα τῶν Ἁγίων. Καὶ νῦν τῆς Ἑορτῆς. Ὁ Ἀπόστολος τῶν Ἁγίων. Εὐαγγέλιον, τῶν Ἁγίων. Κοινωνικόν, τῆς Ἑορτῆς, καὶ τό, Αἰνεῖτε Κύριον.

Χρὴ εἰδέναι, ὅτι εἰς τὰ Προεόρτια τῶν Χριστοῦ Γεννῶν, καὶ τῶν Φώτων, καὶ εἰς τὰ Μεθεόρτια αὐτῶν, καὶ τῶν λοιπῶν Δεσποτικῶν Ἑορτῶν, εἰ τύχωσι δύω Ἅγιοι, ψάλλεται ὁ Κανὼν τῆς Ἑορτῆς, μετὰ τῶν εἱρμῶν, εἰς ϛ΄. καὶ τῶν Ἁγίων ἀνὰ τεσσάρων. Εἰ δὲ τύχῃ εἷς Ἅγιος, ψάλλεται ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν, εἰς η΄. καὶ τοῦ Ἁγίου εἰς δ΄. Εἰ δὲ ψάλλεται ὁ Ἅγιος εἰς ϛ΄. ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν εἱρμῶν εἰς η΄. καὶ τοῦ Ἁγίου εἰς ϛ΄.

Δεῖ γινώσκειν, ὅτι ἀπὸ τῆς ἀρχῆς τῶν Χριστοῦ Γεννῶν, μέχρις οὗ ἀποδοθῇ ἡ Ἑορτὴ τῶν Φώτων, Στιχολογοῦμεν εἰς τὸν Ὄρθρον καθίσματα β΄. καὶ εἰς τὸν Ἑσπερινὸν α΄. Σχολάζουσι δὲ καὶ τὰ Μεσώρια. Καὶ ἐν τοῖς Ἀποδείπνοις, οἱ Παρακλητικοὶ Κανόνες τῆς Θεοτόκου.

Μηνὶ Τῷ αὐτῷ ΚϚ΄.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου. Καὶ τοῦ Ἁγίου Ἰωσὴφ τοῦ Μνήστορος. Καὶ Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐθυμίου Ἐπισκόπου Σάρδεων. Ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

Ἑσπέρας, εἰς τὸ Λυχνικόν, Στιχολογία οὐ γίνεται. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄. καὶ ψάλλομεν τῆς Ἑορτῆς Στιχηρὰ Ἰδιόμελα, ἅπερ εἴπομεν καὶ ὀψέ, Ἦχος β΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, καὶ τὰ ἕτερα, δευτεροῦντες τὰ δύω. Δόξα, καὶ νῦν. Ἦχος Πλ. β΄.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. σήμερον δέχεται ἡ Βηθλεέμ, τὸν καθήμενον διὰ παντὸς σὺν Πατρί. σήμερον Ἄγγελοι τὸ βρέφος τὸ τεχθέν, θεοπρεπῶς δοξολογοῦσι. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Εἴσοδος. Προκείμενον. Ἦχος βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;

Στίχ. Καὶ εἶπα· νῦν ἠρξάμην. αὕτη ἡ ἀλλοίωσις. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;

Στίχ. Ἐμνήσθην τῶν ἔργων Κυρίου. Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;

Εἰς τὸν Στ. Στ. Ἰδιόμελα. Ἦχος Πλ. β΄.

Ἰωάννου Μοναχοῦ.

Παράδοξον Μυστήριον, οἰκονομεῖται σήμερον. καινοτο…ται φύσεις, καὶ Θεὸς Ἄνθρωπος γίνεται. ὅπερ ἦν, μεμένηκε, καὶ ὃ οὐκ ἦν, προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Τοῦ αὐτοῦ.

Κύριε, ἐν Βηθλεὲμ παραγενόμενος, ἐν τῷ Σπηλαίῳ παρῴκησας, ὁ Οὐρανὸν τὸν Θρόνον ἔχων, ἐν Φάτνῃ ἀνεκλίθης. ὃν στρατιαὶ κύκλῳ Ἀγγέλων, Ποιμέσι συγκατέβης, ἵνα σώσῃς ὡς εὔσπλαγχνος, τὸ γένος ἡμῶν, δόξα σοι.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε. Τοῦ αὐτοῦ.

Πῶς ἐξείπω τὸ μέγα Μυστήριον; ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· ὁ ἀόρατος ὁρᾶται. καὶ ὁ ἀναφὴς ψηλαφᾶται. καὶ ὁ ἄναρχος ἄρχεται. ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται. Ἰησοῦς Χριστός, χθές, καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν. ὁ αὐτός.

Ἐν Βηθλεὲμ, συνέδραμον Ποιμένες. τὸν ἀληθῆ μηνύοντες Ποιμένα, τὸν καθήμενον ἐπὶ τῶν Χερουβίμ, καὶ ἀνακείμενον ἐν Φάτνῃ, Νηπίου μορφὴν δι' ἡμᾶς ἀνειληφότα. Κύριε δόξα σοι.

Τό, Νῦν Ἀπολύεις. τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, τῆς Ἑορτῆς. Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ἑορτῆς ἀπαραλλάκτως, καθὼς καὶ ἐν τῇ Ἑορτῇ. Ἀπὸ τρίτης ᾠδῆς, Κοντάκιον τῆς Ἑορτῆς. Ἀφ' ἕκτης τοῦτο τὸ Κοντάκιον. Ἦχος πλ. β΄.

Ὁ πρὸ Ἑωσφόρου ἐκ Πατρὸς Ἀμήτωρ γεννηθείς, ἐπὶ τῆς γῆς Ἀ… σαρκω…

Digitized by Google

κώθη σήμερον ἐκ σοῦ. ὅθεν Ἀστὴρ διαγγελίζεται Μάγοις· Ἄγγελοι δὲ μετὰ Ποιμένων ὑμνοῦσι, τὸν ἄχραντον Τόκον σου, ἡ Κεχαριτωμένη. Ὁ Οἶκος.

Τὸν ἀγεώργητον βότρυν βλαστήσασα ἡ μυστικὴ ἄμπελος, ὡς ἐπὶ κλάδων, ἀγκάλαις ἐβάσταζε, καὶ ἔλεγε· σὺ εἶ καρπός μου, σὺ εἶ ζωή μου. ἀφ᾽ οὗ ἔγνων, ὅτι καὶ ὃ ἤμην εἰμί, σύ μου Θεός. τὴν γὰρ σφραγῖδα τῆς Παρθενίας μου ὁρῶσα ἀκατάλυτον, κηρύττω σε ἄτρεπτον Λόγον, σάρκα γενόμενον. οὐκ οἶδα σποράν, οἶδά σε λύτην τῆς φθορᾶς. ἁγνὴ γάρ εἰμι, σοῦ προελθόντος ἐξ ἐμοῦ. ὡς γὰρ εὗρες, ἔλιπες μήτραν ἐμήν. διὰ τοῦτο συγχορεύει πᾶσα Κτίσις βοῶσά μοι. Χαῖρε ἡ Κεχαριτωμένη.

Τῷ αὐτῷ Μηνὶ ΚϚ'. Ἡ Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Στ. Λεχὼ ἄμωμον ἀνδρὸς μὴ γνοῦσαν λέχος, Δώροις ἀμώμοις δεξιοῦμαι τοῖς λόγοις. Μολπὴν ἁγνοτάτῃ λεχοῖ εἰκάδι ἕκτῃ ἀείδω.

Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς, τῆς Ὑπεραγίας Θεοτόκου.

Στ. Ἤκουσα πρὸς σὲ, τὸν πάλαι πλήξαντά σε, Αἴγυπτε φρίττε, καὶ Θεὸν τοῦτον φρόνει.

Μετὰ τὸ ἀποφήνασθαι τὸν Ἡρώδην ἀναιρεθῆναι πάντας τοὺς ἐν Βηθλεὲμ Παῖδας, Ἄγγελος Κυρίου κατ᾽ ὄναρ ἐφάνη τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. φεύγει δὲ εἰς Αἴγυπτον ἡ Θεοτόκος μετὰ τοῦ Βρέφους. καὶ τοῦ Ἰωσὴφ, διὰ τὰ δύω ταῦτα· ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ Προφήτου· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. καὶ ἵνα ἐμφραγῇ πᾶν στόμα τῶν Αἱρετικῶν. εἰ γὰρ οὐκ ἔφυγεν, ἀλλ᾽ ἐκρατήθη τὸ βρέφος, εἰ μὲν ἐφονεύθη, ἐνεποδίζετο ἡ τῶν Ἀνθρώπων σωτηρία, εἰ δὲ οὐκ ἐφονεύθη, ἢ διὰ ξίφους τινὸς, ἢ ἑτέρας τιμωρίας διὰ τὸ πληρῶσαι τὴν οἰκονομίαν, δόξαν εἶχε τοῖς πολλοῖς, ὅτι κατὰ φαντασίαν ἐγένετο, καὶ οὐ κατὰ ἀλήθειαν ἐφόρεσεν ἀνθρωπίνην σάρκα. εἰ γὰρ ἐφόρει σάρκα, ἐκόπτετο ἂν ὑπὸ τῆς σπάθης, ὅπου γε καὶ προφάσεως μὴ γενομένης, ἐτόλμησαν οἱ ἄθεοι Αἱρετικοὶ τοῦτο εἰπεῖν, ὅτι κατὰ φαντασίαν ἐγεννήθη. διὰ τοῦτο φεύγει εἰς Αἴγυπτον· ἵνα καὶ τὰ ἐκεῖσε συντρίψῃ εἴδωλα, καὶ τὴν Οἰκουμένην ὅλην σώσῃ, κατὰ τὸν καιρὸν τῆς σωτηρίου Σταυρώσεως.

Τῇ αὐτῇ ἡμέρᾳ. Μνήμη τῆς ἐν τῇ Ἁγίᾳ Σορῷ ἀποτεθείσης τιμίας Ἐσθῆτος τῆς Ὑπεραγίας Θεοτόκου, ἐν Βλαχέρναις.

Στ. Τιμῶμεν Ἁγνὴ Ἐσθῆτός σου τιμίας, Τὴν σεπτὴν κατάθεσιν οἱ σοὶ Οἰκέται.

Καὶ μνήμη, τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐθυμίου Ἐπισκόπου Σάρδεων τοῦ Ὁμολογητοῦ.

Στ. Χριστῷ παραστὰς Εὐθύμιε τρισμάκαρ, Πλήρης ἀλήκτου τυγχάνεις εὐθυμίας.

Οὗτος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης. καὶ πρότερον μὲν ἐν τῇ Μοναδικῇ πολιτείᾳ, δίκην Ἀστέρος ἔλαμψεν· ἔπειτα Ἀρχιερεὺς γεγονὼς, ἐν τῇ κατὰ Νίκαιαν δευτέρᾳ Συνόδῳ τοὺς αἱρετικοὺς κατὰ κράτος ἀνέτρεψε. διὸ οὕτως ἔχοντα τοῦτον οἱ Βασιλεῖς θεασάμενοι, εἰς δημοσίας, καὶ διαφόρους πρεσβείας στέλλουσι. τοῦ δὲ Νικηφόρου τὴν Βασιλείαν κρατήσαντος, εἰς Παταλαρέαν τῷ Ἑσπέρας, ὁ Ἅγιος σὺν ἄλλοις Ἐπισκόποις Ὀρθοδόξοις διὰ Κόρινθον ἀποκείραις ἐλαύνεται. ἔκτοτε οὖν καὶ μέχρι τῆς ἀθλοφορίας ὁ πανόλβιος, οὐκ ἔτι γέγονεν ἐγκρατὴς τῆς ἰδίας Μητροπόλεως, χρόνων ἐννέα καὶ εἴκοσι παρῳχηκότων ἤδη. ἐκ ποδῶν δὲ γενομένων τῶν Κρατησάντων Βασιλέων, καὶ Λέοντος τοῦ θηριωνύμου τὰ Ῥωμαϊκὰ σκῆπτρα διαδεξαμένου, ἐκ τῆς ὑπερορίας ὁ Ἅγιος μεταστέλλεται, καὶ πρὸς αὐτοῦ ἐρωτᾶται εἰ ταῖς Εἰκόσι, φησὶ, νέμῃ σέβας. τοῦ δὲ Ἁγίου τῇ ἐξ ἔθους παῤῥησίᾳ χρησαμένου, καὶ ἀναθέματι τοῦτον ὑποβαλόντος, ὁ Τύραννος ὀργισθεὶς, ἐν τῇ Ἄσσῳ τοῦτον ὑπερορίζει καὶ αὖθις. μαχαίρας δὲ ἔργον τοῦ κακίστου Λέοντος γενομένου, πρὸς τοῦ μετ᾽ αὐτὸν κρατήσαντος τῆς Ἄσσου, ὁ Μακάριος ἀνακαλεῖται. καὶ σέβας ταῖς Ἁγίαις Εἰκόσι μὴ προσάγειν ἀναγκάζεται. ὁ δὲ αὖθις, καὶ τοῦτον λόγοις καταβροντήσας, καὶ τὸ εἴτις οὐ προσκυνεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν Εἰκόνι περιγραπτὸν, οὕ-

τω

Digitized by Google

τῷ ἀνάθεμα, ἐκβοήσας, παίεται, καὶ ἐν τῷ Ἀκρίτᾳ ὑπερορίζεται, καὶ ἐν εἱρκτῇ ζοφωδεστάτῃ ἐγκλείεται. ἔπειτα ἐκ τεσσάρων τείνεται, καὶ βουνεύροις ὠμοῖς ἐπὶ πολὺ καταξαίνεται. ὅθεν ὁ Ἅγιος δίκην ἀσκοῦ ἐκ τῆς διαφορήτων ἐκείνων πληγῶν ὀγκωθεὶς, ὀκτὼ μόνας ἡμέρας μετὰ τὴν ἄθλησιν ἐκαρτέρησε· καὶ ὑπὲρ Ἥλιον λάμψας, τὸ πνεῦμα αὐτοῦ εἰς χεῖρας Θεοῦ παρατίθεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κωνσταντίνου τοῦ ἐξ Ἰουδαίων.

Στ. Ὡς ἐξ ἀκανθῶν Ἰουδαίων ῥόδον,
Ὁ θεῖος ἀνθεῖς, καὶ θανὼν Κωνσταντῖνος.

Τούτῳ πατρὶς μὲν ἦν ἡ Συνάδων, πατέρες δὲ τῇ τοῦ νόμου σκιᾷ λατρεύοντες, Ἰουδαῖοι γὰρ τὴν θρησκείαν ὑπῆρχον. νήπιος δὲ ὑπάρχων κομιδῇ, καὶ τῇ μητρὶ συνεπόμενος, ἰδών τινα Χριστιανὸν χάσματι περιπεσόντα, καὶ τὸν τύπον τοῦ Σταυροῦ τῷ στόματι ἐγχαράξαντα, καὶ αὐτὸς ἔκτοτε τὰ ὅμοια ἐποίει, τὸν θεαθέντα μιμούμενος, καὶ τὰ Χριστιανῶν κατησπάζετο, καὶ θερμῇ διεπράττετο πίστει. διὸ τὸ πρόσωπον καταλάμπεται, καὶ τὰ Χριστιανῶν θεόθεν μυεῖται, ἄσιτος ἐπί τινας ἡμέρας διατελέσας. τούτῳ κόρη τις Ἑβραία ἑταιρικῶς ποτὲ ἐπεπήδησεν. ὁ δὲ, τῷ τοῦ Σταυροῦ σημείῳ νεκρὰν ταύτην ἀπέδειξε, καὶ αὖθις ἐζώωσε. νεφέλῃ δὲ θείᾳ ποδηγούμενος, καταλαμβάνει ψυχῶν φροντιστήριον, λεγόμενον Φλουβούτιον, ἐν ᾧ μεγίστων ἀνδρῶν ἐξέλαμψεν ἀρετὴ, τὸν ἀσκητικὸν βίον διανυόντων. ὡς δὲ τῷ Προεστῶτι τὰ καθ' ἑαυτὸν διηγήσατο, κελεύει ἐκεῖνος ἐνεχθῆναι Σταυρὸν, καὶ προστάττει αὐτὸν ἀσπάσασθαι· ὡς δὲ τὴν βάσιν ἠσπάζετο περιδεῶς ὁ Μακάριος, ὅλῳ τῷ ἰκρίῳ καὶ τοῖς κέρασι τὸ σεβάσμιον ὅπλον ἐκεῖνο κατὰ τῆς ὁσίας ἐπικλιθὲν κεφαλῆς, σταυροειδῆ τύπον εἰργάσατο ἐν αὐτῇ, ἀνεξάλειπτον φυλαχθέντα μέχρις ἐξόδου αὐτοῦ. εἶτα τοῦ θείου βαπτίσματος ἀξιωθεὶς, Κωνσταντῖνος μετονομάζεται. ἐν ᾧ δὲ τόπῳ ἔστη ἐξελθὼν τῆς Κολυμβήθρας, ἐκτυποῦνται τὰ ἴχνη αὐτοῦ, καὶ πρὸς πνευματικοὺς ἀγῶνας ἀποδύεται, ὑπερβαλέσθαι πάντας φιλονεικῶν τῇ σκληραγωγίᾳ, καὶ τοῦ Ἀποστόλου Παύλου τὴν τέχνην μεταχειρίζεται. ὁπηνίκα δὲ τὰς ἀρχὰς τῷ Θεῷ ἐπεδίδου, εὐωδίας ὁ τόπος ἐπληροῦτο, αὐτομάτως τε αὐτῷ αἱ θύραι τῆς Ἐκκλησίας ἠνοίγοντο, καὶ τοὺς λογισμοὺς ἑκάστου τῶν ἀδελφῶν διὰ καθαρότητα ψυχῆς ἑώρα. ἔπειτα τὸ τοῦ Ὀλύμπου Ὄρος καταλαμβάνει. ἐν τοῖς Μύροις ἔρχεται, τῆς Κύπρου ἐπιβαίνει, εἰς Ἀττάλειαν παραγίνεται, καὶ ναυσιπόρον Ποταμὸν ποσὶν οἰκείοις περαιοῦται, καὶ πολλοὺς ἑτέρους τόπους περινοστήσας, πάλιν εἰς Ὄλυμπον ἔρχεται. τεσσαράκοντα ἡμέρας, οὐ μόνον νῆστις, ἀλλὰ καὶ μέχρις ὀσφύος ἐν λάκκῳ τινὶ κεχωσμένος διετέλεσε. μετὰ ταῦτα τὴν τοῦ Πρεσβυτέρου χειροτονίαν καὶ ἄκων δέχεται, τῶν ἀγώνων ἐχόμενος, καὶ πρὸ ὀκτὼ ἐνιαυτῶν τὴν αὐτοῦ πρὸς Θεὸν ἐκδημίαν μυεῖται. ὧν περαιωθέντων, πρὸς Κύριον μεθίσταται, τὰ περὶ ἑαυτοῦ πάντα σαφέστατα προδηλώσας.

Καὶ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐαρέστου.

Στ. Ἔσπευδες Εὐάρεστος ἔργῳ καὶ λόγῳ,
Ἕως τελευτῆς εὐαρεστεῖν σοι Λόγε.

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ Εἰκονομάχου, Γονέων ἐπιφανῶν. ἐκδίδοται οὖν εἰς τὴν τῶν μαθημάτων ἀνάληψιν, καὶ γίνεται τοῖς πᾶσι χρηστός. εἰς δὲ Κωνσταντινούπολιν ἀνάπαρας, ξενίζεται παρά τινι τῶν ἐν τέλει, συγγενεῖ αὐτοῦ τυγχάνοντι, Βρυεννίῳ τοὔνομα, τὴν τοῦ Πατρικίου ἀξίαν, καί τινας ἡμέρας, συνῆν αὐτῷ. ἔπειτα χρείας καταλαβούσης, ἀποστέλλεται παρὰ τῆς Βασιλίδος Θεοδώρας πρέσβυς ὁ Πατρίκιος πρὸς Βουλγάρους, ἔχων μεθ' ἑαυτοῦ τὸν τίμιον Εὐάρεστον. κατὰ δὲ τὸν οὕτω λεγόμενον τόπον Σκόπελον ἐλθόντων αὐτῶν, καὶ μικρὸν διαναπαυομένων· ὁ Μακάριος κατά τινα οἰκονομίαν ἐντυχὼν Πρεσβύτῃ τὸν ἀσκητικὸν μετερχομένῳ βίον, τοῦ ποθουμένου τυγχάνει, καὶ τὴν κόμην καρεὶς, προθύμως τὸν ἐλαφρὸν ὑπῆλθε τοῦ Κυρίου ζυγόν. ὁ δὲ γέρων ἐκεῖνος, ἀρχῇ καὶ γράμμασι τοῦτον ἐφοδιάσας, τῇ Μονῇ τῶν Στου-

δίων ἐξέπεμψε, καὶ εἰσδεχθεὶς, πρὸς τοὺς ἀγῶνας ἐχώρει. ἕνα δὲ τῶν ἄλλων ἀδελφῶν προκρίνας, ὡς κατ᾽ ἀρετὴν ὑπερέχοντα, τοῦτον κοινωνὸν τῶν σπουδασμάτων ἐτίθετο. μηδενὸς ἑτέρου γευόμενος ἅπαξ τῆς ἑβδομάδος, πλὴν μικροῦ ἄρτου, καὶ τούτου ἐξ ἀλφίτων κατεσκευασμένου, καὶ ζωμοῦ λαχάνων. περὶ δὲ τῶν ἄλλων αὐτοῦ σπουδασμάτων καὶ ἀγώνων, ἀδύνατόν ἐστιν ἡμᾶς καταλέγειν. κύκλους γὰρ δύο πολυταλάντους τῶν ὤμων ἀπαιωρήσας ἐν γυμνῷ τῷ σώματι, τὴν ὀσφὺν διεζώσατο, ἐν τούτοις θεαρέστως βεβιωκώς. καὶ τὸν ἑβδομηκοστὸν πέμπτον χρόνον τῆς αὐτοῦ ζωῆς συντετελεκὼς, τὸ πνεῦμα τῷ Θεῷ παρατίθεται. τὸ δὲ τίμιον αὐτοῦ σῶμα ἐν τῇ τοῦ Κοκκοροβίου ἀπετέθη μονῇ.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν, στίχ. δʹ. καὶ ψάλλομεν στιχ. ἰδιόμελα, τῆς Ἑορτῆς. Εὐφραίνεσθε δίκαιοι, καὶ τὰ λοιπά.

Δόξα. Ἦχος Πλ. βʹ.

Σήμερον ἡ ἀόρατος φύσις, τοῖς βροτοῖς ἐκ Παρθένου συνάπτεται. σήμερον ἡ ἄπειρος οὐσία, ἐν Βηθλεὲμ σπαργάνοις ἐνειλίσσεται. σήμερον ὁ Θεὸς δι᾽ ἀστέρος, Μάγους εἰς προσκύνησιν ἄγει, προμηνύων αὐτοῦ τὴν τριήμερον ταφὴν, ὡς ἐν χρυσῷ καὶ σμύρνῃ καὶ λιβάνῳ, δι᾽ οὗ ψάλλομεν. ὁ σαρκωθεὶς ἐκ Παρθένου Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἦχος βʹ.

Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ Χριστὸς, ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. αἱ δυνάμεις τῶν Οὐρανῶν ἀγάλλονται, καὶ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται. οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν, οἱ Ποιμένες τὸ θαῦμα θαυμάζουσιν. ἡμεῖς δὲ, ἀκαταπαύστως βοῶμεν. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

---

Τῇ αὐτῇ ἡμέρᾳ, Ψάλλομεν ἐν τοῖς Ἀποδείπνοις τὴν Ἀκολουθίαν τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐθυμίου.

Ὁ Κανών. Οὗ ἡ ἀκροστιχίς.

Τεχθείς σε Χριστὸς σπαργάνοις στέφει Πάτερ.

Ὠδὴ αʹ. Ἦχος δʹ.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τεχθέντα τὸν ἀεὶ ὄντα Κύριον, καὶ σπαργανούμενον, σπαργανωθεὶς μαστίγων αἰκισμοῖς, εὐσεβῶς προσεκύνησας, καὶ πρὸς αὐτὸν Εὐθύμιε, μετ᾽ εὐθυμίας προσεχώρησας.

Ἐν φάτνῃ ἀνακλιθεὶς ὁ Κύριος, δῶρον γενέθλιον, τῶν σῶν αἱμάτων Μάκαρ τοὺς κρουνοὺς, καὶ πληγῶν σου τοὺς μώλωπας, ὑπὲρ χρυσὸν καὶ λίβανον, καὶ ὑπὲρ σμύρναν προσεδέξατο.

Χρυσὸν μὲν παρὰ τῶν Μάγων δέχεται, τεχθεὶς ὁ Κύριος, τῆς πρὸς αὐτὸν ἀγάπης δὲ τῆς σῆς, Ἱεράρχα τὸ γνήσιον, καὶ τὸ στεῤῥὸν καὶ εὔτονον τῆς ἀνενδότου καρτερίας σου.

Θανάτῳ τὸν τοῦ Δεσπότου θάνατον, ἐκμιμησάμενος, Δεσποτικὰς ἐβόησας φωνὰς, ὑπὲρ τῶν ἀναιρούντων σε, εἰλικρινῶς εὐχόμενος, Ἱεροφάντα πανσεβάσμιε.

Θεοτοκίον.

Ἐκ σοῦ τῆς Ὑπεραγίας σήμερον, ὁ τοῦ παντὸς Ποιητὴς, σωματικῶς γεννᾶται καθ᾽ ἡμᾶς, καὶ σπαργάνοις εἰλίσσεται, ὁ σπαργανώσας θάλασσαν, ὁμίχλῃ Μῆτερ Ἀειπάρθενε.

Ὠδὴ γʹ. Εὐφραίνεται ἐπὶ σοί.

Σχῶρας μαρτυρικοὺς, ἀντὶ λιβάνου καὶ χρυσοῦ σμύρνης τε, σὺ Ἱερεῦ προσήνεγκας τῷ ἐν Βηθλεὲμ γεννηθέντι Χριστῷ.

Στεῤῥότητι λογισμοῦ, καὶ γενναιότητι ψυχῆς ἤλεγξας, τὸν δυσσεβῆ λέοντα, κατὰ τοῦ Σωτῆρος λυττήσαντα.

Στεφάνου ἐκμιμητὴς, τοῦ Πρωτομάρτυρος Χριστοῦ γέγονας, τῶν φονευτῶν Εὐθύμιε, ὑπὲρ σωτηρίας εὐχόμενος.



Digitized by Google

Ἐτήρησας ἐμμελῶς, τὴν τοῦ Σωτῆρος ἐντολὴν Ὅσιε, καὶ τὴν ψυχὴν τέθεικας, ὑπὲρ τῶν σῶν φίλων Πατὴρ ἡμῶν.

Θεοτοκίον.

Χωρίον χωριτικὸν, τοῦ ἀχωρήτου Πλαστουργοῦ γέγονας, τοῦτον σαρκὶ χωρήσασα, Κεχαριτωμένη Παμάχραντε.

Ὠδὴ δ'. Ἐπαρθέντα σε.

Ῥαπιζόμενος τὸ πρόσωπον τὸ τῇ θείᾳ, χαριτωθὲν λαμπρότητι, τῆς ἄνω σοφίας γέγονας συμμέτοχος, Χριστοῦ Παμμακάριστε, τοῦ ὑπὲρ ἡμῶν ῥαπισθέντος σαρκί.

Ἱερωσύνης τὸ σέβας οὐκ αἰδεσθέντες, οἱ ἀσεβεῖς καὶ πρόμαχοι, κακίας ἐργάται, γῆρας οὐ τιμήσαντες, τὸ σὸν οἱ παράνομοι, ἀνελεημόνως ἐμάστιζον.

Ἐσπαργανωμένῳ καὶ φάτνῃ ἀνακειμένῳ, τῷ Λυτρωτῇ Εὐθύμιε, πολύτιμον δῶρον, Πάτερ προσενήνοχας, τὸ τίμιον αἷμά σου, πόθῳ δι' αὐτὸν ἐκχυνόμενον.

Τοῖς τοῦ Σωτῆρος σπαργάνοις ἐνειλιμμένος, καὶ τὴν αὐτοῦ ἀγάπησιν, περιεζωσμένος, τούτῳ προσεπέλασας, τῷ λύθρῳ στάζομενος, τῷ ἐκ μιαιφόνου χυθέντι χερός.

Θεοτοκίον.

Ὁ τὰς αὔλους οὐσίας δημιουργήσας, σωματικῶς ὡς ἄνθρωπος, ἐκ σοῦ Θεομῆτορ, σήμερον γεγέννηται. αὐτῷ μελῳδήσωμεν, δόξα ἐν ὑψίστοις Χριστῷ τῷ Θεῷ.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ὁ σοὶ ἔμψυχος εἰκὼν, τῷ Σωτῆρι προσάγεται, τιμήσας σου τὴν εἰκόνα, τῆς ἀχράντου σαρκός σου, καὶ τύπον τὸν τοῦ σώματος.

Σοὶ Δέσποτα Ποιμὴν, ἀθυμίας φερώνυμος, τὰ στίγματα τῆς σαρκός σου, περιφέρων οἰκείῳ, ἐν σώματι προσφέρεται.

Πῦρ ἔσβεσας θυμοῦ, τῶν ἀνόμων Εὐθύμιε, τοῖς χεύμασι τῶν ἀδίκως, ἐκχυθέντων αἱμάτων, Παμμάκαρ Ἱερώτατε.

Ἀνέστειλας ὁρμὴν, τῶν ἀθέων Μακάριε, τῇ ῥώμῃ τῶν διδαχῶν σου, καὶ τοῦ Κτίστου εἰκόνα, σχετικῶς σὺ τετίμηκας.

Θεοτοκίον.

Ῥῦσις ἐστὶ τῆς φθορᾶς. ἡ Παρθένος ἀφθόρως γὰρ, γεγέννηκε τὸν τὴν φύσιν, τῶν ἀνθρώπων φθαρεῖσαν, φθορᾶς ἐλευθερώσαντα.

Ὠδὴ ϛ'. Θύσω σοι, μετὰ φωνῆς.

Συμμορφώσει, τοῦ τῶν πάντων Σωτῆρος τὴν γύμνωσιν, ἐκμιμησάμενος Πάτερ, καὶ μαστίγων πόνους ἐγκαρτερήσας, τὸ σὸν αἷμα, τῷ ἐκείνου ἐπέχεας αἵματι.

Ἀγάπην, καὶ ἐλπίδα, καὶ πίστιν θεόφρονα, τὰς δι' αἰῶνος μενούσας, ἀρετὰς πλουτήσας τῷ γεννηθέντι, ἐκ Παρθένου, δωροφορεῖς Παμμάκαρ Εὐθύμιε.

Νομίμως, τῷ Χριστῷ λειτουργήσας τὴν ἔνθεον, ἱερουργίαν τοῦ λόγου, μισθὸν τούτου Πάτερ ἀντεκομίσω, θεοῤῥύτως, τὸ σὲ τελειωθῆναι δι' αἵματος.

Θεοτοκίον.

Ὁ πλάσας, κατ' εἰκόνα ἰδίαν τὸν ἄνθρωπον, διὰ πολλὴν εὐσπλαγχνίαν, ἀναπλάττει τοῦτον ἐκ σοῦ Παρθένε, Θεομῆτορ, ὁλοκλήρως αὐτὸν ἐνδυσάμενος.

Κοντάκιον. τοῦ Ἁγίου. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Σὺν Ἀγγέλοις ἄνθρωποι, τὸν Ἀθλητὴν εὐφημοῦμεν, Ἱεράρχαι Ὅσιοι, καὶ Ἀθλοφόροι τιμῶντες. ἄσαρκος γὰρ ὢν ἐφάνη ἐν καρτερίᾳ, Μάρτυς τε ἀνεδείχθη, καὶ Ἱεράρχης, πολυπαθὴς δὲ τοῖς στεφάνοις, τὸ κῦδος ἔχων, παρὰ Χριστοῦ τοῦ Θεοῦ.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ἱερωσύνης ἱερωτάτης τὸ θεόσδοτον χρίσμα, συγκεράσας αἵματι τῷ ἐκ σοῦ, ἱερώτατον ἀπέδειξας. εὐλογημένος εἶ, ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Σὺ ἐφελκύσω χάριν τοῦ θείου Πρωτομάρτυρος, οὗπερ ἀνεδείχθης ἄριστος μιμητής, εὐλογίαις ἀμειβόμενος, τοὺς ἀναιροῦντάς σε, ἀνηλεῶς Παμμάκαρ Εὐθύμιε.

Στήσας τοὺς πόδας ἐπὶ πέτραν τῆς πίστεως, πάσαις προσβολαῖς Παμμάκαρ τῶν πειρασμῶν, ἀπερίτρεπτος διέμεινας, εὐλογημένος εἶ, ὁ Θεὸς μου κραυγάζων καὶ Κύριος.

Θεοτοκίον.

Τὸ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν. εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις. Παναμώμε Δέσποινα.



Digitized by Google

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Ἔστης ἐπὶ βήματος, στεῤῥῶς ἀγωνιζόμενος, Πάτερ Εὐθύμιε. τὸν τελειότατον ὅρον γάρ, ἐμελέτησας θεόληπτε, ὥσπερ ἑλόμενος θανεῖν, ὑπὲρ τῶν φίλων σου, τῶν βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Φαιδρὸς καὶ τὸν λόγον καὶ τὸν νοῦν, φαιδρὰν ἐκτήσω ψυχήν, φαιδρὸν τὸ πρόσωπον, νῦν δὲ φαιδρότερος γέγονας, μέχρις αἵματος Εὐθύμιε, πρὸς Βασιλεῖς θεοστυγεῖς, ἀντιταξάμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἐπέθεντο Μάκαρ ἐπὶ σέ, οἱ ἐπὶ γῆς κραταιοὶ τοῦ θανατῶσαί σε, παρανομώτατα πράττοντες, ἀλλ' αὐτὸς ἀνατεινόμενος, πρὸς τὸν τεχθέντα Λυτρωτήν, ἐξ ἀπειράνδρου Μητρός, ἀνεβόας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκ.

Ἰδοὺ νῦν ἐξέλιπε σαφῶς, ἐκ τῆς Ἰούδα φυλῆς, ἄρχων ἡγούμενος, σὺ γὰρ Παναμώμητε τέτοκας, τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν ἐθνῶν, Χριστὸν ᾧ ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Πρὸς τὸν γαληνότατον ὅρμον, μετέστης Πάτερ τῶν ἐντεῦθεν. ὥσπερ γὰρ στρουθίον ἐῤῥύσθης ἐκ τῆς παγίδος τῶν θηρευόντων σε, εὐλογῶν τὸν ῥυσάμενον, Ἱερομάρτυς ἀοιδιμώτατε.

Αἴγλης τῆς ἐξ ὕψους φανείσης, ἀνατολῆς πεφωτισμένος, καὶ φωτοφανείαις ἀστέρος, τοῦ ἐξ Ἰούδα νῦν ἀνατείλαντος, ὑπερφυῶς λαμπόμενος, πρὸς τὸν Δεσπότην ἐξεδήμησας.

Νὰ τοῦ Παραδείσου νῦν πλάτη, χοροβατεῖν κατηξιώθης. οὗ τῶν Μακαρίων λαμπρότης, καὶ τῶν Ἁγίων ἡ ἀγαλλίασις, ὡς Ἀθλητὴν Εὐθύμιε, σὲ νικηφόρον ὑπεδέξατο.

Ἔχων πρὸς Θεὸν παῤῥησίαν, ὡς Ἱεράρχης τε καὶ Μάρτυς, τοῦ νῦν ἐνεστῶτος χειμῶνος τῆς Ἐκκλησίας, γαλήνην αἴτησαι, καὶ τῶν πταισμάτων ἄφεσιν, τοῖς σὲ ὑμνοῦσι Παμμακάριστε.

Θεοτοκίον.

Ῥάβδος ἀνεβλάστησας ῥίζης, τοῦ Ἰεσσαὶ ἡμῖν τεκοῦσα, ἄνθος τῆς θεότητος Χριστόν, Θεογεννῆτορ Πανάγνε σήμερον, τὸν ὡς Θεὸν ἀχώρητον, καὶ νῦν ὡς βρέφος σπαργανούμενον.

Στιχ. Ἦχος Πλ. δ΄. Ὢ τοῦ παραδόξου.

Ἔτι τῷ λύτρῳ στιζόμενος, καὶ πεφυρμένος θερμῷ, καὶ ἀτμίζοντι αἵματι, τῷ Χριστῷ παρέστηκας, θεοῤῥήμον Εὐθύμιε. τῶν σῶν πληγῶν οὖν, Πάτερ τὰς μώλωπας, ἀνθ' ἱκεσίας νῦν προτεινόμενος, τοῦτον δυσώπησον, ὑπὲρ τῶν ὑμνούντων σε, καὶ ἐκτενῶς, Μάκαρ ἐξιλέωσαι, ὑπὲρ τῆς ποίμνης σου.

Δῶρα προσενήνοχας Ὅσιε, τῷ γεννηθέντι Χριστῷ, καὶ σαρκὶ νηπιάσαντι, πολιὰν αἰδέσιμον, κοσμουμένην χαρίσμασιν, ἱεραρχίας, Πάτερ καὶ αἵματι, πεφοινιγμένην τῆς σῆς ἀθλήσεως, πίστιν ὀρθόδοξον, καὶ ἐλπίδα πρόθυμον, καὶ ἀῤῥαγῆ, ὄντως καὶ ἀσάλευτον, ἀγάπην πάνσοφε.

Γλῶσσα κινουμένη Πνεύματι, καὶ φθεγγομένη σαφῶς, ἀληθείας διδάγματα, θεοδότου χάριτος, τηλαυγῶς ἀποστάζουσα, τῆς εὐσεβείας, λύρα θεόφθογγος. ὀρθοδοξίας κρηπὶς ἀκράδαντος, στόμα μελίῤῥυτον, θησαυρὸς φρονήσεως, Ἐκκλησιῶν, σάλπιγξ μεγαλόφωνος, ἐδείχθης Ὅσιε.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. δ΄.

Σπηλαίῳ παρῴκησας Χριστὲ ὁ Θεός, φάτνη ὑπεδέξατο, Ποιμένες δὲ καὶ Μάγοι προσεκύνησαν. τότε δὴ τῶν Προφητῶν ἐπληροῦτο τὸ κήρυγμα, καὶ Ἀγγέλων αἱ δυνάμεις, ἐθαύμαζον βοῶσαι, καὶ λέγουσαι· δόξα τῇ συγκαταβάσει σου μόνε φιλάνθρωπε.

Εἰς τὴν Λειτουργίαν, τυπικά, καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἑορτῆς. Ὠδὴ γ΄. καὶ ϛ΄.

Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν.

Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων καὶ δικαίων, Ἰωσὴφ τοῦ Μνήστορος, Δαβὶδ τοῦ Βασιλέως, καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου.

Ἑσπέρας μετὰ τὸν Προοιμιακόν, καὶ τὴν



Digitized by Google

σιωνήθης ἀκολ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱςῶμεν ςίχ. ι. καὶ ψάλλομεν, πρῶτ. Ἀναςάσιμα τῆς Ὀκτωήχου, γ'. τῆς Ἑορτῆς τοῦ Χριςοῦ Γεννήσεως, δ'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. Καὶ τὰ ἕτερα τρία. Εἶτα τῶν Ἁγίων. Ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Τὸν Θεοπάτορα πάντες, ἀνευφημήσωμεν, Δαβὶδ τὸν Βασιλέα, ἐκ γὰρ τούτου προῆλθε. ῥάβδος ἡ Παρθένος, καὶ ἐξ αὐτῆς, ἀνατέταλκεν ἄνθος Χριςὸς, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τῆς φθορᾶς, ἀνεπλάσατο ὡς εὔσπλαγχνος. Ὅμοιον.

Τῶν Προφητῶν τὰς προῤῥήσεις, εἶδεν ἐν γήρᾳ σαφῶς, ὁ Ἰωσὴφ ὁ Μνήςωρ ἐμφανῶς πληρουμένας, μνηςείας λαχὼν ξένης, χρηματισμοὺς, τῶν Ἀγγέλων δεξάμενος, δόξα Θεῷ ἐκβοώντων, ὅτι ἐν γῇ, τὴν εἰρήνην ἐδωρήσατο.

Τὸν Ἀδελφόθεον πάντες, ἀνευφημήσωμεν, ὡς Ἱεράρχην ὄντα. μαρτυρίῳ δὲ πάλιν, ἐμπρέψαντα γενναίως, οὗ ταῖς εὐχαῖς, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σπηλαίῳ, καὶ φάτνῃ σπαργανωθεὶς, σῶσον πάντας τοὺς ὑμνοῦντάς σε.

Δόξα. Ἦχος Πλ. β'.

Μνήμην ἐπιτελοῦμεν, Δαβὶδ καὶ Ἰακώβου, εὐσεβοῦς Βασιλέως Προφήτου, καὶ Ἀποςόλου πρώτου Ἐπισκόπου. αὐτῶν γὰρ τοῖς διδάγμασι, πλάνης ἀπαλλαγέντες, Χριςὸν δοξολογοῦμεν, τὸν ἐκ Παρθένου ἀνατείλαντα, τὸν καὶ σαρκωθέντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. τὸ α'. τοῦ ἤχου. Εἰς τὸν ςίχ. ςιχηρ. τῆς Ὀκτωήχου. Δόξα. Ἦχος Πλ. β'.

Ἱερέων μνήμη καὶ Βασιλέων κράτος, εὐφροσύνη γέγονεν ὁ τόκος σου, καὶ ἐν αὐτῷ καυχώμενοι, λέγομεν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου φιλάνθρωπε. Καὶ νῦν. ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον, ὅτι πᾶσα πλάνη τῶν εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριςὸς, εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον, τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων. Ἦχος β'.

Εὐαγγελίζου Ἰωσὴφ, τῷ Δαβὶδ τὰ θαύματα τῷ Θεοπάτορι, Παρθένον εἶδες κυοφορήσασαν. μετὰ Μάγων προσεκύνησας. μετὰ Ποιμένων ἐδοξολόγησας. δι' Ἀγγέλου χρηματισθεὶς, ἱκέτευε Χριςὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἑξάψαλμον, Θεὸς Κύριος, τὸ Ἀναςάσιμον Τροπ. τῆς τυχούσης Κυριακῆς, τῶν Ἁγίων καὶ τῆς Ἑορ. Ἡ συνήθης ἀκολ. Κανὼν ὁ Ἀναςάσιμος, τῆς Θεοτόκου, τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων τῆς παρούσης Κυριακῆς. Οὗ ἡ ἀκροςιχίς. Χριςοῦ σε μέλπω, δεξιὸν παραςάτην Ἰωσήφ.

Ὠδὴ α'. Ἦχος α'. Χριςὸς γεννᾶται.

Χριςοῦ θεράπων Μακάριε, Χριςοῦ τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν, Χριςοῦ Πατὴρ γνωριζόμενος, τούτῳ σὺν παῤῥησίᾳ, παρεςηκὼς, αἴτησαι εἰρήνην, καὶ δεινῶν ἀπαλλαγὴν, τοῖς εὐφημοῦσί σε.

Ῥημάτων θείων ὑπήκοος, πραγμάτων παραδόξων διάκονος, Παρθένου Μνήςωρ θεόπαιδος, δίκαιος κατὰ πάντα, καὶ ἀληθὴς, Ἰωσὴφ ἐδείχθης, καὶ δικαίων ἐν σκηναῖς ἐπαναπέπαυσαι.

Ἰδεῖν Χριςὸν κατηξίωσαι, μορφῇ τῇ καθ' ἡμᾶς νηπιάσαντα. καὶ τούτου Πατὴρ ὠνόμασαι. μεγίςη σου ἡ δόξα, ὡς ἀληθῶς, μέγα ὑπὲρ πάντας τὸ ἀξίωμα. διὸ ἀνευφημοῦμέν σε. Θεοτοκίον.

Σαρκὶ Χριςὸν ἀπεκύησας, Ἁγνὴ ἐν Βηθλεὲμ Ἀπειρόγαμε, σπαργάνοις αὐτὸν εἱλίσασα, οὗ τὴν ἐπιδημίαν, καταπλαγεὶς, Ἰωσὴφ σὺν φόβῳ, μεγαλύνει προσκυνεῖ τὴν τούτου δύναμιν.

Ἕτερος Κανὼν τῶν Ἁγίων, Ποίημα τοῦ Μοναχοῦ Κοσμᾶ.

Ὠδὴ α'. Ἦχος δ'. Ἄσωμαί σοι Κύριε.

Ἄσωμαί σοι Κύριε ὁ Θεός μου, ὅτι ἐκ μήτρας Ἁγίας Παρθένου, τὸν ἄνθρωπον, ἀφράςως ἐνδυσάμενος, ἀνέπλασας ὡς εὔσπλαγχνος.



Digitized by Google

Σήμερον Ποιμένες θεολογοῦσι σὺν Ἀσωμάτοις τὸν ὕμνον, λαμπρῶς ἀναμέλποντες, καὶ Μάγοι δῶρα φέρουσι, τῷ σαρκὶ νηπιάσαντι.

Δόξα ἐν ὑψίστοις χοροὶ Ἀγγέλων, ἐν Βηθλεὲμ τοῖς Ποιμέσιν, ἐπέστησαν λέγοντες. μεθ' ὧν τὸν εὐδοκήσαντα, σαρκωθῆναι ὑμνήσωμεν.

Ὅσοι τὸ γενέθλιον ἐκτελοῦμεν, τοῦ σαρκωθέντος δι' ἡμᾶς, χαρᾷ ἀνυμνήσωμεν Ἰάκωβον, θεάδελφον, καὶ Δαβὶδ θεοπάτορα.

Δαβὶδ ὁ Θεοπάτωρ σὺν τῇ κινύρᾳ, τὸν ἐκ τῆς ῥίζης Ἰεσσαί, σαρκούμενον Λόγον, Ἰάκωβον τὸν δίκαιον, ἐφελκόμενος ὕμνησον.

Καταβασία. Χριστὸς γεννᾶται.

Καὶ τό. Ἔσωσε λαόν.

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

Τοῦ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς ἀπορρήτως ἐκλάμψαντος, καὶ ἐκ Παρθένου ἐπ' ἐσχάτων, σαρκωθέντος ἀφράστως. Πατήρ, ὠνομάσθης εὐδόξε, καὶ μυστηρίου φρικτοῦ θεωρός, Μάκαρ ἐχρημάτισας.

Ὃν αἱ ἄνω τάξεις, ὡς Θεὸν ἀπεριγράπτον τρέμουσι, τοῦτον τεχθέντα ἐκ Παρθένου, Ἰωσὴφ ταῖς χερσί σου, κρατεῖς καθαγιαζόμενος, τῇ ἐπαφῇ τῇ φρικώδει σοφέ. ὅθεν σε γεραίρομεν.

Ὕψος μυστηρίου, γενεαῖς μὴ γνωσθέντος ταῖς πρώην σοφέ, κατεπιστεύθης τῇ καρδίᾳ, καθαρῶς δεδεγμένος, δι' οὗ, ἅπαντες ἐσώθημεν, οἱ τὴν φωσφόρον καὶ θείαν πιστῶς, μνήμην σου δοξάζοντες.

Θεοτοκίον.

Σάρκα εἰληφότα, ἐξ ἁγνῶν σου αἱμάτων Παρθένε Ἁγνή, καὶ ἐν σπηλαίῳ γεννηθέντα, καὶ ἐν φάτνῃ τεθέντα, ἰδών. Ἰωσὴφ ὁ δίκαιος, τὸν καθ' ὑμᾶς ὁραθέντα Θεόν, ὕμνοις ἐμεγάλυνεν.

Ἄλλος. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

Τὸν τεχθέντα σαρκί, ἐκ τῆς Παρθένου Μαρίας, ἀσπόρως Χριστόν, σὺν Ἀγγέλοις πάντες ὑμνήσωμεν, δόξα ἐν ὑψίστοις κραυγάζοντες.

Ἀγραυλοῦντες πιστοί, τὸν ἀληθῆ οἱ Ποιμένες Ποιμένα Χριστόν, ὑπὸ Ἀγγέλων εὐηγγελίσθησαν, δόξα ἐν ὑψίστοις κραυγάζοντες.

Εὐφρανθήτωσαν οἱ Οὐρανοί, χορευέτω δὲ πᾶσα ἡ γῆ, τῷ τεχθέντι σήμερον ᾄδοντες, δόξα ἐν ὑψίστοις Χριστῷ τῷ Θεῷ.

Τὴν πανέορτον τοῦ δι' ἡμᾶς, κενωθέντος, πιστοὶ ἑορτήν, σὺν Δαβίδ τε καὶ Ἰακώβῳ, ὕμνοις ἐπαξίως τιμήσωμεν.

Ὡς Νυμφίον Δαβὶδ ἐκ παστοῦ, τῆς μητρώας νηδύος φησί, νῦν τὸν Κύριον προελεύσεσθαι, ὃν σὺν Ἰακώβῳ ὑμνήσωμεν.

Κάθισμα. Ἦχος α'. Χορὸς Ἀγγελικός.

Πατρὸς ὡς ἀληθῶς, Οὐρανίου θεράπων, ἐγένου Ἰωσήφ, καὶ Πατὴρ τοῦ ἀνάρχου. Τίου σὺ νενόμισαι, τοῦ σαρκὶ νηπιάσαντος. ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, πιστῶς ἀνυμνοῦντές σε. Δόξα, καὶ νῦν. Ὅμοιον.

Χορὸς τῶν Προφητῶν, ἑορτάζει εὐθέως, τὸ θαῦμα τὸ ἐν σοί, γεγονὸς ὦ Παρθένε. Θεὸν σεσαρκωμένον γάρ, ἐπὶ γῆς ἀπεκύησας, ὅθεν Ἄγγελοι, μετὰ Ποιμένων ὑμνοῦσι, Μάγοι πίστει δέ, σὺν Ἰωσὴφ ἐκβοῶσι, τῷ Δαβὶδ τὰ θαύματα τῷ Θεοπάτορι.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ἔχων λογισμὸν ταῖς θεϊκαῖς, ὑπείκοντα προστάξεσι, καὶ καθαρὸς ὅλος γενόμενος, τὴν μόνην ἐν γυναιξί, καθαρὰν καὶ ἄμωμον, Μάκαρ Ἰωσὴφ σὺ ἐμνηστεύσω, τηρῶν Παρθένον Ἁγνήν, πρὸς ὑποδοχὴν τοῦ Ποιήσαντος.

Μόνῳ Γαβριὴλ ἐν Οὐρανῷ, καὶ μόνῳ σοὶ ἀοίδιμε, μετὰ τὴν μόνην ἀπειρόγαμον, τὸ μόνον ὑπερβολῇ, φοβερὸν μυστήριον, Μάκαρ Ἰωσὴφ ἐνεπιστεύθη, τὸν μόνον φθοροποιόν, ἄρχοντα τοῦ σκότους τροπούμενον.

Ἔμψυχος Ναὸς φωτοειδής, ὑπάρχων τοῦ Ποιήσαντος, ἐπιμελείᾳ θείων πράξεων, ἐκ τοῦ Ἁγίου Ναοῦ, τὸν Ναὸν τὸν Ἅγιον, οὗ παραλαβεῖν καταξιώθης, τὴν μόνην ἐν γυναιξί, Μάκαρ Ἰωσὴφ Ἀειπάρθενον.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Λύων τοῦ νοός σου προφανῶς, ἐπέστη ὁ ἀόρατος, ἀμφιβολίαν πᾶσαν λέγων σοι· μὴ φοβηθῇς Ἰωσὴφ, Μαριὰμ τὴν Ἄχραντον, νῦν παραλαβεῖν, Γαστρὶ γὰρ φέρει, τὸν φέροντα θεϊκῇ, τούτου δυναστείᾳ τὰ σύμπαντα.

Ἄλλος. Τοὺς οὐρανοὺς ἡ ἀρετή σου.

Τὴν ἄφραστον, τοῦ Θεοῦ Λόγου συγκατάβασιν, νοητῶς προθεωρήσας, Ἀββακοὺμ ὀφθαλμοῖς, ἀπὸ Θαιμὰν ἐκραύγαζεν, ἥξει ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

Τὴν φάτνην σου, τῇ θεοδόχῳ περιέστησαν, στρατιαὶ τῶν Ἀσωμάτων Υἱὲ τοῦ Θεοῦ, τὸν ὑπὲρ λόγον τόκον σου, τρόμῳ καὶ ἐκπλήξει δοξάζουσι.

Μετὰ τῶν Μάγων, τὸν Δεσπότην προσκυνήσωμεν, καὶ μετ' Ἀγγέλων καὶ Ποιμένων χορεύσωμεν, θεοπρεπῶς κραυγάζοντες, δόξα ἐν ὑψίστοις Χριστῷ τῷ Θεῷ.

Ὁ βασιλεύων, τῶν ἁπάντων Βασιλέων, Χριστὸς κατὰ σάρκα, ἐκ σπέρματος Δαβὶδ γεννηθεὶς, τὸν ἐκλεκτὸν Ἰάκωβον προσήκατο, ἀδελφὸν ὡς ηὐδόκησεν. Δόξα.

Ὁ ἐκ Παρθένου, Θεὸς Κύριος φανεὶς ἐν σαρκὶ, συνεδόξασε τὴν μνήμην ὑμῶν Ἅγιοι, τῶν Ἀποστόλων πρόκριτε Ἰάκωβε, καὶ Δαβὶδ Παμμακάριστε.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Πραότητι λάμπων, σοφὲ Ἰωσὴφ, ἐν τῇ γῇ τῶν πραέων ἐσκήνωσας. Χριστοῦ τοῦ πράου ῥήματι, Πατὴρ ὁμομαθεὶς, ὃν ἐν ταῖς σαῖς ἀγκάλαις, κρατήσας ἡγιάσθης, καὶ ἰδὼν ἐδοξάσθης, σάρκα βροτείαν περικείμενον.

Ὡς θείαν Νεφέλην, τὴν μόνην Ἁγνὴν, ἐν τοῖς κόλποις τὸν Ἥλιον κρύπτουσαν, εἰς Αἴγυπτον μετήγαγες, ἐκ πόλεως Δαβὶδ, τὸ ταύτης λῦσαι σκότος, τῆς εἰδωλομανίας, Ἰωσὴφ μυστηρίου, ὑπὲρ κατάληψιν διάκονε.

Δίκαιος ὑπάρχων, δικαίοις ὁδοῖς, τοῦ δικαίου Δεσπότου πεπόρευσαι, τοῦ κρίναντος δικαίως σε, τοιούτῳ φοβερῷ, Παμμάκαρ μυστηρίῳ, πιστῶς καθυπουργῆσαι, τῆς ἀρρήτου λοχείας, δι' ἧς βροτοὶ ἐδικαιώθημεν.

Θεοτοκίον.

Εὑρέθη ὡς ἔφη, Προφήτης Δαβὶδ, ἐν γαστρὶ ἡ Παρθένος χωρήσασα, τὸν φύσει ἀπερίγραπτον, Θεὸν Ἐμμανουήλ. ὅπερ μὴ ἐννοήσας, ὁ θεῖος ἐδιδάχθη, Ἰωσὴφ ὑπ' Ἀγγέλου, νυκτὶ καθεύδων ὁ ἀοίδιμος.

Ἄλλος. Ὁ ἀνατείλας ἡμῖν.

Ὁ ἀνατείλας ἡμῖν, τοῖς ἐν σκότει τὸ φέγγος τῆς σῆς θεοφανείας, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὁ ἐκ Παρθένου Ἁγνῆς, εὐδοκήσας τεχθῆναι, Θεὸς σεσαρκωμένος, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὁ ἐκ Παρθένου τεχθεὶς, καὶ τὴν μνήμην φαιδρύνας Δαβὶδ καὶ Ἰακώβου, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὁ τὴν τοῦ δούλου μορφὴν, ἐνδυσάμενος Λόγε, ἐκ μήτρας Παναγίας, δόξα σοι δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Ὃν ὁ Προφήτης Δαβὶδ, ὑετὸν ἐπὶ πόκον ἐκάλει θεοπνεύστως, Ἰάκωβος ἐκήρυξεν, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ. Θεοτοκίον.

Τὴν τοῦ Ἀγγέλου φωνὴν, ἀσιγήτως ἡ Κτίσις, προσφέρει σοι Παρθένε, χαῖρε Μήτηρ Ἄχραντε Ἰησοῦ Υἱοῦ τοῦ Θεοῦ.

Ὠδὴ ς'. Σπλάγχνων Ἰωνᾶν.

Ξένῳ τοκετῷ, ἐκ Κόρης θεόπαιδος, τοῖς ξένοις ἡμῖν ἐπιδημήσαντα, τὸν ἀΐδιον, τοῦ Πατρὸς Θεὸν Λόγον, λαβὼν Ἰωσήφ. τὴν πρὸς Αἴγυπτον Παμμάκαρ ξένην κάθοδον, χαίρων, σὺν αὐτῷ πεποίησαι, καὶ θυπείκων τοῖς θείοις προστάγμασιν.

Ἵστασο Θεῷ, σαρκὶ νηπιάσαντι, σοφὲ Ἰωσὴφ διακονούμενος, ὥσπερ Ἄγγελος, καὶ ἀμέσως πρὸς τοῦτο ηὐγάσθης σαφῶς τὰς ἀκτῖνας τὰς ἀΰλους εἰσδεχόμενος, Μάκαρ, καὶ Φωτοειδέστατος, καὶ ψυχῇ καὶ καρδίᾳ δεικνύμενος.

Ὅλος ἐπαφῇ, τῇ θείᾳ Πανεύφημε, καθαγιασθεὶς ψυχῇ καὶ σώματι, μεταβέβηκας, πρὸς ἀΰλους μονὰς ἁγιάζων νῦν, τοὺς τελοῦντάς σου τὴν μνήμην δίκαιε, ὄντως Ἰωσὴφ Πανάγιε, Παναγίας μνηστὴρ Θεομήτορος.



Digitized by Google

Θεοτοκίον.

Νέον ἐπὶ γῆς, παιδίον ἑώρακας, Παρθένε Ἁγνὴ ἀποτικτόμενον, τὸν προτέλειον, καὶ πρὸ πάντων αἰώνων ἐκφύντα Πατρὸς, καὶ Ἀγγέλων ἀνυμνούμενον τοῦτον ἤκουσας, ἔνδον τοῦ σπηλαίου κείμενον, Ἰωσὴφ ἐπὶ φάτνης Πανάφημε.

Ἄλλος. Ἐβόησε, προτυπῶν.

Ἐβόησαν, παραδόξως τοῦ τόκου σου Κύριε, τὸ φρικῶδες, οἱ χοροὶ τῶν Ἀγγέλων θεώμενοι, ἐν ὑψίστοις δόξα τῷ Θεῷ, ἐπὶ γῆς νῦν γὰρ τίκτεται.

Εὐδόκησας, ἐκ Παρθένου τεχθῆναι ὡς ἄνθρωπος, ἐπ' ἐσχάτων, ἐκ Πατρὸς πρὸ αἰώνων τεχθεὶς ὡς Θεός. ἵνα τὸν φθαρέντα, ἀναπλάσῃς Ἀδὰμ ὡς φιλάνθρωπος.

Ἐκάθισας, ἐπὶ θρόνου ὡς ὤμοσας Κύριε, τοῦ Προφήτου, σοῦ Δαβὶδ ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ, προελθὼν Ἰακώβῳ δὲ, τῆς Ἐκκλησίας τὸν θρόνον παρέθου Χριστέ.

Ἐξεπέστησαν, ἐκπληττόμεναι τάξεις Οὐράνιαι, ἐν σπηλαίῳ, καὶ τὸν τόκον τὸν ἄχραντον ὕμνησαν, ἀσιγήτως δόξα, ἐν ὑψίστοις Θεῷ ἀναμέλπουσαι.

Βασιλεὺς μὲν, ὁ Δαβὶδ καὶ Προφήτης Θεσπέσιος, καὶ Προπάτωρ, ἀνεδείχθη τῆς θείας σαρκώσεως. Πρωτεπίσκοπος δὲ, μαθητὴς ὁ Ἰάκωβος δείκνυται. Θεοτ.

Δεόμεθα, ὑπὲρ τῶν οἰκετῶν σου ἀλόχευτε, Θεοτόκε, τὸν ἐκ σοῦ σαρκωθέντα δυσώπησον. ὅτι σὲ καὶ μόνην, προστασίαν ἡμῶν ἐπιστάμεθα.

Κοντάκ. Ἦχος γʹ. Ἡ Παρθένος σήμερον.

Εὐφροσύνης σήμερον, Δαβὶδ πληροῦται ὁ θεῖος, Ἰωσήφ τε αἴνεσιν, σὺν Ἰακώβῳ προσφέρει. στέφος γὰρ τῇ συγγενείᾳ Χριστοῦ λαβόντες, χαίρουσι καὶ τὸν ἀφράστως ἐν γῇ τεχθέντα, ἀνυμνοῦσι καὶ βοῶσιν. Οἰκτίρμων σῶζε, τοὺς σὲ γεραίροντας. Ὁ Οἶκος.

Ἀπορρήτῳ βουλῇ, τίκτεται ὁ σαρκὶ ἄσαρκος. περιγράφεται νῦν σώματι ὁ ἀπερίγραπτος. καὶ σώζει ἀτρέπτως τὰς ἀμφω οὐσίας. ἀρχὴν λαμβάνει ὁ φύσει ἄναρχος, καὶ μόνος ὑπέρχρονος. ὁρᾶται βρέφος, ὁ ὑπερτέλειος. φέρεται χερσὶν, ὁ φέρων τὰ σύμπαντα. διὸ τοὺς τούτου συγγενείᾳ σεμνυνομένους, ὡς Θεὸς στέφει τῷ ἑαυτοῦ τοκετῷ. οὓς δοξάζοντες πίστει, ἀσιγήτως ἐκβοῶμεν, Οἰκτίρμων σῶζε, τοὺς σὲ γεραίροντας,

Κυριακῇ μετὰ τὴν Χριστοῦ γέννησιν, Μνήμη τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων, Ἰωσὴφ τοῦ Μνήστορος τῆς Ἁγίας Παρθένου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἰακώβου τοῦ Ἀδελφοῦ τοῦ Κυρίου, καὶ Δαβὶδ τοῦ Προφήτου καὶ Βασιλέως.

Στ. Τιμῶ Ἰωσὴφ, μνήστορα τῆς Παρθένου,
Ὡς ἐκλεγέντα φύλακα ταύτης μόνον.
Σὺ τέκτονος παῖς, ἀλλ' ἀδελφὸς Κυρίου,
Τοῦ πάντα τεκτήναντος ἐν λόγῳ Μάκαρ.
Δαβὶδ βλέπων νῦν, Χριστὸν ἐκ σῆς ὀσφύος,
Τὸ κατὰ σάρκα σκίρτατε καὶ ἀγάλλου.

Δαβὶδ ὁ Προφήτης καὶ Βασιλεὺς, ἦν Υἱὸς Ἰεσσαί. τοῦτον ἐδίδαξεν ὁ Προφήτης Νάθαν τὸν νόμον Κυρίου, καὶ προεφήτευσεν ἔτη τεσσαράκοντα. προέλαβε δὲ τὴν Σάρκωσιν τοῦ Χριστοῦ, ἔτη ἐννεακόσια ἐννενήκοντα ἐννέα, καὶ ἦν ἐν Γαβαά. καὶ εἶδε Νάθαν, ὅτι Δαβὶδ ἐν τῇ Βηρσαβεὲ παραβήσεται, καὶ σπεύδων ἐλθεῖν ἀναγγεῖλαι αὐτῷ, ἐνεποδίσθη ὑπὸ τοῦ Βελίαρ. εὗρε γὰρ κατὰ τὴν ὁδὸν νεκρὸν κείμενον, ἐσφαγμένον γυμνόν. καὶ ἐπέμεινεν ἐκεῖ, θέλων θάψαι τὸν νεκρὸν, καὶ τῇ νυκτὶ ἐκείνῃ ἐπέγνω, ὅτι ἐποίησε τὴν ἁμαρτίαν Δαΐδ, καὶ ὑπέστρεψε πενθῶν, ὡς δὲ ἀνεῖλε καὶ τὸν ἄνδρα αὐτῆς ὁ Δαβὶδ, ἔπεμψε Κύριος τὸν Προφήτην Νάθαν ἐλέγξαι αὐτόν. πολλὰ δὲ πενθήσας ὁ Δαβὶδ, καὶ πάνυ γηράσας, ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτῇ μετὰ τῶν Πατέρων αὐτοῦ. γίνεται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐν τῷ Ἀποστολείῳ τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου, τοῦ ἀδελφοῦ τοῦ Κυρίου, ἔνδον τοῦ Σεβασμίου Οἴκου τῆς Ὑπεραγίας Θεοτόκου, τῶν Χαλκοπρατείων.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Οἱ παῖδες εὐσεβείᾳ.

Προρρήσεων τὸ πέρας, τῶν ἐνθέων Προφητῶν ἑώρακας. ὃν γὰρ ἐκήρυξαν Χριστὸν, ἐλευσόμενον ἐκ Κόρης Ἁγνῆς, ἐψη-

λά-

Digitized by Google

λάφησας, καὶ βρέφος κατεμόνησας, ὡς καθαρὸς τὴν ψυχὴν, Χριστοῦ θεράπων.

Ἀμέμπτῳ πολιτείᾳ, Ἰωσὴφ κεκοσμημένος ἐνδοξε, φύλαξ ἀμέμπτου ἀληθοῦς, παρθενίας ἐσχημάτισας, καὶ Πατὴρ τοῦ τικτομένου παιδὸς κέκλησαι, μεγαλυνθεὶς τῇ σεπτῇ προσηγορίᾳ.

Ῥήματι ὁ τεκταίνων, Οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, κέκληται τέκτονος Υἱὸς, σοῦ Παμμάκαρ ἀξιάγαστε, τοῦ ἀνάρχου σε Πατρὸς, ὄντως δοξάσαντος, ὡς ἱερὸν ὑπουργὸν τῶν ὑπὲρ λόγον. Θεοτ.

Συμβόλοις ἱεροῖς σε, τυπουμένην Ἰωσὴφ ὁ δίκαιος, Θεοχαρίτωτε Ἁγνὴ, ἐγνωκὼς Ῥάβδῳ κληροῦταί σου, τὴν μνηστείαν τὴν σεπτὴν, ἐπιμνησθεὶς Ἀαρὼν, τῆς βλαστησάσης ποτὲ Ἁγίας Ῥάβδου.

Ἄλλος. Ἀβραμιαῖοι ποτέ.

Ἐν Βηθλεὲμ Ποιμένες, τὸν τῆς Παρθένου τόκον, δοξολογοῦντες κατεμήνυον, Σωτῆρα καὶ Κύριον, τὸν ἐπὶ γῆς ὀφθέντα, ἀνθρώπων σῶσαι γένος.

Τὸν ὑπὲρ λόγον τόκον, τῆς Θεοτόκου Μαρίας, χοροὶ Ἀγγέλων ἐκπληττόμενοι, ἐν τοῖς ὑψίστοις ἐκραύγαζον, τῷ Θεῷ ἡμῶν δόξα, καὶ ἐπὶ γῆς εἰρήνη.

Τῶν Χερουβὶμ ἐδείχθης, ὑψηλοτέρα Παρθένε, ἐν ταῖς ἀγκάλαις σου βαστάσασα, τὸν τούτοις ὀχούμενον, ὃν δυσωποῦσα σῶσαι, ἡμᾶς ἀεὶ μὴ παύσῃ.

Νυμφαγωγὸς μὲν Δαβὶδ, θαλαμηπόλος δὲ θεῖος, τῆς Ἐκκλησίας ὁ Ἰάκωβος, γενόμενοι ἔλεγον· ὁ σαρκωθεὶς δι' ἡμᾶς, Χριστὲ εὐλογητὸς εἶ.

Ὁ ἐν Προφήταις Ἄναξ, καὶ Βασιλεῦσι Προφήτης, σὺν Ἰακώβῳ τῷ Θεόφρονι, ἡμῖν ἐμελῴδησαν. ὁ σαρκωθεὶς δι' ἡμᾶς, Χριστὲ εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἐν τῇ ἀφλέκτῳ βάτῳ, καὶ δροσοβόλῳ καμίνῳ, σὺ προγραφεῖσα Μήτηρ Ἄχραντε, ἀσπόρως ἐκύησας, σεσαρκωμένον Θεὸν, Ἁγνὴ εὐλογημένη.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

Τίμιος ὡς ἀληθῶς ὁ θάνατός σου, κατενώπιον ὤφθη Κυρίου, Ἰωσὴφ πανόλβιε. σὺ γὰρ ὅλως σωθεὶς, ἀπὸ βρέφους ἱερὸς φύλαξ γεγένησαι, τῆς εὐλογημένης. μεθ' ἧς ἔμελπες· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ἅπαντες χοροὶ τῶν Ἀσωμάτων, ὃν περ τρέμουσι, Θεὸν καὶ Κτίστην, Ἰωσὴφ ὁ δίκαιος, παῤῥησίᾳ παναβλαβῶς, περιπτύσσεται ὡς βρέφος καὶ ἀσπάζεται, καὶ φῶς νοητὸν βοῶν κομίζεται· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας.

Ἔστρωσαι τῷ γλυκυτάτῳ Μάκαρ πόθῳ, καὶ ὡς Ἄγγελος τῷ σαρκωθέντι, παρεστὼς προστάξεσι, καθυπείκεις ταῖς θεϊκαῖς, δι' Ἀγγέλου ἐξ Αἰγύπτου μηνυόμενος, πρὸς γῆν Ἰσραὴλ ἐπανελθέσθαι, μετὰ μόνης, τῆς ἀληθοῦς Θεομήτορος· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Νόμου τὰς σκιὰς εἶδες ποθήσας, τῇ τῆς χάριτος φωτοχυσίᾳ, φωτεινὴν νεφέλην τε, τὴν Παρθένον τὸν νοητὸν, ἀνατείλασαν σαρκὶ, ἥλιον ἔβλεψας, καὶ ὥσπερ ἀστὴρ πάντας ἐφώτισας, τοὺς βοῶντας σοφὲ Ἰωσὴφ ἑκάστοτε· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ἄλλος. Τὸν βασιλέα Χριστόν.

Τὸν Βασιλέα Χριστὸν, ὃν κατεμήνυσαν, ἐν Βηθλεὲμ οἱ Ποιμένες, καὶ ἀστὴρ ἐφανέρωσεν, ἐν δούλου μορφῇ, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν γεννηθέντα Χριστὸν, ὃν προσεκύνησαν, μετὰ δώρων οἱ Μάγοι, καὶ ἐθεολόγησαν, τῶν Ἀγγέλων αἱ στρατιαὶ, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας.

Τὸν σαρκωθέντα Χριστὸν, ὃν ἐδοξολόγησαν, Οὐρανῶν αἱ δυνάμεις, καὶ τὰ πολυόμματα ἀπαύστως ἀνυμνεῖ, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας.

Τὸν σαρκωθέντα Χριστὸν, ὃν προεφήτευσε, Δαβὶδ ὁ θεοπάτωρ, καὶ τοῖς λαοῖς ἐκήρυξεν Ἰάκωβος, πάντα τὰ ἔργα ὑμνεῖτε. Θεοτοκίον.

Τὸν Βασιλέα Χριστὸν, ὃν ἡμῖν ἔτεκεν, ἡ Παρθένος Μαρία, καὶ μετὰ τόκον ἔμεινε

Digitized by Google

ἔμεινε Παρθένος Ἁγνή, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

'Ωδὴ θ'. Μυστήριον ξένον.

Ἰσότιμος πάντων, Ἀγγέλων γεγένησαι, Προφητῶν Μαρτύρων τε, Μάκαρ καὶ τῶν σοφῶν, Ἀποστόλων συνόμιλος ὄντως. διὸ σὺν αὐτοῖς σὲ μακαρίζων ἀεί, Ἰωσὴφ τὴν ἱεράν σου μνήμην σέβομαι.

Ὡς ἐκ γένους, βασιλικοῦ καταγόμενος, τὴν Ἁγνὴν Βασίλισσαν, μέλλουσαν Ἰησοῦν Βασιλέα, τίκτειν ἀπορρήτως σοφέ, ἐμνηστεύσω, ἅπαντας ἐν γῇ, ὁ προκριθεὶς τοὺς γηγενεῖς μακαριώτατε.

Ἐνθυμούμενος, τῇ δυναστείᾳ τοῦ Πνεύματος, ἀρεταῖς κεκόσμησαι, Μάκαρ ἐν βαθυτάτῳ γήρᾳ, πρὸς τοὺς σοὺς μετέβης λαμπρῶς, Ἰωσὴφ Πατέρας, μέγιστος Πατὴρ νομισθείς, τοῦ ἐκ Θεοῦ Πατρὸς ἐκλάμψαντος.

Ἡ μνήμη σου, πρὸς εὐφροσύνην τὰ πέρατα, συγκαλεῖ καὶ αἴνεσιν, Λόγου τοῦ σὲ δοξάσαντος Μάκαρ. ᾧ σὺν παρρησίᾳ Χριστῷ παρεστώς, ἀπαύστως πρέσβευε, ἡμᾶς λυτρωθῆναι, πειρασμῶν τοὺς εὐφημοῦντάς σε.

Θεοτοκίον.

Φυλάττουσαν, τὴν Παρθενίαν ἀκήρατον, τὴν Ἁγνὴν ἐφύλαξας. Λόγος ἐξ ἧς Θεὸς ἐσαρκώθη, φυλάξας Παρθένον αὐτὴν μετὰ γέννησιν ἀπόρρητον. μεθ' ἧς Θεοφόρε Ἰωσήφ, ἡμῶν μνημόνευε.

Ἄλλος. Μωϋσῆς ἐν τῷ ὄρει.

Τὸν ἀρρήτως πρὸ τῶν αἰώνων, φύντα Λόγον, καὶ Υἱὸν ἐκ Πατρός, τὸν αὐτὸν ἐπ' ἐσχάτων σαρκί, σήμερον Παρθένος ἐκύησεν· ὃν ὑμνοῦσι Ποιμένες, Ἀγγέλων βοώντων· Δόξα ἐν ὑψίστοις Χριστῷ τῷ Θεῷ.

Τὸν Ἀστέρα οἱ Μάγοι ἰδόντες, τρόπῳ ξένῳ, τούτῳ παρείποντο, τὸν τεχθέντα ἐπιζητοῦντες· ὃν εὑρόντες, δώροις ἐτίμησαν, χρυσῷ καὶ λιβάνῳ, καὶ σμύρνῃ βοῶντες· Δόξα ἐν ὑψίστοις τῷ τεχθέντι Θεῷ.

Βηθλεὲμ νῦν εὐφραίνου, Πόλις γενομένη τοῦ Νέου Δαβίδ. καὶ Σιὼν ἐπαγάλλου, τῶν Ἐκκλησιῶν ἡ Ἀκρόπολις. κοινὴν εὐφροσύνην, τοῦ Παμβασιλέως, καὶ τῶν αὐτοῦ θεραπόντων νῦν δεξάμεναι.

Τῷ τεχθέντι ἐκ Παρθένου Θεῷ, πᾶσα ἡ Κτίσις τρόπῳ ὑπούργησεν. Οὐρανοὶ μὲν τὸν Ἀστέρα, ἡ γῆ τὴν φάτνην, ὄρος τὸ σπήλαιον, οἱ Μάγοι τὰ δῶρα, Ποιμένες τὸ θαῦμα, Ἄγγελοι τὸν ὕμνον αὐτῷ προσφέροντες.

Βασιλεὺς ἐκ Ποιμένων, πάλαι μὲν Δαβὶδ ἐχρημάτισεν, ἐκ φυλῆς δὲ Ἰούδα, σὺ τῆς βασιλίδος Ἰάκωβε, Ποίμνην ἀνεδείχθης, τῆς τοῦ σαρκωθέντος ποίμνης. Ἀμνοῦ τοῦ Ὑψίστου καὶ Υἱοῦ τοῦ Θεοῦ.

Θεοτ.

Τῶν Ἀγγέλων οἱ δῆμοι, σὲ Θεοκυῆτορ δοξάζουσι, καὶ ἀνθρώπων τὸ γένος, σὲ ἀκαταπαύστως ἐν ὕμνοις τιμᾷ. σὺ γὰρ τῷ θείῳ τόκῳ, βροτοὺς οὐρανίοις ἥνωσας; ὅθεν σὲ γεραίρομεν.

Ἐξαποστειλ. Τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Σὺν Ἰακώβῳ μέλψωμεν, τῷ κλεινῷ θεαδέλφῳ, Δαβίδ. τὸν θεοπάτορα, Ἰωσήφ τε τὸν θεῖον, τῆς Θεοτόκου Μνήστορα. τοῦ Χριστοῦ γὰρ τῇ θείᾳ, γεννήσει καθυπούργησαν, Βηθλεὲμ ἐν τῇ Πόλει, θεοπρεπῶς, μετ' Ἀγγέλων Μάγων τε, καὶ Ποιμένων, αὐτῷ τὸν ὕμνον ᾄδοντες, ὡς Θεῷ καὶ Δεσπότῃ.

Ἕτερον, πρὸς, Γυναῖκες ἀκουτίσθητε.

Ἐκ πατριᾶς κατάγεται, Δαβὶδ τοῦ Θεοπάτορος, ὁ Ἰωσὴφ σὺν Μαριάμ. ἧς ἑωράκει τὸ θαῦμα, ἔχων ὅν περ ἐγέννησεν, Ἰάκωβον συνίστορα, ἐντεῦθεν τὰ μνημόσυνα, αὐτῶν ὁμοῦ ἑορτάζει, νῦν ἡ Χριστοῦ Ἐκκλησία.

Ὅμοιον.

Καθαρθῆτε προσέλθετε, καὶ τοῦ κρατῆρος γεύσασθε, τῆς ἐν Χριστῷ θείας ζωῆς. Χριστὸς ἡμᾶς προσκαλεῖται, πηγὴ γὰρ ἁγιάσματος, τὸ ἐκ Μαρίας σῶμά μου. μηδεὶς οὖν ἔστω ἄγευστος, μηδεὶς ἀνάξιος ταύτης, τῆς μυστικῆς εὐωχίας.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἵστ. ἀναστάσιμα τῆς Ὀκτ. δ'. καὶ ἀνατολικὸν ἕν.

Εἶτα τῆς ἑορτῆς, τοὺς δ'. τετάρτης Ἀνδρέου Ἱεροσολυμίτου.

Εὐφραίνεσθε δίκαιοι, οὐρανοὶ ἀγαλλιᾶσθε, σκιρτήσατε τὰ ὄρη, Χριστοῦ γεννηθέντος.

Παρ-

Digitized by Google

Παρθένος καθέζεται, τὰ Χερουβὶμ μιμουμένη, βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. Ποιμένες τὸν τεχθέντα δοξάζουσι. Μάγοι τῷ Δεσπότῃ, δῶρα προσφέρουσιν, Ἄγγελοι, ἀνυμνοῦντες λέγουσιν· ἀκατάληπτε Κύριε δόξα σοι.

Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα, ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας, ὅτι Μήτηρ γέγονας, τῆς εὐδοκίας τοῦ Πατρός. βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. οὐ φέρει τὸ μυστήριον ἔρευναν, πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν, κράζοντες μετὰ σοῦ καὶ λέγοντες· ἀνερμήνευτε Κύριε δόξα σοι.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Δεῦτε ἀνυμνήσωμεν, τὴν Μητέρα τοῦ Σωτῆρος, τὴν μετὰ τόκον πάλιν ὀφθεῖσαν Παρθένον. χαίροις Πόλις ἔμψυχε. τοῦ Βασιλέως καὶ Θεοῦ, ἐν ᾗ Χριστὸς οἰκήσας, Σωτηρίαν εἰργάσατο, μετὰ τοῦ Γαβριὴλ ἀνυμ[illegible]μέν σε, μετὰ τῶν Ποιμένων δοξάζομεν κράζοντες. Θεοτόκε πρέσβευε, τῷ ἐκ σοῦ σαρκωθέντι, σωθῆναι ἡμᾶς.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Ὁ πατὴρ εὐδόκησεν, ὁ Λόγος σὰρξ ἐγένετο. καὶ ἡ Παρθένος ἔτεκε, Θεὸν ἐνανθρωπήσαντα. Ἀστὴρ μηνύει, Μάγοι προσκυνοῦσι, Ποιμένες θαυμάζουσι, καὶ ἡ Κτίσις ἀγάλλεται. Δόξα. Ἦχ. πλ. β'. Ἀνατολίου.

Αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ, τέρατα γῆς, ἃ προεῖδεν Ἰωήλ, αἷμα τὴν Σάρκωσιν, πῦρ τὴν Θεότητα, ἀτμίδα δὲ καπνοῦ, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐπελθὸν τῇ Παρθένῳ, καὶ Κόσμον εὐωδιάσαν. μέγα τὸ μυστήριον, τῆς σῆς ἐνανθρωπήσεως Κύριε δόξα σοι.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργ. οἱ μακαρισμοὶ τοῦ ἤχου. καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, Ὠδὴ γ'. καὶ τῶν Ἁγίων, Ὠδὴ ς'.

---

## Τῷ αὐτῷ Μηνί, ΚΖ'.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν Κυριακὴ τῇ κζ'. τοῦ Μηνὸς, καταλιμπάνεται ἡ ἀκολουθία ἅπασα τοῦ Ἁγίου Στεφάνου, καὶ τοῦ Ἁγίου Θεοδώρου, καὶ ψάλλονται ἐν ταύτῃ τῇ Κυριακῇ τὰ Ἀναστάσιμα, τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων τῆς Κυριακῆς. ἡ δὲ τῶν Ἁγίων, Στεφάνου, καὶ Θεοδώρου ψάλλεται τῇ ἐπαύριον, ἤτοι τῇ κη'. Ἐὰν δὲ τύχῃ ἡ τοῦ Ἁγίου Στεφάνου Ἐκκλησία, καταλιμπάνεται ἡ τῆς Χριστοῦ Γεννήσεως Ἀκολουθία, καὶ ψάλλονται τὰ Ἀναστάσιμα, τῆς Κυριακῆς τῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, καὶ τοῦ Ἁγίου Στεφάνου, καὶ οὕτω μένουσιν ἀσύγχυτοι καὶ αἱ τρεῖς Ἀκολουθίαι.

Τοῦ Ἁγίου Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνου Στεφάνου. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ, Θεοδώρου τοῦ Γραπτοῦ, καὶ αὐταδέλφου Θεοφάνους τοῦ Ποιητοῦ. Ἑσπέρας μετὰ τὴν συνήθη στιχολ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἵστωμεν στ. ς'. καὶ ψάλλομεν, στ. προσόμοια, τοῦ Πρωτομάρτυρος. Ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῇ τοῦ Πνεύματος χάριτι, λαμπρυνθεὶς τὴν διάνοιαν, τῇ μορφῇ ὡς Ἄγγελος, ὤφθης Στέφανε. διαδοθείσης τῷ σώματι, τῆς ἔνδον λαμπρότητος, καὶ τὴν αἴγλην τῆς ψυχῆς, φανερούσης τοῖς βλέπουσι. δι' ἧς ἔτυχες, καὶ φωτὸς θεωρίας, οὐρανῶν σοι, παραδόξως ἀνοιγέντων, ἀρχὴ Μαρτύρων καὶ καύχημα.

Ὡς βαθμίδες καὶ κλίμακες, πρὸς οὐράνιον ἄνοδον, αἱ τῶν λίθων ῥιφάδες, σοὶ γεγόνασιν, ὧν ἐπιβαίνων τεθέασαι, ἑστῶτα τὸν Κύριον, τοῦ Πατρὸς ἐκ δεξιῶν, σοὶ ὁμώνυμον Στέφανον, προτεινόμενον, δεξιᾷ ζωηφόρῳ. οὗ πλησίον, ὡς καλλίνικος παρέστης, καὶ Ἀθλητῶν ἀκροθίνιον.

Ὅμοιον.

Ἐν σημείοις καὶ τέρασιν, ἀπαστράπτων καὶ δόγμασι, παρανόμων ἔσβεσας τὸ συνέδριον. καὶ ὑπ' αὐτῶν ἀναιρούμενος, καὶ λιθοβαλλόμενος, ὑπὲρ τῆς τῶν φονευτῶν, σὺ προσκύχου ἀφέσεως, ἐκμιμούμενος, τὴν φωνὴν τοῦ Σωτῆρος, οὗ εἰς χεῖρας, ἐναπέθου σου τὸ Πνεῦμα, τὸ ἱερώτατον Στέφανε.

Ἑτε-

Digitized by Google

Ἕτερα πρ. τοῦ Ὁσίου. Ὅμοια.

Ξενιτείας τοῖς θαύμασι, προσετέθη σοι θαύματα, ἐξορίας Ὅσιε, χαλεπότητι, τοῦ παρανόμως διέποντος, τὸν θρόνον τὸν ἔννομον, καὶ συγχέοντος δεινῶς, τοὺς θεσμοὺς τοὺς τῆς πίστεως, καὶ τὴν Ἄχραντον, τοῦ Σωτῆρος Εἰκόνα, καθελόντος. ὃν τῇ χάριτι τῇ θείᾳ, Χριστοῦ θεράπων κατῄσχυνας.

Οὐ φρουρά σε οὐ στένωσις, οὐδὲ σκότος ἀνήμερον, οὐ πληγαὶ καὶ μάστιγες, περιέχυσαν, τῆς πρὸς Χριστὸν ἀγαπήσεως, χωρίσαι Θεόδωρε. οὐδὲ νόσος χαλεπὴ, καὶ μακρὰ καὶ δυσφόρητος. οὐδὲ ἔνδεια, τῆς τροφῆς θεορρήμων, ἀλλ᾽ ἀτρέπτως, ἐκαρτέρησας προβλέπων, τὴν τῶν σῶν πόνων ἀντίδοσιν.

Ἀντὶ θλίψεως ἄνεσιν. ἀντὶ πόνων ἀπόλαυσιν. ἀντὶ σκότους ἔλλαμψιν, σοὶ δεδώρηται, ὁ Ἀθλοθέτης ὁ δίκαιος. ἀντὶ δὲ Θεσπέσιε, τῆς ἐν ὄψει συγγραφῆς, κατεγράφης ἐν βίβλῳ ζωῆς. Ἐκκλησίᾳ δὲ, πρωτοτόκων ἐτάγης, ἐν ὑψίστοις, καὶ Ἀγγέλων πανηγύρει, περιχαρῶς προσελήλυθας.

Δόξα. τοῦ Πρωτομάρτυρος. Ἦχος β΄.
Ἀνατολίου.

Τῷ Βασιλεῖ καὶ Δεσπότῃ τοῦ παντὸς, τεχθέντι ἐπὶ γῆς, Στέφανος ὑπέρλαμπρος προσφέρεται, οὐκ ἐκ λίθων τιμίων κατεσκευασμένος, ἀλλ᾽ ἐξ οἰκείων αἱμάτων διηνθισμένος. ἀλλ᾽ ὦ φιλομάρτυρες δεῦτε, τὰ τῶν ᾀσμάτων ἄνθη δρεψάμενοι, τὰς κεφαλὰς ἀναδησώμεθα, καὶ τοῖς ὕμνοις ἀναμέλποντες, εἴπωμεν· ὁ σοφίᾳ καταγλαϊσθεὶς, καὶ χάριτι τὴν ψυχὴν, Πρωτομάρτυς Χριστοῦ τοῦ Θεοῦ, αἴτησαι ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον. Παρθένος τίκτει, καὶ μήτρα οὐ φθείρεται. ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς σὺν αὐτοῖς ἐκβοῶμεν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Εἰς τὸν στ. στ. τῆς Ἑορτῆς. Ἦχος α΄.
Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων ἐξαστράψαντα, καὶ ὡς Υἱὸν ἐν κόλπῳ, Πατρικῷ ἀεὶ ὄντα, αὖθις ἐπ᾽ ἐσχάτων, ἀγκάλαις Μητρὸς, ὡς ἐν θρόνῳ καθήμενον, καὶ ὑπ᾽ Ἀγγέλων Ποιμένων Μάγων τε νῦν, προσκυνούμενον ὑμνήσωμεν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ἐν Βηθλεὲμ συνελθόντες, πιστοὶ ὀψώμεθα, τὸν τῶν ἁπάντων Κτίστην, κείμενον ἐν τῇ φάτνῃ, καὶ τοὺς ἐκ Χαλδαίων, δῶρον καλὸν, προσκομίζοντας τρίϋλον, ὡς Βασιλεῖ καὶ Θεῷ τε καὶ δι᾽ ἡμᾶς, τριημέρῳ ὑπαχθέντι νεκρῷ.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Ἐκ τῆς Παρθένου ἐτέχθης, ὑπὸ τὸ σπήλαιον, καὶ στρατιαὶ Ἀγγέλων, ἐπιστᾶσαι ἐβόων· δόξα ἐν ὑψίστοις, σοὶ τῷ Θεῷ, τῷ τεχθέντι ἐν δούλου μορφῇ, καὶ ἀναπλάσαντι Κόσμον ἐν τῇ γαστρὶ, τῆς Παρθένου καὶ ἀμαύρου Μητρός.

Δόξα. τοῦ Ἁγίου. Ἦχος πλ. β΄. Ἀνατολίου.

Πρῶτος ἐν Μάρτυσιν ἐδείχθης, καὶ ἐν Διακόνοις Στέφανε Μακάριε, τῶν Ἀθλητῶν τὸ ἐγκαλλώπισμα, τῶν πιστῶν τὸ καύχημα, ἡ δόξα τῶν δικαίων. τοὺς τὴν σεπτήν σου ἑορτάζοντας μνήμην, αἴτησαι ὡς παριστάμενος τῷ θρόνῳ, Χριστοῦ τοῦ παντάνακτος, τῶν πταισμάτων ἱλασμὸν, καὶ βασιλείας Οὐρανῶν, ἀξιωθῆναι ἡμᾶς.

Καὶ νῦν. τῆς Ἑορτῆς, ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον, ὅτι πᾶσα πλάνη, τῶν εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον τοῦ Ἁγίου. Ἦχος δ΄.

Βασίλειον διάδημα, ἐστέφθη σῇ κορυφῇ, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων πρωτόαθλε. σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοῦ

Digitized by Google

Τοῦ Ὁσίου. Ὀρθοδοξίας ὁδηγέ, καὶ τῆς Ἑορτῆς. Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. εἰς τὴν α΄. στιχολογίαν κάθισμα. τῆς Ἑορτῆς. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

Ὁ θρόνῳ πυριμόρφῳ, ἐν ὑψίστοις καθήμενος, σὺν Πατρὶ τῷ ἀνάρχῳ, καὶ τῷ θείῳ σου Πνεύματι, εὐδόκησας τεχθῆναι ἐν σαρκί, ἐκ Κόρης ἀπειράνδρου Ἰησοῦ. διὰ τοῦτο καὶ ἀστήρ σε, τοῖς ἐκ Περσίδος Μάγοις καθυπέδειξε. δόξα τῇ παναγάθῳ σου βουλῇ. δόξα τῇ ἐπιφανείᾳ σου. δόξα τῇ πρὸς ἡμᾶς ἄκρᾳ συγκαταβάσει σου.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν α΄. στιχολογίαν κάθισμα. Ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ὁ ἀχώρητος παντί, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρός, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν, ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν. ἄσαρκος γὰρ ὤν, ἐσαρκώθη ἑκών, καὶ γέγονεν ὁ ὤν, ὃ οὐκ ἦν δι᾿ ἡμᾶς. καὶ μὴ ἐκστὰς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος, διπλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, Κόσμον θέλων ἀναπληρῶσαι.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Ὁ Ν΄. καὶ οἱ Κανόνες, τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου. Ὁ Κανὼν τοῦ Πρωτομάρτυρος. Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην. Ἰωάννου Μοναχοῦ.

Δεῦτε Στέφανον ὕμνοις, τὸν Πρωτομάρτυρα, ἡ Χριστοῦ Ἐκκλησία, ἐνδόξως στεφανώσωμεν, καὶ θεία στεφόμενοι, τοῦ Στεφάνου χάριτι, ἐπινίκιον ὕμνον ᾄσωμεν.

Φέρων τοῦ Διδασκάλου, τὸ πρᾶον φρόνημα, καὶ τὴν ἐκ τῆς ἀγάπης, ὑψοποιὸν ταπείνωσιν, ἀξίως ὁ Στέφανος, Διακόνων πρόκειται, καὶ προστάτης χηρῶν γεγένηται.

Σὺ πρὸς ἐπικουρίαν, τῶν Ἀποστόλων Χριστοῦ, ἐπαξίως ἐκλήθης. καὶ ὡς πιστὸς Διάκονος, φερώνυμε Στέφανε, χρηματίσας ἔνθα Χριστός, δι᾿ αἵματος μεταβέβηκας.

Θεοτοκίον.

Σὺ μὲν ὑπὲρ ἀνθρώπων, Χριστὲ τὸν ἄνθρωπον, ἐκ Παρθένου φορέσας, ὡς βρέφος ἐσπαργάνωσαι. ὁ σὸς δὲ χωννύμενος, Πρωτομάρτυς λίθων βολαῖς, τὸν ἄνθρωπον ἀποδύεται.

Ἕτερος Κανὼν τοῦ Ὁσίου. Οὗ ἡ ἀκροστιχίς.

Τοὺς σοὺς ἀδελφούς, χρησταῖς πλέκω κρότοις.

Θεοφάνους. Ὠδὴ α΄. Ἦχος δ΄.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Τὸν τίτλον τῆς σῆς τιμίας ὄψεως, ἰδόντα παραχωρεῖ, τὰ Χερουβὶμ τοῦ ξύλου τῆς ζωῆς, ἡ φλογίνη ῥομφαία δέ, πανευλαβῶς τὰ νῶτα σοι, δίδωσι πάνσοφε Θεόδωρε.

Ὁ τίτλος τῇ κορυφῇ ἐπέκειτο, τοῦ Βασιλέως Χριστοῦ, ἐγγεγραμμένος ξύλῳ τοῦ Σταυροῦ. ὁ σὸς τίτλος δὲ πάνσοφε, ὄψει τῇ σῇ κεκόλαπται, κεχαραγμένος εὐπρεπέστατα.

Ὑψώθη ἐπὶ Σταυροῦ μὲν Κύριος, καὶ διενύγη πλευράν. σὺ δὲ ταθεὶς ἐν σκάμμῳ καρτερῶς, τὰς κεντήσεις ὑπέμεινας, ὥσπερ κριὸς ἐπίσημος, Ἱερομύστα σφαγιζόμενος.

Σοφίᾳ παντοδαπεῖ κοσμούμενος, Πάτερ Θεόδωρε, τὸν πρωτοστάτην ἤλεγξας σαφῶς, τῆς κακίστης αἱρέσεως· ὑπομονῇ τῶν ἔργων δέ, τούτου τὰς φρένας κατεπάτησας.

Θεοτοκίον.

Σοφίας τῆς ὑπερσόφου γέγονας, δοχεῖον Πάναγνε, Θεογεννῆτορ μόνη τῶν πιστῶν, Σωτηρία καὶ ὕμνησις. σὺ γὰρ ἡμῖν γεγέννηκας τὴν πάντων θείαν ἀπολύτρωσιν.

Ὠδὴ γ΄. Ὁ πήξας ἐπ᾿ οὐδενός.

Νομίμως ὡς Χριστοῦ, στρατιώτης ὁ Στέφανος, πρὸς τοὺς θεοκτόνους παραταξάμενος, τὸ ἀκαταγώνιστον, αὐτοῦ ἀθεσμός ἐνδεδυμένος, τῶν παρανόμων ἐθριάμβευσεν, ἅπασαν τὴν βλάσφημον αἵρεσιν.

Τῷ ζήλῳ τῆς Χριστοῦ, πυρωθεὶς ἀγαπήσεως, καὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος, πίστεως καὶ Πνεύματος πλησθείς, θεῖος ὁ Πρωτομάρτυς, τῶν Ἁλιέων ἐβεβαίωσε, πᾶσι τὸ θεόκριτον κήρυγμα.

Ὡς κῆρυξ τῆς κεκρυμμένης, ὄντως καὶ θείας ζωῆς, τῆς παρούσης, ὥσπερ ἐπιλαθόμενος, ἔργῳ διαδείκνυσι σαφῶς, πᾶσιν

Digitized by Google

σιν ὁ Πρωτομάρτυς, τροπαιοφόρον τὴν ἀλήθειαν, ἄριστα προκρίνας τὸν θάνατον.

Τοῦ βίου δι' ἡμᾶς, ὁ Δεσπότης τὸ σπήλαιον, ὑπεισῆλθε τρόπῳ συγκαταβάσεως. ὁ δὲ τῶν Μαρτύρων ἀρχηγός, Στέφανος τὴν σπιλάδα, τὴν ἀνθρωπίνην ὑπεξέρχεται, πόθῳ τοῦ Δεσπότου βαλλόμενος.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Οὐκ ἔχων ὅ,τι ταῖς σαῖς, διδασκαλίαις ἀντειπεῖν Ὅσιε, ἐπ' αἰκισμοὺς στρέφεται, ὁ ἑλληνικῆς βίας ἔμπλεως.

Ὑπέστης καρτερικῶς, τὰς ἐπὶ νῶτον καὶ στηθῶν μάστιγας, διὰ Χριστὸν θεόπνευστε, καὶ τὰ ἐπὶ κόρρης ῥαπίσματα.

Σοφίᾳ πνευματικῇ, καὶ προθυμίᾳ λογισμοῦ ἤχυνας, τὸν δυσσεβῆ λέοντα, τοῖς ἱερωτάτοις σου δόγμασιν.

Ἀθραύστοις ὑπομοναῖς, καὶ καρτερίᾳ τῶν δεινῶν ἔθραυσας, τὴν μανικὴν Ὅσιε, βδέλλαν τῇ μαχαίρᾳ τοῦ Πνεύματος. Θεοτ.

Δαβὶδ καθὰ κιβωτὸν, ἐν Βηθλεὲμ προφητικοῖς ὄμμασι, Μήτηρ Θεοῦ βλέπει σε, βρέφος τὸ ὑπέρθεόν σου φέρουσαν.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀπόστολε Χριστοῦ, Διακόνων ὁ πρῶτος, Πρωτομάρτυς σοφὲ, τῶν Μαρτύρων ἀκρότης, ὁ Κόσμου τὰ πέρατα, ἁγιάσας τοῖς ἄθλοις σου, καὶ τοῖς θαύμασι, ψυχὰς ἀνθρώπων λαμπρύνας, τοὺς τιμῶντάς σε, ῥῦσαι παντοίων κινδύνων, παμμάκαρ Στέφανε.

Ἕτερον τοῦ αὐτοῦ. Ἦχος δ΄.

Καταπλάγη Ἰωσήφ.

Τὴν τοῦ Πνεύματος πηγὴν, ἐν τῇ καρδίᾳ μυστικῶς, κεκτημένος τοῦ Χριστοῦ, ὁ Πρωτομάρτυς ἀληθῶς, τῶν Ἰουδαίων ἀπήλεγξε τὴν αὐθάδειαν, καὶ ἔδειξεν αὐτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ σπέρματος Δαβὶδ, ἀναβλαστήσαντα, τῷ τῆς σοφίας, καὶ χάριτος πληρώματι, πεπληρωμένος ὁ ἔνδοξος. ἀλλ' ὦ Τρισμάκαρ, τοὺς σὲ τιμῶντας, Πρωτοδιάκονε Ἀπόστολε, σῶζε πρεσβείαις σου.

Ἕτερον τοῦ Ὁσίου. Ἦχος γ΄.

Θείας πίστεως ὁμολογίᾳ.

Στόμα πέφηνας, τῆς παῤῥησίας, θράσος τύραννον, μεγαλοφρόνως, καταισχύνας ὑπομονῇ τῶν ἄθλων σου. ἐκκεντηθεὶς γὰρ τὰς ὄψεις Θεόδωρε, διὰ Χριστοῦ εἰκόνα τὴν πάνσεπτον, ἐβεβαίωσας τιμᾷν καὶ δοξάζειν ἅπασιν, αἰτούμενος ἡμῖν, τὸ μέγα ἔλεος.

Ἄλλος. Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Τὴν ὡραιότητα.

Θαῦμα παράδοξον, γέγονε σήμερον, ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκὶ, ὤφθη ἐκ Παρθένου δι' ἡμᾶς, καθὼς αὐτὸς ἐπίσταται. Μάγοι μετὰ δώρων δὲ, ὡς Βασιλεῖ προσεκύνησαν. Ποιμένες μετ' Ἀγγέλων τε, ἐδοξολόγουν αὐτῷ. μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν αὐτῷ, δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

Ὠδὴ δ΄. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Κατήγορος κριτής τε καὶ ἄδικος, ὁ βροτοκτόνος καὶ πατὴρ, τοῦ ψεύσους Στέφανε δείκνυται. ἀλλ' ἑαυτὸν ἀνατρέπει, τοὺς βρόχους καθ' αὐτοῦ τεκτηνάμενος.

Ὁ μέγας τῆς Ἀθλήσεως πρόβολος, ἀντίθεσμος τοῦ δυσμενοῦς τυράννου, κρείνας τὴν ἔφοδον, καταπαλαίει ἀνδρείως, ἐντέχνως ὑποβὰς τὸν ἀντίπαλον.

Ὡς πρῶτος τῶν Μαρτύρων ὁ Στέφανος, ὁδοποιήσας ἡμῖν, τοῦ μαρτυρίου τὴν εἴσοδον, στεφανηφόρος χορεύει, τῷ στέφει τῶν Μαρτύρων στεφόμενος. Θεοτοκ.

Ἐκλάμψας ἐκ Παρθένου ὡς Ἥλιος, συναπατέλλουσαν Χριστὲ, ὡς Ἑωσφόρον τὴν ἔνδοξον, τοῦ Πρωτομάρτυρος μνήμην, τῇ σῇ καταγλαΐζεις φαιδρότητι.

Ἄλλος. Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία.

Ἐφαπλούμενος σανίδι κατεκεντήθης, ὡς προσκυνῶν Θεόδωρε Χριστοῦ τὴν εἰκόνα, καὶ τῆς Θεομήτορος, Θρακὸς ἀγριότητι, καὶ βαρβαρικῇ ἰταμότητι.

Λειτουργήσας ἐκ νεότητος τῷ Δεσπότῃ, καὶ πρὸς αὐτὸν ἀνένδοτον, τὴν ἔφεσιν ἔχων Μάκαρ δι' ἀσκήσεως. Μαρτύρων ἐν αἵματι, αὖθις ἐκοσμήθης φαιδρότατα.

Φαεινότατος ὡς Ἥλιος Θεοφόρε, ἀνατολῆς ἐξώρμησας, ἀκτῖνας ἐκπέμπων, τῆς ὁμολογίας, καὶ τῆς μεγαλόφρονος, καὶ γενναιοτάτης ἐνστάσεως. Θεοτοκίον.

Εὐλογημένος ὁ ἐρχόμενος Θεὸς Λόγος, ἐν Βηθλεὲμ ὡς εὔσπλαγχνος. ἐξ ἀπειρογάμου,

Digitized by Google

γάμου, Παμφαγγε κοιλίας, ὃν νῦν ἐκδυσώπησον, σῶσαι τοὺς πρὸς σὲ καταφεύγοντας.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος, φῶς.

Ἐκλάμψας ὡς Ἄγγελος, ὁ Πρωτομάρτυς σου, τῶν Οὐρανίων Χριστὲ ἀψίδων, γεγονὼς ὑπέρτερος, καὶ δόξης ἀῤῥήτου, ἐμφορηθεὶς φιλάνθρωπε.

Ὡς ἀκαταγώνιστος, τοῦ Πρωτομάρτυρος, τοῦ Θείου ζήλου ἡ παῤῥησία. καὶ γὰρ μέχρις αἵματος, πρὸς τοὺς θεοκτόνους. ἀνδρείως παρετάξατο.

Θεηγόρου στόματος, νιφάσιν ἔβαλε, τοὺς μιαιφόνους ὁ Πρωτομάρτυς, ὑπ' αὐτῶν ἀπείροις δὲ, τῶν λίθων νιφάσιν, ὡς νικητὴς ἐστέφετο. Θεοτοκίον.

Τὸν ἐπιδημήσαντα, ἐξ ἀπειράνδρου Μητρὸς, ὁ Πρωτομάρτυς, ἐν ἀκινήτῳ, τοῦ Πατρὸς Θεότητι ἑστῶτα, καὶ δόξῃ ἐν Οὐρανοῖς τεθέαται.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Τὴν ξένην κατοικῶν, ξενιτείας ἐπ' ἀλγεσιν, ἀλγήματα ἐξορίας, καὶ φρουρὰς ὠμοτάτας, ὑπέστης καρτερόψυχε.

Νῦν χαίρεις ἀληθῶς, νικηφόρον στεφάνωμα, δεξάμενος ἐν ἡμέρᾳ, τῇ φαιδρᾷ καὶ φωσφόρῳ, τοῦ Θείου Πρωτομάρτυρος.

Ἣν ἔσχες ἐκ παιδὸς, ἀσεβείας ὑπόθεσιν, ἐτήρησας μέχρι τέλους, ἀπερίτρεπτος μείνας, ἀήττητε Θεόδωρε. Θτ.

Ὡς ὅπλον ἀῤῥαγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν Σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Μαινομένην κλύδωνι.

Ὁ κλεινὸς ταξίαρχος τῶν Μαρτύρων, Στέφανος πιστοὶ, τοὺς θεσμοὺς τῆς φύσεως τῇ χάριτι, ἐκβεβηκὼς, τῇ θείᾳ δόξῃ αὐγάζεται.

Μιμητὴς παμφαέστατος χρηματίσας, Δέσποτα Χριστὲ, τοῦ τιμίου πάθους σου ὁ Στέφανος, τοὺς φονευτὰς, δι' εὐλογίας ἀμείβεται.

Μιαιφόνου πράξεως ἀμετόχους, φύλαττε Χριστὲ, καὶ τοῦ Πρωτομάρτυρος ἀξίωσον, τοὺς ὑμνητὰς, τῆς κληρουχίας ὡς εὔσπλαγχνος. Θεοτοκίον.

Πανακοσμίου γέγονε σωτηρίας, Δέσποτα Χριστὲ, ἀπαρχὴ ὁ τόκος σου, καὶ Μάρτυσι, θεοπρεποῦς, ὁμολογίας ὑπόθεσις.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Ἱδρῶτι, τῶν ἀγώνων εἰσέτι σταζόμενος, Ἀγωνοθέτῃ παρέστης, τῷ δικαίᾳ κρίσει, πᾶσαν τὴν Κτίσιν, κυβερνῶντι, Θεοφόρε Παμμάκαρ Θεόδωρε.

Οὐδέν σε, τῆς εἰς Χριστὸν ἀγάπης ἐχώρισεν. οὐκ αἰκιζόμενον σῶμα, οὐ θανάτου ψῆφος ἀπειλουμένη, οὐ ζημία, τῶν προσιόντων Θεόφρον Θεόδωρε.

Υἱὸς ὢν, καὶ φωτὸς καὶ ἡμέρας Θεόδωρε, πλήρης φωτὸς μετετέθης, πρὸς τὸ φῶς τὸ θεῖον αὐξανομένης, τῆς ἡμέρας, καὶ νυκτὸς μειουμένης θεόληπτε. Θεοτοκίον.

Ἐκ μόνης, τῶν ἀκανθῶν ἐν μέσῳ δραμένος ὡς καθαρώτατον κρίνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομῆτορ, ὁ Νυμφίος, ἐκ τῆς γαστρός σου Λόγος προέρχεται.

Κοντάκιον. Ἦχος γ'.

Ἡ Παρθένος σήμερον.

Ὁ δεσπότης χθὲς ἡμῖν, διὰ σαρκὸς ἐπεδήμει, καὶ ὁ δοῦλος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει. χθὲς ὁ Βασιλεὺς ἡμῶν, σαρκὶ ἐτέχθη, σήμερον ὁ οἰκέτης, λιθοβολεῖται, δι' αὐτὸν καὶ τελειοῦται, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος. Ὁ Οἶκος.

Ὡς Ἀστὴρ φαεινὸς, σήμερον συνεξέλαμψε, τῷ γεννήσαντι Χριστῷ, ὁ Πρωτομάρτυς Στέφανος, ἀστράπτων φωτίζων τὰ πέρατα ἅπαντα. τῶν Ἰουδαίων μόνον ἠμαύρωσε τὴν πᾶσαν δυσσέβειαν, σοφίας λόγοις τούτους διελέγξας, ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ πείθων τούτους, τὸν γεννηθέντα ἐκ τῆς Παρθένου Ἰησοῦν. Υἱὸν αὐτὸν εἶναι Θεοῦ, κατήσχυνε τούτων τὴν ἀσεβῆ κακουργίαν. ὁ Πρωτομάρτυς, καὶ Θεῖος Στέφανος. Ἕτερος Οἶκος.

Τὴν ταχίστην Σωτὴρ, ἴασιν νῦν μοι δώρησαι, καὶ τὸν νοῦν μου Χριστὲ φώτισον ὡς φιλάνθρωπος, λέγειν τοῦ Δικαίου τὰ ἆθλα ὡς μόνος Οἰκτίρμων, δι' οὗ ἐδείχθη πρώταθλος ἁπάντων τῶν Ἁγίων Μαρτύρων σου, καὶ στέφος ἅμα καὶ δόξα, καὶ ἔπαινος, καὶ

Digitized by Google

καύχημα δὲ ἡμῶν καὶ ἀγαλλίαμα. πίστις βεβαία, καὶ τεῖχος μέγα, τῶν προστρεχόντων τῇ σορῷ, τῇ βρυούσῃ ἰάματα. ἀλλὰ μου τὸν Σωτῆρα μὴ ἐλλείποις πρεσβεύων, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος.

Τῷ αὐτῷ Μηνὶ ΚΖ. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου, Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνου Στεφάνου, ἑνὸς τῶν ἑπτὰ Διακόνων.

Στ. Λόγων στεφάνοις οἷα τιμίοις λίθοις.
Στέφω Στέφανον, ὃν προέστεψαν λίθοι.
Εἰκάδι λαΐνεος Στέφανον μόρος ἑβδόμῃ εἷλεν.

Οὗτος, ζητήσεως γενομένης ποτὲ μεταξὺ Ἰουδαίων, καὶ Σαδδουκαίων, καὶ Φαρισαίων, καὶ Ἑλλήνων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν μὲν λεγόντων, ὅτι Προφήτης ἐστί, τῶν δὲ, ὅτι πλάνος, τῶν δὲ, ὅτι Υἱὸς τοῦ Θεοῦ, στὰς ἐφ᾽ ὑψηλοῦ τόπου ὁ Στέφανος, εὐηγγελίσατο πᾶσι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, εἰπών. ἄνδρες ἀδελφοὶ, ἵνα τί ἐπληθύνθησαν ὑμῶν αἱ κακίαι, καὶ συγκέχυται πᾶσα Ἱερουσαλήμ; Μακάριος ἄνθρωπος, ὃς οὐκ ἐδίστασεν εἰς Χριστὸν Ἰησοῦν. οὗτος γάρ ἐστιν ὁ κλίνας Οὐρανοὺς, καὶ καταβὰς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τεχθεὶς ἐκ Παρθένου Ἁγίας καὶ καθαρᾶς, καὶ ἐκλελεγμένης πρὸ καταβολῆς Κόσμου, αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε. τυφλοὺς γὰρ ἐποίησεν ἀναβλέψαι, λεπροὺς ἐκαθάρισε, καὶ τοὺς δαίμονας ἀπήλασεν. οἱ δὲ ἀκούσαντες, ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον πρὸς τοὺς ἀρχιερεῖς. οὐκ ἴσχυον γὰρ ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι, ᾧ ἐλάλει. καὶ εἰσελθόντες, ὑπέβαλον ἄνδρας τινὰς λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ Ἁγίου, καὶ τοῦ νόμου, καὶ τὰ λοιπὰ καταλέξαντες, καθὼς ἐν ταῖς ἱεραῖς πράξεσιν ἐμφέρεται τῶν Ἀποστόλων. ἀτενίσαντες δὲ καὶ ἰδόντες πάντες τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον Ἀγγέλου, καὶ τὴν αἰσχύνην τῆς ἥττης μὴ φέροντες, λιθοβολίσαντες ἀναιροῦσιν ὑπερευχόμενον, καὶ λέγοντα. Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. ἐπεὶ δὲ ἐξαίρετον πτῶμα, διὰ τῆς νομιμθείσης αὐτοῦ πτώσεως, ὁ θεῖος Πρωτομάρτυς τὸν ἀντίπαλον καταβαλὼν, τὸν γλυκὺν ὕπνον ἀνεπαύσατο, συγκομίζεται τὸ ἱερὸν ἐκεῖνο σκήνωμα ὑπὸ ἀνδρῶν εὐλαβῶν ἐν γλωσσοκόμῳ Περσαίας, εἶδος δὲ τοῦτο φυτοῦ, οἱ καὶ κατασφαλισάμενοι, ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ Ναοῦ, ὁ δὲ Νομοδιδάσκαλος Γαμαλιὴλ καὶ ὁ τούτου Υἱὸς Ἀβελβοῦς, πιστεύσαντες εἰς Χριστὸν, ὑπὸ τῶν Ἀποστόλων ἐβαπτίσθησαν. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Γραπτοῦ, ἀδελφοῦ Θεοφάνους τοῦ Ποιητοῦ.

Στ. Αὐχεῖν ἔχει τὶ καὶ Θεόδωρος μέγα.
Ἐκ γῆς ἀπαίρων, ὡς μέγα στίξ εἰς θέαν.

Οὗτος ὁ Ἅγιος Θεόδωρος, ἅμα τῷ ἀδελφῷ αὐτοῦ Θεοφάνει, ἐπὶ Θεοφίλου τοῦ Βασιλέως, ὑπὲρ τῶν σεπτῶν καὶ Ἁγίων Εἰκόνων μεγάλως ἐπαῤῥησιάσαντο. ὑφ᾽ οὗ καὶ τὰς ὄψεις κατεγράφησαν, καὶ εἰς ἐξορίαν παρεπέμφθησαν. οὗτοι οὖν ἐν τοῖς μετώποις ἐγράφησαν, προστάξει Θεοφίλου τοῦ Βασιλέως τοῦ Εἰκονομάχου, δι᾽ ἰάμβων στίχων. καὶ παραπεμφθέντες ἐν τῇ ἐξορίᾳ, πρὸς Κύριον ὁ μέγας ἀριστεὺς Θεόδωρος ἐξεδήμησε. λέγεται δὲ γέροντα τινὰ ἐπὶ ταύτῃ τῇ αὐτοῦ πρὸς Κύριον ἐκδημίᾳ, Ἀγγελικῶν ἐπακοῦσαι ᾠδῶν, καὶ αὐτὸν ἅμα τῶν ᾀδόντων γενέσθαι. ἦσαν δὲ καὶ οἱ ἰάμβων γραφέντες τῷ προσώπῳ στίχοι, ἔχοντες οὕτως.

Στίχοι Ἰαμβικοὶ, γραφέντες τῷ προσώπῳ τοῦ Ἁγίου Θεοδώρου, καὶ Ἀδελφοῦ αὐτοῦ Θεοφάνους, παρὰ Θεοφίλου Βασιλέως, ἐν σιδήρῳ πυρωθέντι.

Πάντων ποθούντων προστρέχειν πρὸς τὴν πόλιν.
Ὅπου πανάγνοι τοῦ Θεοῦ Λόγου πόδες,
Ἔστησαν εἰς σύστασιν τῆς Οἰκουμένης,
Ὤφθησαν οὗτοι τῷ σεβασμίῳ τόπῳ,
Σκεύη πονηρὰ δεισιδαίμονος πλάνης.
Ἐκεῖσε πολλὰ λοιπὸν ἐξ ἀπιστίας,
Πράξαντες δεινὰ αἰσχρὰ δυσσεβοφρόνως,
Ἐκεῖθεν ἠλάθησαν ὡς ἀποστάται.

Πρὸς

Digitized by Google

Πρὸς τὴν πόλιν δὲ τοῦ κράτους πεφθακότες,
Οὐκ ἐξαφῆκαν τὰς ἀθέσμους μωρίας.
Ὅθεν γραφέντες ὡς κακοῦργοι τὴν θέαν,
Κατακρίνονται καὶ διώκονται πάλιν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου, Ἀρχιεπ. Κωνσταντινουπόλεως.

Οὗτος ὑπῆρχε τῆς αὐτῆς Πόλεως γέννημα καὶ θρέμμα, ἐπὶ τῆς Βασιλείας τοῦ Εὐσεβεστάτου Κωνσταντίνου τοῦ Πωγωνάτου. ἐγένετο δὲ διὰ τὴν πολλὴν αὐτοῦ εὐλάβειαν, Πρεσβύτερος τῆς ἁγιωτάτης μεγάλης Ἐκκλησίας, εἶτα Σύγγελος καὶ Σκευοφύλαξ, τοῦ δὲ Πατριάρχου Κωνσταντινουπόλεως τελευτήσαντος, ἐκβιασθεὶς ὑπὸ τῆς Συγκλήτου ἁπάσης, καὶ αὐτοῦ τοῦ Βασιλέως καὶ μᾶλλον ὑπὸ τῆς ἱερᾶς Συνόδου, τοὺς οἴακας τῆς Ἐκκλησίας ἐγχειρίζεται. καὶ καλῶς αὐτὴν κυβερνήσας ἔτη δύω καὶ μῆνας τρεῖς πρὸς Κύριον ἐξεδήμησε. τὴν δὲ μνήμην αὐτοῦ ἡ μεγάλη Ἐκκλησία ἑορτάζει ἐν ἡμέρᾳ Κυριακῇ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Μαυρικίου, καὶ τῶν σὺν αὐτῷ ἑβδομήκοντα Μαρτύρων.

Οὗτος ὑπῆρχε σὺν αὐτοῖς ἐν ταῖς ἡμέραις Μαξιμιανοῦ. διερχομένου οὖν αὐτοῦ ἐκ τῆς Ἀπαμέων Πόλεως, διεβλήθησαν αὐτῷ οἱ Ἅγιοι οὗτοι, οἱ καὶ παραστάντες, καὶ χριστιανοὺς ἑαυτοὺς εἶναι φάμενοι, ἀφαιροῦνται τὰς ζώνας, καὶ τῇ φρουρᾷ ἐγκλείονται. καὶ μετὰ τρίτην ἡμέραν προσκληθέντες ἐρωτῶνται. ὡς δὲ ἔμενον ἀκαμπεῖς, τύπτονται σφοδρῶς, καὶ ἐπὶ πυρὰς ῥίπτονται. εἶτα ξύλοις ἀναρτηθέντες, ξέονται τὰς πλευράς. βουλόμενος δὲ ὁ Μαξιμιανὸς περισσοτέρως λυπῆσαι τὸν Ἅγιον Μαυρίκιον, Φωτεινὸν τὸν Υἱὸν αὐτοῦ ἀποτμηθῆναι προστάττει. ἐπεὶ δὲ εἶδεν αὐτοὺς ἀκλινῆ τὴν πίστιν τηροῦντας, καὶ μὴ πειθαρχοῦντας, πέμπει αὐτοὺς ἐν τόπῳ ἀλσώδει, μέσον δύω ποταμῶν καὶ λίμνης κειμένῳ, σφηκῶν τε καὶ μυιῶν καὶ κωνώπων καὶ σκνιπῶν ὑπάρχοντι ἀνάμεστῳ. οἱ τινες ὑπὸ τούτων κατακεντούμενοι, ἐτελειώθησαν.
Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

Ὡς ποικίλοις ἄνθεσι, καὶ ὡραίοις Στέφανε, τοῖς λίθοις κοσμούμενος, σαυτὸν προσενήνοχας, Χριστῷ τῷ Ζωοδότῃ, μελῳδῶν εὐλογητὸς εἶ.

Ὡς ἀκαταγώνιστος, ἡ τοῦ Σαύλου ἔνστασις, πορθοῦντος τὸ πρότερον, Χριστοῦ τοὺς θεράποντας, προσάγοντός τε ἔθνη, τῷ Χριστῷ εἰς τοὺς αἰῶνας.

Τοὺς ὀδόντας βρύχοντες, φονικῶς οἱ ἄνομοι, ὡς θῆρες ἁρπάσαντες, ἀνῄρουν τὸν Στέφανον, ἐνθέως μελῳδοῦντα, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐπαρθεὶς τῷ Πνεύματι, τῷ Ἁγίῳ Στέφανε, ἀρρήτως τεθέασαι, Υἱὸν σὺν Γεννήτορι, κραυγάζων τῇ Τριάδι, ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Σοὶ τῷ ἀνατείλαντι, ἐκ Παρθένου θείας ἁγνῆς, προσήνεκται ἔμψυχος, ὡς Βασιλεῖ Στέφανος, ἐνθέως μελῳδῶν σοι, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Πεπυρσωμένος, τῷ ὀρθοδόξῳ ζήλῳ πάνσοφε, βρῶσιν μιαρᾶς αἱρέσεως, καὶ δεινῆς, θαρσαλαίως ἐξηκόντισας, εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Λόγον σοφίας, λόγον δογμάτων, λόγον γνώσεως, λόγον διδαγμάτων, Πάτερ πανευσεβῶν, Θεὸς Λόγος σοι δεδώρηται, εὐλογημένος εἶ, ὁ Θεός μου κραυγάζων καὶ Κύριος.

Ἐξανατείλας, ἐκ τῆς Ἑῴας ὥσπερ Ἥλιος, αἴγλην ἀσεβείας ἔσπειρας ἐπὶ γῆς, τῆς εἰκόνος τὴν προσκύνησιν, Χριστοῦ φωτίζουσαν, καὶ διδάσκουσαν Πάτερ Θεόδωρε.

Θεοτοκίον.

Κεκοσμημένη, δεδοξασμένη ὑπερλάμπουσα, φέγγει Παρθενίας Μήτηρ Θεοῦ, μετὰ σώματος γεννήσασα, καὶ σπαργανώσασα, τὸν ὁμίχλῃ τὴν γῆν σπαργανώσαντα.

Ὠδὴ η'. Σοὶ τῷ παντουργῷ.

Δεῦτε νοητῶς, τῇ τοῦ Στεφάνου δόξῃ, λαμπόμενοι μέλψωμεν, τῷ σαρκωθέντι Θεῷ, πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.



Digitized by Google

Ὤφθη σοι Χριστὸς, ἐν τῇ Πατρῴᾳ δόξῃ, τῶν ἄθλων μηνύων σοι, σαφῶς τὰ ἔπαθλα. ὅθεν ἐβόας· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σοὶ ὡς νικητῇ, τῆς παρανόμου πλάνης, ἀθλήσεως στέφανος, ἐπλάκη Στέφανε. ὅθεν ἐβόας· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἔπλεξεν ἡμῖν, ὁ τοῦ Δεσπότου τόκος, χορείαν ἡ μνήμη τε, τοῦ Πρωτομάρτυρος. ὅθεν ἀπαύστως, τὸν Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν, θεανδρικῶς τῷ Λόγῳ, τεκοῦσαν τὸν Κύριον, καὶ παρθενεύουσαν, πάντα τὰ ἔργα, Παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὡς κλέων παμμάκαρ πεποιθὼς, ψυχῆς στεῤῥότητι οὐκ ἐδειλίασας, τὸν τῆς αἱρέσεως πρόβολον, τῆς μανίας τὸν ἐπώνυμον, ὃν καταπτήξας τοῖς λαοῖς, χαίρων ἐκραύγαζες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κοσμήσας ἀνδρείᾳ τὸν θυμὸν, τῇ σωφροσύνῃ δὲ, Μάκαρ τὴν ἔφεσιν, τὸν νοῦν φρονήσεως ἔμπλεων, κεκτημένος διετέλεσας, δικαιοσύνῃ δὲ τὰς σὰς φρένας ἐρύθμισας, καὶ κραυγάζεις· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥαγδαίως φερόμενον τὸν ῥοῦν, τὸν τῆς αἱρέσεως Πάτερ ἐξήρανας, τοῖς σοῖς συντάγμασιν Ὅσιε, καὶ πανσόφοις ἀποδείξεσι, τὰς μηχανὰς τῶν ἀσεβῶν, καταστρεψάμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Ὁ πλάσας τὴν φύσιν καταρχὰς, τὴν τῶν ἀνθρώπων Θεὸς, ταύτην ἐνδύεται ἐκ τῆς ἀχράντου σου Πάναγνε, καὶ ἁγίας γαστρὸς σήμερον, ἐν Βηθλεὲμ προφητικῶς, ἀποτικτόμενος. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία θεόνυμφε.

Ὠδὴ θ'. Ἡσαΐα χόρευε.

Νόμων ἐπαίνων Στέφανε, ὑπερέβης, ἅπαντα θεσμὸν, καὶ φέρεις κατὰ πάντος, λόγου ἀξιόλογως, σὺ τὰ νικητήρια. ἀδύνατεῖ. βρότειος γὰρ νοῦς, πλέξασθαι στέφανον, ἐγκωμίων σοι ἐπάξιον.

Ὢ τῆς μακαρίας σου, ἣς ἐφθέγξω, Στέφανε φωνῆς· μὴ στήσῃς τοῖς φονεύταις, Δέσποτα βοῶν, Χριστὲ τὸ ἀγνόημα. ἀλλ' ὡς Θεὸς, καὶ Δημιουργὸς, δέξαι τὸ πνεῦμά μου, ὥσπερ θῦμα εὐωδέστατον.

Σὺ τῶν πόνων ἔπαθλον, ἀνεδήσω, τὸ νικητικὸν, ἐκ Παντοκρατορικῆς. στέφος δεξιᾶς. καὶ νῦν Παμμακάριστε, παρεστηκὼς, τῷ Παμβασιλεῖ, δόξῃ καὶ χάριτι, τοὺς ὑμνοῦντάς σε περίσωζε. Θεοτοκίον.

Χρονικῆς ὑπάρξεως, ἐκ Παρθένου, εἴληφεν ἀρχὴν, σαρκὶ ὁ ἐκ τοῦ Πατρὸς, ἄχρονος Υἱός. διὸ ἀναιρούμενος, ὁ μιμητὴς, Στέφανος Χριστοῦ, νῦν ἐκληρώσατο, ἀπαρχὴν τῆς ἀϊδίου ζωῆς.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Τῷ θείῳ βαλλόμενος πόθῳ, τῶν διωγμῶν τὰς παρατάσεις, ῥᾶον ὑποφέρεις θεόφρον. καὶ τοῦ διώκτου τὴν ἀγριότητα, καταβαλὼν ἀπείληφας, τὸν τῶν ἀγώνων Πάτερ Στέφανον.

Ὄλβον ἐπουράνιον εὗρες, καὶ διαμείνουσαν οἰκίαν, ἀντὶ τῆς μακρᾶς ἐξορίας, καὶ ξενιτείας καὶ μεταβάσεως. καὶ νῦν τρυφᾶς λαβόμενος. τῆς αἰωνίου ἀπολαύσεως.

Ὕμνον τῷ Δεσπότῃ προσφέρων, Μάκαρ δυσώπησον ἀπαύστως, ὑπὲρ τῆς ἐμῆς ἀθενείας, καὶ συσκηνίας καὶ ἀδελφότητος. ὅπως ὁμοῦ βιώσαντες, τύχωμεν ἅμα τῆς θεώσεως. Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν τε καὶ λόγον, ἐν Βηθλεὲμ τὸν Θεὸν Λόγον, σήμερον τεκοῦσαν Παρθένε, καὶ ἐν σπαργάνοις τοῦτον ἑλίξασαν, ὡς ἀληθῶς Θεόπαιδα, καὶ Θεοτόκον μεγαλύνομεν. Ἐξαπ. Ἐπεσκέψατο ἡμᾶς.

Στέφανος σοὶ ὡς Βασιλεῖ, ἔμψυχος προσενήνεκται, νῦν τῆς σαρκὸς ἐκδημήσας, τῷ ἐνδημήσαντι σαρκὶ, Θεῷ τῷ παντοκράτορι, δι' ὃν καὶ τὸν ἀγῶνα, ἐνδόξως ἐτέλεσεν.

Ἕτερον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὁ πλήρης θείας χάριτος, καὶ δυνάμεως ὄντως, τερατουργῶν διήλεγχε, θεοκτόνων

τὰ

τὰ στίφη, διακειμένης μελετῶντα, ὑψηγόρῳ δὲ γλώττῃ, θεολογῶν ὁ Στέφανος, καὶ Πατρὸς δεξιόθεν, τὸν Ἰησοῦν, καθορῶν νῦν ἐφεστηκότα. πρὸς ὃν λιθολευστούμενος, στεφηφόρος ἀνῆλθεν. Ἕτερον. Ὅμοιον.

Ὁ τῷ Πατρὶ καὶ Πνεύματι, συναΐδιος Λόγος, καὶ συμφυὴς καὶ σύνθρονος, ἐκ Παρθένου γεννᾶται, ἐν Βηθλεὲμ νῦν ὡς βρέφος. ὃν Θεὸν καὶ Σωτῆρα, ὁ Πρωτομάρτυς Στέφανος, ἀριδήλως κηρύξας, ὑπὸ χειρῶν, μιαιφόνων, χαίρων λιθολευστεῖται, καὶ στεφηφόρος ἄνεισι, πρὸς αὐτὸν μετὰ δόξης.

Εἰς τοὺς αἴνους, στιχ. ἰδιόμ. τοῦ Ἁγίου,

Ἦχος α΄. Κυπριανοῦ.

Τὸν ἀθλοφορικὸν στέφανον, τῷ Πρωτάθλῳ οἱ πιστοὶ στέψωμεν, ἐκ λογικῶν ἀνθέων. αὐτὸς γὰρ τὴν τῶν Μαρτύρων, προητοίμασεν ὁδόν. καὶ ἐν χαρᾷ ἀνεβόα· ἰδοὺ τοὺς Οὐρανοὺς, ἀνεῳγμένους θεωρῶ, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Πατρός. Ἦχος β΄. Ἀνατολίου.

Ἁγιωσύνην ἐνεδύσω Στέφανε μακάριε, πρωτομάρτυς, καὶ πρωτοδιάκονε, τῶν Ἀγγέλων συμμέτοχε, δυσωπήθητι καὶ πρέσβευε ὑπὲρ ἡμῶν, πρὸς τὸν Σωτῆρα Κύριον, τὸν ἀναμάρτητον.

Ἦχος ὁ αὐτός.

Πρῶτος ἐν Διακόνοις, πρῶτος καὶ ἐν Μάρτυσιν ἐδείχθης, πανάγιε Στέφανε. ὁδὸς γὰρ ἐγένου τοῖς Ἁγίοις, καὶ πολλοὺς τῷ Κυρίῳ, προσήγαγες Μάρτυρας. διὸ Οὐρανός σοι ἠνοίγη, καὶ Θεός σοι ἐφάνη. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Στέφανε ἔνδοξε, Οὐρανοπολῖτα, Χριστοῦ θεράπων Μακάριε, πρεσβείαν ποίησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄. Ἀνατολίου.

Τὸν Πρωτομάρτυρα, καὶ γενναῖον τοῦ Χριστοῦ θεράποντα, Στέφανον τὸν Πρωτοδιάκονον, ἐπαξίως τιμήσωμεν. οὗτος γὰρ ἑστὼς, ἐν μέσῳ παρανόμων, ἐν δεξιᾷ Πατρὸς Υἱὸν ἐθεάσατο.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Στέφανος, ἡ καλὴ ἀπαρχὴ τῶν Μαρτύρων, ὁ πλήρης χάριτος καὶ δυνάμεως, ὁ ποιῶν σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ, ὑπὸ ἀνόμων ἐλιθάζετο. ἀλλ᾿ ἐξέλαμψεν ὡς Ἄγγελος. καὶ θεωρεῖ τὴν δόξαν, σοῦ τοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν, ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ τῷ Πνεύματι τῆς χάριτος, εἰς Οὐρανοὺς ἀνελαμβάνετο. καὶ διὰ τοῦτο, ταῖς χοροστασίαις τῶν Ἀγγέλων συναυλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ἦχος πλ. α΄. Κυπριανοῦ.

Πρωτομάρτυς Ἀπόστολε, καὶ Πρωτοδιάκονε, ἡ πύλη τῶν Μαρτύρων, ἡ δόξα τῶν Δικαίων, τῶν Ἀποστόλων, τὸ καύχημα. σὺ Οὐρανοὺς ἐθεάσω ἀνεῳγμένους, ἐν τῷ σταδίῳ ἑστώς. καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Πατρός. διὸ ὡς Ἄγγελος, ἐκλάμψας τῷ προσώπῳ, ἐν χαρᾷ ἀνεκραύγαζες, ὑπὲρ τῶν λιθαζόντων. μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ νῦν αἴτησαι, τοῖς ἐκ πόθου εὐφημοῦσί σε. ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Τ᾿ ἀνακάλυπτον τὸ τελούμενον, ἐν Βηθλεὲμ σήμερον μυστήριον, ὁ ἀόρατος ὁρᾶται. ὁ ἄσαρκος σαρκοῦται. ὁ Λόγος παχύνεται. καὶ ὁ ὢν γίνεται, ὃ οὐκ ἦν. Παρθένος τίκτει ἐν σπηλαίῳ, βρέφος νέον τὸν Πλάστην τῆς φύσεως. φάτνη ἐκτυποῦται, εἰς θρόνον ἐπουράνιον. κτήνη ἀπεικάζει, Χερουβικὴν παράστασιν. Ποιμένες θαυμάζουσι. Μάγοι δῶρα προσφέρουσιν. Ἄγγελοι ἀνυμνοῦντες λέγουσι. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐν ἀνθρώποις γὰρ εὐδόκησεν, ἀναλλοιώτως ὁ Ἐμμανουήλ.

Εἰς τὸν στιχ. στιχηρὰ προσόμ. τῆς ἑορτῆς. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἰδοῦσα κρατούμενον χερσὶν, ἑαυτῆς ἡ Πάναγνος, τὸν Ποιητὴν ἀπεφθέγγετο. τέκνον γλυκύτατον, πῶς σε βρέφος βλέπω; καὶ νοεῖν οὐ δύναμαι, τὴν ἄπειρόν σου νῦν συγκατάβασιν; ὑμνῶ τὸ κράτος σου, προσκυνῶ τὴν εὐσπλαγχνίαν σου, δι᾿ ἧς σῶσαι, Κόσμον παραγέγονας.



Digitized by Google

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου.

Ὡς βρέφος με βλέπουσα ταῖς σαῖς, ἐπαναπαυόμενον, Μῆτερ ἀγκάλαις εὐφράνθητι. ἦλθον τὸν Κόσμον γάρ, ὅλον ἐξελέσθαι, τὸν Ἀδὰμ ὃν ἔπλασα, κακίστῃ συμβουλίᾳ τοῦ ὄφεως, ξυλογευσάμενον, καὶ τρυφῆς ἔξω γενόμενον, Παραδείσου, καὶ καταφθειρόμενον.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Σὲ βρέφος προτέλειον ὁρῶ, φάτνῃ προσκλινόμενον. οὐ συνορῶ μυστηρίου δέ, βάθος τὸ ἄφραστον. πῶς καὶ μετὰ τόκον, ἄφθορος διέμεινα, τοὺς νόμους ὑπερβᾶσα τῆς φύσεως. τίνα οὖν αἶνόν σοι, προσαγάγω; πῶς δοξάσω σε; ἡ Παρθένος, Κόρη ἀπεφθέγγετο.

Δόξα. τοῦ Ἁγίου. Ἦχος πλ. δ΄. Κυπριανοῦ.

Χαίροις ἐν Κυρίῳ, στεφανηφόρε Στέφανε, ὁ μιμητὴς τοῦ Δεσπότου. διότι καὶ Πρωτομάρτυς γέγονας, Χριστοῦ τοῦ Βασιλέως ἡμῶν. καὶ τὴν πλάνην τῶν ἀνόμων, Ἰουδαίων κατήργησας. πρέσβευε, ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Ἰωάννου Μοναχοῦ.

Παράδοξον μυστήριον, οἰκονομεῖται σήμερον. καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται. ὅπερ ἦν, μεμένηκε, καὶ ὃ οὐκ ἦν προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Ἡ λοιπὴ ἀκολουθία τοῦ ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ τυπικά, καὶ ἐκ τοῦ Κανόνος, ᾨδὴ γ΄. καὶ ϛ΄.

---

Τῷ αὐτῷ Μηνί, ΚΗ΄.

Τῶν Ἁγίων Δισμυρίων, τῶν ἐν Νικομηδείᾳ καέντων. Ἑσπέρας, ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχ. ϛ΄. καὶ ψάλλομεν, στίχ. προσόμοια τῆς ἑορτῆς. Ἦχος Πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Φέρεις Ἀδαμιαίαν μορφήν, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων παντέλειος, καὶ θέλεις χερσὶ κρατεῖσθαι, ὁ τῇ χειρὶ τοῦ παντός, περιδεδραγμένος δυναστείᾳ σου, Ἁγνὴ ἡ Παναμώμος, προσεφθέγγετο λέγουσα. πῶς σε σπαργάνοις, ἐνειλίσω ὡς νήπιον; πῶς θηλάσω σε, τὸν τὰ σύμπαντα τρέφοντα; πῶς οὐ τὴν ὑπὲρ ἔννοιαν, πτωχείαν θαυμάσωμαι; πῶς σε Υἱέ μου καλέσω, δούλη σου νῦν χρηματίζουσα; ὑμνῶ εὐλογῶ σε, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Βρέφος σωματωθέντα ἐξ αὐτῆς, τὸν προαιώνιον Θεὸν ἡ Παναμώμος, ὁρῶσα, χερσὶ κρατοῦσα, καταφιλοῦσα πυκνῶς, καὶ χαρᾶς πλησθεῖσα, προσεφθέγγετο αὐτῷ. Θεὲ ὕψιστε, Βασιλεῦ ἀθεώρητε. πῶς καθορῶ σε, καὶ νοεῖν τὸ μυστήριον, οὐ δεδύνημαι. τῆς ἀμέτρου πτωχείας σου; σπήλαιον γάρ σμικρότατον, καὶ τοῦτο ἀλλότριον, ἔνδον χωρεῖ σε τεχθέντα, καὶ Παρθενίαν μὴ λύσαντα, μηδὲν συντηροῦντα, ὡς πρὸ τόκου καὶ διδόντα, τὸ μέγα ἔλεος.

Ταῦτα ἱκετικῶς ἡ σεμνή, θαμβητικῶς τε φθεγγομένη ἀκήκοε, τῶν Μάγων, πρὸ τοῦ σπηλαίου, παρισταμένων ὁμοῦ, καὶ πρὸς τούτους ἔφη, τίνα θέλετε; ὑμεῖς ὡς ὁρῶ γάρ, ἀλλοδαπῆς χώρας ἤλθετε, Περσῶν τὸ σχῆμα, καὶ τὸ φρόνημα ἔχοντες, ξένην ἄφιξιν, καὶ πορείαν πεποίησθε, καὶ πρὸς τὸν ξενιτεύσαντα, ἐξ ὕψους καὶ ξένως μοι, ἐνοικισθέντα ὡς οἶδε, μετὰ σπουδῆς παραγένεσθε, αὐτὸν προσκυνῆσαι, τὸν δωρούμενον τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Ἕτερα στίχ. προσόμ. τῶν Ἁγίων. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ἡμᾶς.

Ἀπομύριοι Μάρτυρες Χριστοῦ, τοῦ Θεοῦ τῇ χάριτι, συναθροισθέντες ἐν Πνεύματι, δῆμος Μακάριος, φωταυγεῖς ἀστέρες, πλάνης νύκτα λύσαντες, πρὸς ἄδυτον αὐγὴν μετετέθητε. καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πλῆθος πολυάριθμος πυρί, ἤδη ὁλοκαυτοῦται, καὶ εὐωδίας ἐπλήρωσε, τὰ ἐπουράνια. καὶ τῶν πρωτοτόκων, ἐκλεκτὴν ὁμήγυριν, ἐφαίδρυνε, χαρᾶς τε ἐπλήρωσε, νῦν τὰ ἐπίγεια. καὶ πρεσβεύει τοῦ σωθῆναι

Digitized by Google

θῆναι ἡμᾶς, τοὺς τελοῦντας, τὴν ἔνδοξον μνήμην αὐτῶν.

Πόθῳ πυρούμενοι Χριστοῦ, πάντων ἀφειδήσαντες, τῶν ἐπὶ γῆς ὥσπερ ἄμωμα, θύματα τέλεια, αὐτῷ προσαχθέντες, ἀθλοφόροι Μάρτυρες, Ἀγγέλων συμπολῖται γεγόνατε. καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Παρθένοι νεάνιδες τῶν σῶν, μύρων ὀσφραινόμεναι, σοῖς ἠκολούθησαν ἴχνεσι, τὸ σὸν μιμούμεναι, ζωηφόρον πάθος, τὸ ψυχῶν σωτήριον, καὶ πρὸς τὴν ἐκ νεκρῶν ἐξανάστασιν, ἐν σοὶ γηθόμεναι. Εὐεργέται κατῳκίσθησαν, τοῦ σοῦ κάλλους, σαφῶς ἀπολαύουσαι. Δόξα, καὶ νῦν. Ἦχος δ'.

Ἰωάννου Μοναχοῦ.

Εὐφράνθητι Ἱερουσαλήμ, καὶ πανηγυρίσατε πάντες, οἱ ἀγαπῶντες Σιών. σήμερον ὁ χρόνιος ἐλύθη δεσμός, τῆς καταδίκης τοῦ Ἀδάμ. ὁ Παράδεισος ἡμῖν ἠνεῴχθη. ὁ ὄφις κατηργήθη. ἣν γὰρ ἠπάτησε πρώην, νῦν ἐθεάσατο, τοῦ Δημιουργοῦ γενομένην Μητέρα. ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ, ἡ προξενήσασα τὸν θάνατον πάσῃ σαρκί, τῆς ἁμαρτίας τὸ ὄργανον, σωτηρίας ἀπαρχὴ ἐγένετο τῷ Κόσμῳ παντί, διὰ τῆς Θεοτόκου. βρέφος γὰρ τίκτεται ἐξ αὐτῆς, ὁ παντέλειος Θεός. καὶ διὰ τοῦ τόκου, Παρθενίαν σφραγίζει. σειρὰς ἁμαρτημάτων λύων, διὰ σπαργάνων. καὶ διὰ νηπιότητος, τῆς Εὔας θεραπεύει τὰς ἐν λύπαις ὠδῖνας. χορευέτω τοίνυν πᾶσα ἡ Κτίσις, καὶ σκιρτάτω. ἀνακαλέσαι γὰρ αὐτήν, παραγέγονε Χριστός, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολ. τὸ προσόμ. τῆς ἑορτῆς. Ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὅλον θεουργικῶς, φορέσας ἐκ Παρθένου, Ἀδὰμ Χριστὲ τὸν πρῶτον, ἐτέχθης ἐν σπηλαίῳ, καὶ φάτνῃ ἐσπαργανώσαι.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου.

Ψάλλε προφητικῶς, Δαβὶδ κινῶν τὴν λύραν. τῆς σῆς γὰρ ἐξ ὀσφύος, ἐξ ἧς ἡ Θεοτόκος, Χριστὸς γεννᾶται σήμερον.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Ὕμνον θεοτερπῆ, μετὰ Ποιμένων Μάγοι. καὶ σὺν Ἀγγέλοις δόξαν, τῷ ἐκ Παρθένου φῶτι, Θεῷ πιστοὶ προσάξωμεν.

Δόξα, καὶ νῦν. Ἦχος ά.

Ἰωάννου Μοναχοῦ.

Δόξα ἐν ὑψίστοις Θεῷ, ἐν Βηθλεὲμ ἀκούω, ὑπὸ Ἀσωμάτων σήμερον, τῷ ἐπὶ γῆς εἰρήνην, εὐδοκήσαντι γενέσθαι. νῦν ἡ Παρθένος, Οὐρανῶν πλατυτέρα. ἐξανέτειλε γὰρ φῶς τοῖς ἐσκοτισμένοις, καὶ ταπεινοὺς ὕψωσε, τοὺς ἀγγελικῶς μελῳδοῦντας, δόξα ἐν ὑψίστοις Θεῷ.

Ἀπολυτίκιον, τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ἦχος β'.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν. καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν. ἐν σταδίῳ γὰρ, τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστόν, μετὰ παῤῥησίας ἐκηρύξατε. αὐτὸν ὡς ἀγαθὸν ὑπὲρ ἡμῶν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν ά.

Στιχολ. Κάθισμα. Ἦχος Πλ. δ'.

Αὐλῶν ποιμενικῶν.

Παράδοξον πιστοί, τὸ μυστήριον τοῦτο. Θεὸς ἐκ Γυναικός, ἐγεννήθη ὡς οἶδε. τάγματα τῶν Ἀγγέλων, καταπλαγέντα τῇ καταβάσει αὐτοῦ. κράζουσιν ἀνυμνοῦντα, ὅτι ἐτέχθη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν β'. στιχολ. κάθισμα. Ἦχ. πλ. δ'. Αὐτόμελον.

Αὐλῶν ποιμενικῶν, μελῳδούντων ᾆσμα, στρατὸς Ἀγγελικός, ἐπεφώνει λέγων. αἶνον ᾄσατε θεῖον, οἱ τῶν θρεμμάτων ἡγεμονεύοντες. κράξατε ἀνυμνοῦντες, ὅτι ἐτέχθη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Ὁ Κανὼν, τῆς Ἑορτῆς. Εἶτα τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Πληθὺν μεσῶ ζοῖς Καλλινίκων Μαρτύρων. Ἰωσήφ. Ὠδὴ ά. Ἦχος



Digitized by Google

Ὠδὴν ἐπινίκιον, ᾄσωμεν πάντες.

Πλῆθος πολυάριθμε, σεπτῶν Μαρτύρων, τὰ πλήθη ἐξάλειψον, τῶν παλαιῶν πταισμάτων μου, τῇ μεσιτείᾳ σου, καὶ δίδου λόγον ἀνυμνεῖν, τὴν σὴν πανήγυριν.

Λαμπτῆρες ὑπέρφωτοι, τῆς Ἐκκλησίας, Καλλίνικοι Μάρτυρες, τοῖς οἰκείοις μέλεσι, Θεὸν δοξάσαντες, τῇ φωτοφόρῳ μνήμῃ ὑμῶν, μνήμῃ δοξάζεσθε.

Ἡ πίστις ἡ ἔνθεος, τῶν ἀθλοφόρων, ἀπίστων τὴν ἄθεον, τυραννίδα ὤλεσε, καὶ ἐξηφάνισε, τὴν τῶν δαιμόνων πονηρὰν, ἐν τάσει χάριτι.

Θεὸν παντοδύναμον, σάρκα λαβόντα, καὶ θάνατον λύσαντα, τῷ θανάτῳ Μάρτυρες, ὁμολογήσαντες, ἐθανατώθη ζωὴν, λαβόντες ἄληκτον.

Θεοτοκίον.

Ὑμνῶ σε Πανύμνητε, Εὐλογημένη, Θεὸν ὑπερύμνητον, ἐν σαρκὶ κυήσασα, Θεὸν μεγαλύναντα, τοὺς ἀθλοφόρους, καὶ τὸν ἐχθρὸν καταπαλαίσαντα.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

Ὡραιοτάτως ἐκπυρούμενοι, τῇ Χριστοῦ ἀγάπῃ Πανάριθμοι, ὑφαπτομένης τῆς πυρᾶς, οὐδαμῶς ἐπτοήθητε. ἀλλ᾽ ἐν ταύτῃ τελειούμενοι, ὑφ᾽ ἓν ἐδοξάσθητε.

Ζώσῃ φωνῇ Θεὸν κηρύττοντες, ἀπειλὰς ἀθέων οὐκ ἔπτηξαν. ἀλλὰ τῶν παίδων τὴν φωνὴν, ὁμοφρόνως κραυγάζοντες, οἱ Πανάριθμοι ὁπλῖται, τοῦ Χριστοῦ τελειούμενοι.

Οὐ δειλιῶμεν πῦρ ὁμόδουλον, οἱ γενναῖοι ἅμα ἐκραύγαζον. ἀγαλλομένη δὲ ψυχὴ, διὰ σὲ θανατούμεθα, τὸν θανόντα, καὶ τὸν θάνατον, Σωτὴρ καταργήσαντα.

Θεοτοκίον.

Ἵνα θεώσῃ τὸ ἀνθρώπινον, ὁ Θεὸς ἐγένετο ἄνθρωπος, ἐκ σοῦ Παρθένε τῆς Ἁγνῆς, ὑπὲρ λόγον καὶ ἔννοιαν. διὰ τοῦτό σε συμφώνως, οἱ πιστοὶ μακαρίζομεν.

κάθ. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Στρατὸς ἐν ἀριθμῷ, Δισμυρίων Μαρτύρων, τιμώμενος ἡμῖν, ἀνατέλλει φωτίζων, καρδίας καὶ νοήματα, εὐσεβῶν διὰ πίστεως. διαφθείραντες γὰρ, θεία στοργῇ τοῦ Δεσπότου, τέλος ἅγιον, διὰ πυρὸς οἱ γενναῖοι, προθύμως ἐδέξαντο.

Δόξα, καὶ νῦν. τῆς ἑορτῆς. Ὅμοιον.

Ἐν φάτνῃ δι᾽ ἡμᾶς, τῶν ἀλόγων ἐτέθης, μακρόθυμε Σωτὴρ, νηπιάσας βουλήσει. Ποιμένες δέ σε ὕμνησαν, μετ᾽ Ἀγγέλων κραυγάζοντες, δόξα αἴνεσις, τῷ ἐπὶ γῆς γεννηθέντι, καὶ ὑψώσαντι, τῶν γηγενῶν τὴν οὐσίαν, Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Ἐν τῷ πόθῳ προσεδέσαν, καρδίας Λόγε οἱ Ἀθλοφόροι, ἕνεκά σου θανατούμενοι, ὡς ἀρνία ἄμωμα. μιμηταὶ τοῦ πάθους σου ὤφθησαν.

Κυβερνήσαντες Ἅγιοι, πρὸς τὸν λιμένα τῆς σωτηρίας, τὰς ψυχὰς ὑμῶν ἐν Πνεύματι, ζάλην διεφύγετε, εἰδωλομανίας Μακάριοι.

Ἀπερίτρεπτοι ὤφθητε, ἐν τῷ ἀγῶνι τῆς μαρτυρίας, ἀκατάσεισοι ἀπτόητοι, διωκτῶν τὴν ἔντασιν, τῇ ἐνθέῳ πίστει νικήσαντες.

Θεοτοκίον.

Λυτρωθέντες τῷ τόκῳ σου, Εὐλογημένη, τῆς πρὶν κατάρας, εὐλογίαν ἀπειλήφαμεν, καὶ ζωὴν καὶ λύτρωσιν, οἱ σὲ Θεοτόκον δοξάζοντες.

Ὠδὴ ε΄. Τὸ φαεινόν ἡμῖν ἐξαπόστειλον.

Λαμπροφανῶς ἡ μνήμη ἐπέλαμψε, τῶν Ἀθλοφόρων σου, καὶ ἐφώτισε τῆς γῆς τὰ πέρατα, ταῖς τῶν θαυμάτων, θείαις διαδόσεσι, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἱερουργοὶ θυσίαν προσάγοντες, θύματα τέλεια, προσηνέχθησαν ὁλοκαυτούμενοι, σὺν πᾶσιν ἄλλοις, πλείοσι Συμμάρτυσι, Χριστὸν μεγαλύνοντες.

Ναοὶ Θεοῦ ὑπάρχοντες Ἅγιοι, μετὰ βαπτίσματος, τέλος ἅγιον ὁμοῦ ἐδέξασθε, ἐν οἴκῳ θείῳ, καὶ πρὸς ἐπουράνιον, Ναὸν ἀπηνέχθητε.

Θεοτοκίον.

Ἵνα Θεὸς τοῖς ἄνω συνάψῃ σε, τοὺς ὀλισθήσαντας, παραβάσεως εἰς μέγα βάραθρον, τὴν σὴν γαστέρα ᾤκησε Πανάχραντε, καὶ σὰρξ ἐχρημάτισεν.

Digitized by Google

Ὠδὴ ϛ'. Τὸν Προφήτην Ἰωνᾶν.

Κορυφαῖος ἱερῶν, ἐχρημάτισας λαῶν, καὶ προέπεμψας αὐτὸν, ἐν χαρᾷ πρὸς Οὐρανόν. ἀθλήσαντα, Ἱερομάρτυς, Ἄνθιμε Ὅσιε.

Ὡς χρυσίον καθαρὸν, ἀναμέσον τοῦ πυρὸς, ἡ εὐσέβεια ὑμῶν, Ἀθληταὶ τοῦ Ἰησοῦ, ἐγνώρισται, ἡλίου πλέον ἐναπαστράπτουσα.

Νεκρωθέντες τῇ σαρκὶ, τὴν ζωὴν τὴν ἀληθῆ. ἐκληρώσασθε σοφοὶ, συνυπάρχοντες Χριστῷ, τῷ δείξαντι, δυνατωτέρους ὑμᾶς κολάσεων. Θεοτοκίον.

Μετὰ τόκον ἀληθῶς, ὡς πρὸ τόκου Μαριὰμ, τῇ δυνάμει τοῦ ἐκ σοῦ, σαρκωθέντος Ἰησοῦ, διέμεινας, Παρθένος ἄμωμος, θαῦμα παράδοξον.

Τῷ αὐτῷ Μηνὶ, ΚΗ'. Τῶν Ἁγίων Δισμυρίων τῶν ἐν Νικομηδείᾳ καέντων,

Στίχ. Ὡς προσφοραί σοι Σῶτερ ἐξωπτημέναι,
Οἱ Δισμύριοι τοῦ ναοῦ κεῖνται μέσον.

Ἀμέρας ὀγδοάτῃ κτάνεν εἰκάδι Δισμυρίους πῦρ.

Τοῦ βασιλέως Μαξιμιανοῦ μετὰ νίκης ὑποστρέψαντος ἐκ τοῦ κατὰ τῶν Αἰθιόπων πολέμου, καὶ βουλομένου ἐπινίκια θῦσαι τοῖς Εἰδώλοις, γράμματα ἐπέμφθησαν πανταχοῦ, συνελθεῖν προστεταγμένα ἅπαντας ἐν Νικομηδείᾳ, εἰς προσκύνησιν τῶν παρ' ἐκείνῳ θεῶν. Ὁ δὲ Ἅγιος Ἄνθιμος, Ἐπίσκοπος ὢν τῆς τοιαύτης Πόλεως, συναθροίσας ἐν τῇ ὑπ' αὐτὸν Ἐκκλησίᾳ τὸν τοῦ Χριστοῦ λαὸν, ἦν γὰρ ἑορτὴ τηνικαῦτα τῆς Χριστοῦ γεννήσεως, συνεώρταζεν αὐτοῖς, καὶ ἐδίδασκε τὴν ἀληθινὴν πίστιν. μαθὼν δὲ τοῦτο ὁ Μαξιμιανὸς, προσέταξε κύκλῳ τῆς Ἐκκλησίας τεθῆναι φρύγανα, καὶ ἐξαφθῆναι, καὶ κατακαῆναι τοὺς Χριστιανούς. ὅπερ γνοὺς ὁ Ἐπίσκοπος, σπεύσας καὶ βαπτίσας τοὺς κατηχουμένους, τὴν θείαν ἱερουργίαν ἐπετέλεσε, καὶ μετέδωκεν ἅπασι τοῖς Χριστιανοῖς τῶν Θείων καὶ ἀχράντων μυστηρίων. καὶ οὕτως ἀναφθέντων τῶν φρυγάνων, ἐτελειώθησαν ἅπαντες. ὁ δὲ Ἅγιος Ἄνθιμος διεφυλάχθη Θεοῦ χάριτι, ἵνα καὶ ἑτέρους ὠφελήσας, καὶ διὰ βαπτίσματα προσαγαγὼν τῷ Χριστῷ, διὰ πολλῶν βασάνων πρὸς αὐτὸν μεταστῇ, τὴν τῶν Οὐρανῶν βασιλείαν ἀποληψόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων, τῶν ἀπὸ τῆς συγκλήτου. ἔξω διὰ τῆς πυρᾶς ἀπολειφθέντων, καὶ τελειωθέντων.

Ὁ Ἅγιος Ἴνδης, ἐν τῇ Θαλάσσῃ τελειοῦται.

Στίχ. Ἴνδην ἀκούω τοῦ βίου λαβεῖν πέρας,
Ἄκρον καταντήσαντα πρὸς βυθοῦ πέρας.

Ὁ Ἅγιος Γοργόνιος καὶ Πέτρος, ἐν τῇ θαλάσσῃ τελειοῦνται.

Στίχ. Πόντος καλύπτει Γοργόνιον καὶ Πέτρον,
Μνήμη δὲ τούτων, οὐ καλύπτεται χρόνῳ.

Ὁ Ἅγιος Μάρτυς Ζήνων, ξίφει τελειοῦται.

Στίχ. Ζήνων κεφαλὴν τέμνεται διὰ ξίφους.
Μὴ προσκυνεῖν ἄγαλμα τοῦ Ζηνὸς θέλων.

Ὁ Ἅγιος Μάρτυς Μαρδόνιος, πυρὶ τελειοῦται.

Στίχ. Καὶ Μαρδόνιον Μαρτύρων ἔγνων ἕνα.
Στέργοντα Χριστὸν, καὶ στέγοντα πῦρ φλέγον.

Ὁ Ἅγιος Δωρόθεος ὁ Πρεπόσιτος, ξίφει τελειοῦται.

Στίχ. Ὁ Δωρόθεος τὴν κεφαλὴν μου λέγει,
Δῶρον κομίζω τῷ Θεῷ τετμημένην.

Ὁ Ἅγιος Θεόφιλος ὁ Διάκονος λιθοβοληθεὶς τελειοῦται.

Στίχ. Ἀπόγραφε βληθέντα συχνοῖς τοῖς λίθοις,
Καὶ Θεόφιλον συλλόγῳ Θεοῦ φίλον.

Μετὰ τὸ ἀποφήνασθαι τὸν μιαρὸν Μαξιμιανὸν, τοῦ καῦσαι τοὺς Ἁγίους δισμυρίους ἐν τῇ Ἐκκλησίᾳ, ἐκέλευσε καὶ τοὺς ἔξω τῆς πυρᾶς καὶ τῆς Ἐκκλησίας ὑπολειφθέντας Χριστιανοὺς φονευθῆναι. φονεύεται δὲ ὁ Ἅγιος Ἴνδης, καὶ Γοργόνιος, καὶ Πέτρος, λίθοις προσδεθέντες, καὶ ἐν θαλάσσῃ ῥιφέντες. ὁ δὲ Στρατηγὸς Ζήνων, συντριβεὶς τὴν ὄψιν καὶ τοὺς ὀδόντας μετὰ λίθων, σὺν Δωροθέῳ τῷ Πρεποσίτῳ, τὴν κεφαλὴν ἀποτέμνονται. Μαρδόνιος πυρὶ φλέγεται. Μυγδόνιος εἰς βόθρον ἐμβάλλεται.


Digitized by Google

Γλυκέριος ὁ Πρεσβύτερος, πυρὶ τελειοῦται. Θεόφιλος ὁ Διάκονος, τὴν γλῶσσαν τμηθεὶς, ἐν τῷ κάμπῳ λιθοβολεῖται. καὶ ἕτεροι πολλοὶ κατ᾽ ἐκείνην τὴν ἡμέραν, τὸν τῆς μαρτυρίας ἐδέξαντο στέφανον. τούτων πάντων τὰ Ἅγια Λείψανα, ἡ Ἁγία Δόμνα συναγαγοῦσα, ἐνεταφίασεν, εἶτα ἐν πλοίῳ ἐνθεῖσα, καὶ ἐν ἐπιτηδείῳ κρύψασα τόπῳ, διεβλήθη τῷ Μαξιμιανῷ, καὶ τῇ προστάξει ἐκείνου, πρῶτον μὲν ἀπετμήθη τὴν κεφαλὴν, εἶτα πυρὶ κατακαίεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Μυγδόνιος βόθρῳ, ἐγχωσθεὶς τελειοῦται.

Στίχ. Κἂν ἐγχωννύηται Μυγδόνιος ἐν βόθρῳ,
Ἐγνωσμένος τοῖς πᾶσι Μάρτυς τυγχάνει.

Ὁ Ἅγιος Γλυκέριος Πρεσβύτερος, πυρὶ τελειοῦται.

Στ. Ὁ Γλυκέριος εἰς τὸ πῦρ βεβλημένος,
Ἔφη γλυκύς μοι τῆς τελευτῆς ὁ τρόπος.

Ἡ Ἁγία Δόμνα ξίφει τμηθεῖσα, τῷ πυρὶ τελειοῦται.

Στίχ. Ἕκτην συνάπτω, ταῖς φρονίμοις Παρθένοις·
Τὴν ψαλδόμωρον Δόμναν ἐκτετμημένην.

Ἡ ἁγία Μάρτυς Δόμνα, ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ, ἐν Πόλει Νικομηδείας, ἱέρεια τοῦ ἐν τῷ παλατίῳ Δωδεκαθέου. ἐντυχοῦσα δὲ ταῖς πράξεσι τῶν Ἁγίων Ἀποστόλων, καὶ ταῖς Ἐπιστολαῖς τοῦ Ἁγίου Παύλου, καὶ παρ᾽ αὐτῶν τὴν ψυχὴν φωτισθεῖσα, καὶ τὴν ἀληθινὴν πίστιν μαθοῦσα, ἐπίστευσε τῷ Χριστῷ, καὶ βαπτίζεται παρὰ Κυρίλλου Ἐπισκόπου Νικομηδείας, ἅμα τῷ Εὐνούχῳ Ἰνδῃ, καὶ ἄλλοις πολλοῖς· καὶ ἀπὸ τότε εἴτι ἐλάμβανεν ἀπὸ τοῦ παλατίου, ἐδίδου τοῖς πτωχοῖς. Διαγνωσθεῖσα δὲ παρὰ τοῦ Ἀρχιευνούχου, καὶ μέλλουσα τιμωρεῖσθαι, προεφασίσατο παραφροσύνην, καὶ ἀπεστάλη εἰς τὸν Ἐπίσκοπον, ἵνα θεραπευθῇ· καὶ ἦν μετὰ τῶν Χριστιανῶν. ὁ δὲ Μαξιμιανὸς ὑποστρέψας ἀπὸ τοῦ ταξιδίου, ἐζήτει τὴν Δόμναν· καὶ μὴ εὑρὼν ἐπικράνθη. καὶ προσέταξεν ἀποθανεῖν πάντας τοὺς Χριστιανούς· ὃ καὶ γέγονεν. τότε ἡ Ἁγία Δόμνα, ἀνελαμβάνετο τὰ τῶν Ἁγίων Λείψανα, καὶ ἔθαπτε. καὶ γνωσθεῖσα, ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Νικάνωρ ὁ Ἀπόστολος ἐν εἰρήνῃ τελειοῦται.

Στ. Τὸ δίκτυόν σου Νικάνορ Θεοῦ λόγῳ.
Πολλοὺς ἀγρεύσαν, ἔρρυη τέλει βίου.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ παῖδάς σου Σωτήρ.

Ἀποσκοποῦντες μόνα τὰ ἐκεῖ, Μακάριοι μένοντα, δυνάμει Θεϊκῇ, ὥσπερ οἱ τρεῖς ἐν Βαβυλῶνι θεῖοι Παῖδες, τοῦ πυρὸς ἀνώτεροι, ὤφθητε θείῳ φωτὶ, καταλαμπόμενοι.

Ῥῆμα Τυράννου ἄλογον σοφοὶ, φαυλίσαντες, σὺν ἱερωτάταις γυναιξὶ, καὶ κομιδῇ ὡς ἀληθῶς, θείοις νηπίοις, προσφοραὶ ὁλόκληροι, τῷ Βασιλεῖ τοῦ παντὸς προσανηνέχθητε.

Τὸν φωτισμὸν τῆς γνώσεως Χριστοῦ, προσφέροντες, ἔνδον ἐν ψυχῇ παρέλαβες, τὸ σκοτεινὸν τῆς ἀθείας νέφος ὄντως, Ἀθληταὶ διήλθετε, καὶ εἰς αἰώνιον φῶς, μετεβιβάσθητε.

Θεοτοκίον.

Ὑψηλοτέρα ὤφθης οὐρανῶν κυήσασα, πάντων τὸν Δεσπότην καὶ Θεόν· ὃν ἐκτενῶς, καθικετεύουσα μὴ παύσῃ, Παναγία ἅγνευτε σῶσαι, τοὺς πίστει θερμῇ δοξολογοῦντάς σε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

„Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ, διασώσαντα παῖδας, καὶ τὴν βροντόφλογον κάμινον, μεταβαλόντα εἰς δρόσον, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ῥέουσιν ἐνθέου εὐωδίας, ἰαμάτων τὰ μύρα, Μαρτύρων τὰ λείψανα· καὶ παθῶν δυσωδίαν ξηραίνουσι, τῶν πίστει ἀνυμνολογούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὤφθητε ὡς ῥόδα Ἀθλοφόροι, ὡραιότατα μέσον, περιχεόμενα τοῦ πυρὸς, καὶ προθύμως ἐκράζετε· ὑμνεῖτε καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.



Digitized by Google

Νεανίσκοι ἅμα καὶ Παρθένοι, καὶ πρεσβῦται καὶ νέοι, Ἅγια Νήπια, γυναικῶν τε πλῆθος ἀναρίθμητον, τῆς ἄνω ἐτύχον χορείας, ὁμοῦ ἐναθληκότες.

Θεοτοκίον.

Ἰεζεκιὴλ σε πύλην βλέπει, κεκλεισμένην Παρθένε. δι' ἧς διώδευσεν, Ἰησοῦς, ὁ σκηνώσας ἐν μήτρᾳ σου, καὶ σάρκα ἐκ τῶν σῶν αἱμάτων, φορέσας ἀσυγχύτως.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Ὡς ἐθελόθυτοι ἄρνες, ὁλοκαυτώθητε ἅμα, καὶ ὡς θυσία καθαρὰ, τῷ τυθέντι Δεσπότῃ, ὑπὲρ ἡμῶν τῶν γηγενῶν, καλλίνικοι Μάρτυρες, προσήχθητε, καὶ στεφάνους τῆς νίκης, ἐπαξίως, ἐκομίσασθε ὁμοῦ.

Σὺν τοῖς Ἁγίοις Προφήταις, σὺν τοῖς σεπτοῖς Ἀποστόλοις, σὺν τοῖς χοροῖς τῶν ἐκλεκτῶν, καὶ Ἁγίοις Ἀγγέλοις, πλῆθος Μαρτύρων εὐκλεῶν, Κυρίῳ δεήθητε, τοῦ σώζεσθαι, πειρασμῶν καὶ κινδύνων, τοὺς ἐν πίστει, μακαρίζοντας ὑμᾶς.

Ἡλιακῶν λαμπηδόνων, ἡ ἱερὰ ὑμῶν μνήμη, πλέον ἐκλάμπει Ἀθληταὶ, τῶν δαιμόνων τὸ σκότος, ἀποδιώκουσα ἀεὶ, καὶ πάντας φωτίζουσα, Πανεύφημοι, τοὺς ἐν πίστει καὶ πόθῳ, καταχρέως, μακαρίζοντας ὑμᾶς.

Θεοτοκίον.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, τὸ ἐκ Πατρὸς ἀναλάμψαν, τὴν σκοτισθεῖσάν μου ψυχὴν, ταῖς ἀπάταις τοῦ βίου, καὶ γεγονυῖαν τῶν ἐχθρῶν, Παναμώμε παίγνιον, οἰκτείρησον, καὶ φωτὶ μετανοίας, σωτηρίου, καταξίωσον Ἁγνή.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Πληθὺς Μαρτύρων πάντιμε, καὶ φάλαγξ θεοσύλλεκτε, τῶν δισμυρίων Ἁγίων, τὸν ἐκ Παρθένου τεχθέντα, Θεὸν ἐκδυσωπήσατε, ῥυσθῆναι πάσης θλίψεως, τοὺς νῦν ὑμᾶς γεραίροντας, καὶ τὴν λαμπρὰν ἐκτελοῦντας, καὶ πάμφωτον ὑμῶν μνήμην.

Τῆς Ἑορτῆς.

Εἰκόνος ἧς μετέλαβον, θεουργικῶς τῆς κρείττονος, ἐξώσθην οἴμοι ὁ τλήμων, δι' ἀκρασίας τῆς πάλαι. σὺ δὲ Χριστὲ ὡς εὔσπλαγχνος, ἀῤῥήτως κοινωνήσας μοι, τοῦ χείρονος μετείληφας, καινοποιήσας Σωτήρ με, Παρθενικῶν τῶν αἱμάτων.

Εἰς τοὺς αἴνους, Στ. προσόμοια. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Τῆς οἰκείας χρηστότητος, ὁ Δεσπότης βουλόμενος, τοῖς ἀνθρώποις τὸν πλοῦτον ὁ φιλάνθρωπος, καθυποδεῖξαι τὸ φύραμα, τὸ τούτων ἀνέλαβες, καὶ ἐτέχθης ἐν σαρκὶ, καὶ τὸ σπήλαιον ᾤκησας, ἵνα ἅπαντας, οὐρανίους ποιήσῃς ἀνυψώσας, τοὺς αἰνοῦντας καὶ ὑμνοῦντας, τὴν σὴν ἀνέκφραστον γέννησιν.

Τῇ δυνάμει νευρούμενοι, καὶ στεῤῥῶς κρατυνόμενοι, καὶ ἐνισχυόμενοι τοῦ Παντάνακτος, ἐν ἀσθενείᾳ τῆς φύσεως, ἀήττητοι Μάρτυρες, τὸν ἀρχέκακον ἐχθρὸν, κραταιῶς ἐνικήσατε, καὶ πρεσβεύετε, δωρηθῆναι τῷ Κόσμῳ, τὴν εἰρήνην, καὶ πιστοῖς τὴν σωτηρίαν, ὡς ἀντιλήπτορες μέγιστοι.

Ἐν τοῖς λόγοις Φιλόθεος, καὶ ἐν ἔργοις Δωρόθεος, καὶ θεῖος Μαρδόνιος, καὶ Γοργόνιος, σὺν τῷ Σεκούνδῳ καὶ Πέτρῳ τε, καὶ Ἰνδὴ ᾐρίστευσαν, καὶ ἐχθροῦ παρεμβολὰς, ἐτροπώσαντο χαίροντες, καὶ πρεσβεύουσιν, ἐκ παντοίων κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν σεπτὴν αὐτῶν πανήγυριν.

Δόξα, καὶ νῦν, Ἦχος Πλ. α'.

Ἰωάννου Μοναχοῦ.

Τὸ ἀκατάληπτον τὸ τελούμενον, ἐν Βηθλεὲμ σήμερον μυστήριον. ὁ ἀόρατος ὁρᾶται. ὁ ἄσαρκος σαρκοῦται. ὁ Λόγος παχύνεται. καὶ ὁ ὢν γίνεται, ὃ οὐκ ἦν. Παρθένος τίκτει ἐν σπηλαίῳ, βρέφος νέον τὸν Πλάστην τῆς φύσεως. φάτνη ἐκτυποῦται, εἰς θρόνον ἐπουράνιον. κτήνη ἀπεικάζει, Χερουβικὴν παράστασιν. Ποιμένες θαυμάζουσι. Μάγοι δῶρα προσφέρουσιν. Ἄγγελοι ἀνυμνοῦντες λέγουσι. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐν ἀνθρώποις γὰρ εὐδόκησεν ἀναλλοιώτως ὁ Ἐμμανουήλ.

Εἰς τὸν στ. στ. προσ. τῆς ἑορτῆς. Ἦχος πλ. β'.

Αἱ Ἀγγελικαί.

Ἄγει ἑορτὴν, ἐν χαρᾷ πᾶσα ἡ Κτίσις. καὶ οἱ οὐρανοὶ, σὺν ἡμῖν ἀγαλλιῶνται.



Digitized by Google

ἐν φάτνῃ γὰρ ὁ Κτίστης, ἐκ Παρθένου σαρκούμενος, καὶ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, βρέφος μικρὸν ὡράθη παραδόξως, πρὸς ὃν εἴπωμεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Νέον δι᾽ ἡμᾶς, Ἰησοῦ ὤφθης παιδίον. ὁ ἐκ τοῦ Πατρὸς, πρὸ αἰώνων ἀνατείλας. παλαιωθέντας πάλαι, παραβάσει βουλόμενος, πάντας καινουργῆσαι τοὺς ἀνθρώπους. διό σοι πάντες εὐχαρίστως, ἀεὶ κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Ὑμνήσατε Χριστὸν, ἐκ Παρθένου προελθόντα, ὄρη καὶ βουνοὶ, καὶ κοιλάδες καὶ πεδία. ἀστὴρ δὲ τοῦτον Μάγοις, οὐρανόθεν ὑπέδειξε, κείμενον ὡς βρέφος ἐν σπηλαίῳ, σάρκα δουλικὴν ἠμφιεσμένον, πρὸς ὃν κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι. Δόξα. Ὅμοιον.

Τίς σου ἡ πολλὴ, καὶ ἀνείκαστος πτωχεία, δι᾽ ἧς ὁ Ἀδὰμ, κατεπλούτησε τὰ θεῖα; ἐβόα ἡ Παρθένος, ἐν ἀγκάλαις κατέχουσα, τὸν Ἐμμανουὴλ Θεὸν καὶ Κτίστην, σάρκα ἐξ αὐτῆς ἀνειληφότα, πρὸς ὃν κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι. Καὶ νῦν. Ὅμοιον.

Παιδίον ὁ πρώην, Βασιλεὺς ὁ τῶν αἰώνων, ἐτέχθη ἐκ νῶν, καὶ Υἱὸς ἡμῖν ἐδόθη. ἀκούσατε τὰ Ἔθνη, Ἰσραὴλ φωτίσθητι. γνῶτε, καὶ ἡττᾶσθε μεθ᾽ ἡμῶν γάρ, ὃς λεπτυνεῖ καὶ ἐκλικμήσει, ἐκ γῆς ἅπασαν, καὶ βασιλείαν καὶ ἀρχὴν, αὐτῷ μὴ ὑπείκουσαν.

Ἡ λοιπὴ ἀκολουθία τοῦ ὄρθρου, ὡς συνήθως, καὶ ἀπόλυσις.

---

Τῷ αὐτῷ Μηνὶ, ΚΘ΄.

Τῶν Ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων, ὧν ὁ ἀριθμὸς, χιλιάδες, ιδ΄. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου τῆς Μονῆς τῶν Ἀκοιμήτων. Ἑσπέρας, Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν προσόμ. τῶν Ἁγίων Νηπίων. Ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Θησαυρὸν τὸν κρυπτόμενον, ἐκζητῶν ὁ παράνομος, τοὺς ἀκάκους σήμερον, παῖδας ἔθυσε. καὶ ἡ Ῥαχὴλ ἀπαράκλητος, ὑπῆρχε τὴν ἄδικον, κατανοήσασα σφαγὴν, καὶ τὸν ἄωρον θάνατον, οὓς ἐθρήνησε, δονουμένη τὰ σπλάγχνα, ἀλλὰ τούτους, ἐπευφραίνεται ἐν κόλποις, τοῦ Ἀβραὰμ ἄρτι βλέπουσα.

Βασιλέα τὸν ἄχρονον, ὑπὸ χρόνον γενόμενον, βασιλεὺς παράνομος ἐπεζήτησε, καὶ μὴ εὑρὼν ἀνελεῖν αὐτὸν, τῶν παίδων ἐθέρισεν, ἀπειρόκακον πλῆθος, καὶ εἰργάσατο Μάρτυρας, ὡς οὐκ ᾤετο, καὶ πολίτας τῆς ἄνω βασιλείας, τὴν αὐτοῦ εἰς τοὺς αἰῶνας, παραφροσύνην ἐλέγχοντας.

Ἐκ Παρθένου τεχθέντος σου, προαιώνιε Κύριε, καὶ δι᾽ ἀγαθότητα νηπιάσαντος, χορὸς νηπίων προσάγεται, Μαρτύρων ἐν αἵματι, τὴν ἀθόλωτον ψυχὴν, λαμπρυνθεὶς δικαιότατα. οὓς κατῴκησας, εἰς Μονὰς ἀειζώους, τὴν Ἡρῴδου, στηλιτεύοντας κακίαν, καὶ ὠμοτάτην παράνοιαν.

Ἕτερα Στιχηρὰ τοῦ Ὁσίου. Ὅμοια.

Ἐγκρατείας ὑπόδειγμα, ἀνεδείχθης τοῖς μονάζουσι, θεοφόρε Μάρκελλε καὶ ἀσκήσεως· ὑπογραμμὸς τελειώσεως· στῦλος ἐπαιρόμενος, ἀπὸ γῆς πρὸς οὐρανόν· καὶ ἁγνείας συνόμιλος, ἡσυχίας τε, ἀληθὴς ὄντως φύλαξ, καὶ ἀνδρείας· στήλη ἔμψυχος κα[illegible], πρὸς ἀρετὴν ἀκριβέστατος. Ὅμοιον.

Θεωρίας τῆς κρείττονος, ἐπιβὰς Πάτερ Μάρκελλε, τὰ γεώδη ἅπαντα καὶ ἐπίκηρα, καὶ περιὼν ἐν τῷ σώματι, παρεῖδες καὶ ἄϋλον, πολιτείαν ἐπὶ γῆς, ἐπ[illegible] δοξάζων Χριστόν. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Τὴν ψυχὴν καὶ τὸ σῶμά σου, ταῖς ἐνθέοις ἐπτέρωσας, ἀρεταῖς ὦ Μάρκελλε καὶ συνόμιλος, τῶν Ἀσωμάτων γεγένησαι, ὑμνῶν ἀμέτοχος, [illegible] τερπνῶν, διὰ πόθον τοῦ Κτίστου σου. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα,

Digitized by Google

Δόξα. ἰδιόμελον τῶν Ἁγίων. Ἦχος πλ. δ'.
Ἀνδρέου Κρήτης.

Ἡρώδης ὁ παράνομος, θεωρῶν τὸν ἀστέρα, ὑπὲρ πᾶσαν Κτίσιν λαμπρότερον, ἐταράττετο. καὶ γαλακτοτροφούμενα βρέφη, ἐξ ἀγκαλῶν μητρικῶν ἀφήρπαζεν. ἡ δὲ Ἐλισάβετ, λαβοῦσα τὸν Ἰωάννην, πέτραν παρακαλεῖ, δέξαι Μητέρα μετὰ τέκνου. ὄρος ἐδέξατο τὸν Πρόδρομον. φάτνη ἐφύλαττε τὸν Θησαυρόν, ὃν ἀστὴρ ἐμήνυσε. Μάγοι προσεκύνουν. Κύριε δόξα σοι.

Καὶ νῦν. ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Παραδοξομένης ἠρίον, οἰκονομεῖται σήμερον, καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται. ὅπερ ἦν, μεμένηκε. καὶ ὃ οὐκ ἦν προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Ἀπολ. τὸ προσόμ. τῆς ἑορτῆς. Ἦχος πλ. β'.

Τριήμερος ἀνέστης Χριστέ.

Μυστήριον φρικῶδες ὁρῶ. Θεὸς γὰρ ὁ κατέχων δρακί, πᾶσαν Κτίσιν, περιέχεται σαρκί, ἐν φάτνῃ τῶν ἀλόγων, καὶ ῥάκει σπαργανοῦται, ὁ σπαργανῶν ὁμίχλῃ θάλασσαν.

Στ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ὁ ἄσαρκος σαρκοῦται Θεός, καὶ ἄρχεται ὁ ἄναρχος, καὶ ὁ πλήρης, νῦν κενοῦται ἐν σμικρῷ σπηλαίῳ ἐκ Παρθένου, καὶ βρέφος γαλουχεῖται, ὁ διατρέφων πνοιῇ ἅπασαν.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Σκιρτῶσι τῇ γεννήσει Χριστοῦ, Ποιμένες καὶ δοξάζουσι, σὺν Ἀγγέλοις, καὶ ἀστὴρ δορυφορεῖ, καὶ Μάγοι προσκυνοῦσι. καὶ ἄνθρωποι σωθέντες, τὴν Θεοτόκον μεγαλύνουσι.

Δόξα. τῶν Ἁγίων. Ἦχος πλ. δ'.
Ἀνδρέου Κρήτης.

Τοῦ Ἰησοῦ γεννηθέντος, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, τῶν Ἰουδαίων τὸ κράτος κατήργηται, σκιρτάτω τὰ νήπια, ὑπὲρ Χριστοῦ σφαττόμενα. Ἰουδαία ὀδυρέσθω. φωνὴ γὰρ ἠκούσθη ἐν Ῥαμᾷ, Ῥαχὴλ κλαίουσα, θρηνεῖ ὡς γέγραπται τὰ τέκνα αὐτῆς. βρέφη γὰρ Ἡρώδης, ἀνελὼν ὁ παράνομος, ἀπεπλήρου τὴν γραφήν, τὴν Ἰουδαίαν ἐμπιπλῶν ἀθώου αἵματος. καὶ γῆ μὲν ἐρυθραίνετο τοῖς τῶν νηπίων αἵμασιν, ἡ δὲ ἐξ Ἐθνῶν δὲ Ἐκκλησία, μυστικῶς ἁγνίζεται, καὶ στολὴν ἐνδύεται. ἦλθεν ἡ ἀλήθεια, ὁ Θεὸς ἐπέφανε, τοῖς ἐν σκιᾷ καθημένοις, ἐκ Παρθένου γεννηθείς, εἰς τὸ σῶσαι ἡμᾶς.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.
Ἰωάννου Μοναχοῦ.

Κύριε, ἐν Βηθλεὲμ παραγέγονας, ἐν τῷ σπηλαίῳ παρῴκησας. ὁ οὐρανὸν τὸν θρόνον ἔχων, ἐν φάτνῃ ἀνεκλίθης. ὃν στρατιαὶ κύκλῳ Ἀγγέλων, Ποιμέσι συγκατέβης, ἵνα σώσῃς ὡς εὔσπλαγχνος, τὸ γένος ἡμῶν δόξα σοι.

Ἀπολυτίκιον, τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ἦχος α'.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Καὶ τοῦ Ὁσίου. Ἦχος πλ. δ'.

Ἐν σοὶ Πάτερ ἀκριβῶς, διεσώθη τὸ κατ' εἰκόνα. λαβὼν γὰρ τὸν σταυρόν, ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττων ἐδίδασκες, ὑπερορᾶν μὲν σαρκός. παρέρχεται γάρ, ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου. διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, Ὅσιε Μάρκελλε τὸ πνεῦμά σου.

Καὶ τῆς ἑορτῆς. Εἰς τὸν Ὄρθρον. εἰς τὴν α'. στιχολ. κάθ. τῆς ἑορτῆς. Ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω Οὐρανός, γῆ εὐφραινέσθω, ὅτι ἐτέχθη ἐπὶ γῆς, ὁ ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ Κόσμῳ τὴν ἀπολύτρωσιν. ὁ Λόγος ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς Παρθένου ἄνευ σπορᾶς. ὃν οἱ Μάγοι ἐξίσταντο, ὁρῶντες ἐν τῇ Βηθλεέμ, τικτόμενον ὡς νήπιον, ὃν δοξάζει τὰ σύμπαντα.

Δόξα, καὶ νῦν. τὸ αὐτό.
Εἰς τὴν β'. στιχολ. κάθ. Ἦχος ὁ αὐτός.

Τὴν Σοφίαν καὶ Λόγον.

Οὐρανός μοι ἐφάνης σήμερον γῆ. ἐπὶ σοὶ γὰρ γεννᾶται ὁ Ποιητής, καὶ φάτνῃ ἀνακλίνεται, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, σὺν Ἀγγέλοις ὑμνοῦσι, καὶ Ποιμένες ἀπαύστως, ἐν ὑψίστοις δόξα, εἰρήνη τῷ Κόσμῳ τε. εἶδον

Digitized by Google

τὸν ἀστέρα, ὁδοιποροῦντα οἱ Μάγοι, ὀξέως τε προσέτρεχον, τοῦ προσάξαι τὰ δῶρα, αὐτῷ χρυσὸν σμύρναν καὶ λίβανον, ὡς πάντων ὑπάρχοντι Θεῷ, καὶ Βασιλεῖ αἰωνίῳ, καὶ Κτίσῃ τοῦ παντὸς, ἐν σπηλαίῳ δι' οἶκτον, ἐπιφανέντι βροτοῖς.

Ὁ Κανὼν τῶν Ἁγίων Νηπίων, συνυφασμένος μετὰ τοῦ Ὁσίου.

Ὠδὴ α΄. Ἦχος Πλ. β΄.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Νεοποιεῖται ἡ Κτίσις καὶ ἡ βροτῶν, φύσις ἀναπλάττεται, ἐν σαρκὶ τοῦ Ποιητοῦ, πάντων ὑπὲρ ἔννοιαν Χριστοῦ, τικτομένου ἐξ ἁγνῆς, καὶ παναχράντου Μητρός.

Οἱ ποταμοὶ τῶν αἱμάτων τῶν ἀσεβῶν, παίδων τὴν ἀπόνοιαν, καὶ μανίαν νοητῶς, τοῦ Ἡρώδου ἔκλυσαν διὸ, ὑποβρύχιον αὐτοῦ, ὤφθη τὸ θέσπισμα.

Ἐκλεκτὴ ἐλεχὼν νεοφύτων ἡ τοῦ Χριστοῦ, Ἐκκλησία σήμερον, ὥσπερ ἄνθη εὐθαλῆ, δρεψαμένη αἵματα τερπνῶς, ἐφηδύνεται αὐτοῖς, καὶ ὡραΐζεται. Τοῦ Ὁσίου.

Γνῶσιν δεξάμενος Πάτερ παρὰ Θεοῦ, ἀληθῆ καὶ ἄπταιστον, ἐπεζήτησας αὐτὸν, διὰ βίου Μάρκελλε σεμνοῦ, καὶ ἐνθέοις ἀρεταῖς, ἐπεθεράπευσας. Θεοτοκίον.

Ἡ τῆς προτέρας κατάρας τῆς ἐν Ἐδέμ, λύτρωσιν ἐδέξατο, αὐτῇ τοῦ Λυτρωτοῦ, γεννηθέντος Ἄχραντε ἐκ σοῦ, καὶ καινίσαντος αὐτὴν, καὶ ἁγιάσαντος.

Ἕτερος Κανὼν, τῶν Ἁγίων Νηπίων.

Ὠδὴ α΄. Ἦχος Πλ. δ΄. Τὸν Ἰσραήλ.

Τῇ τῶν αἱμάτων ἐκχύσει, τὴν Χριστοῦ ἐκόσμησαν παῖδες οἱ πανεύφημοι, Ἐκκλησίαν σήμερον, τῇ πίστει διαλάμψαντες.

Ἡ τοῦ Ἡρώδου μανία, ἐμφανῶς ἐλέγχεται, ὑπὸ Νηπίων σήμερον, τῆς κακίας τὴν ἄνοιαν, ἀκάκως ἐστηλίτευσαν.

Διὰ παντὸς Θεοτόκε, τὸν ἐκ σοῦ ἱκέτευε ἀῤῥήτῳ λόγῳ σαρκωθέντα, πάσης περιστάσεως, λυτρώσασθαι τοὺς δούλους σου.

Ἕτερος Κανὼν, τοῦ Ὁσίου Μαρκέλλου.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἔχισας πέλαγος.

Βίον Οὐράνιον, ἐπὶ τῆς γῆς ἀναλαβὼν, καὶ τὰ τῆς γῆς ἅπαντα λιπὼν, τοῖς Ἀσωμάτοις συνήφθης. Καὶ τούτοις συναυλίζῃ, καὶ ἐντρυφᾷς θεωρίας αὐλου, καὶ χαρᾶς τῆς ἀϊδίου.

Πέλαγος Ὅσιε, τῶν ἀρετῶν ἀναδειχθεὶς, διὰ στενῆς ὁδεύσας ὁδοῦ, τὰς τῶν παθῶν ἐπιλύσεις, ξηράνας ἐγκρατείᾳ. Καὶ μὴ βραχεὶς ἁμαρτίαις, εἰσῆλθες εἰς ἀχείμαστον, λιμένα ζωῆς. Θεοτοκίον.

Θεῖον ὀχύρωμα, καὶ τεῖχος ἄῤῥηκτον Σεμνὴ, καὶ νοητὴν γέφυραν σαφῶς, καὶ ἀκαθαίρετον πύργον, καὶ ἄγκυραν καὶ σκέπην, δι' ἧς σωζόμεθα πάντες κινδύνων, Θεοτόκε σὲ γινώσκομεν ἀληθῶς.

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Νεφέλαι στάξατε ἐν γῇ, γλυκασμὸν εὐφροσύνης. ἐκ νεφέλης φωτὸς γὰρ, ἀνέτειλεν ὁ Χριστὸς, ἐν σπηλαίῳ σαρκικῶς, ὑπὲρ πᾶσαν, ἔννοιαν τικτόμενος.

Ἀπημφιάσατο τὴν πρὶν, τῶν ἀνθρώπων ἡ φύσις, ἀκοσμίαν καὶ κόσμον, περιέθετο τερπνὸν, τοῦ Κοσμήτορος αὐτῆς, ἐκ Παρθένου, σαρκὶ ἀνατείλαντος.

Τοῦ Ὁσίου.

Ῥωμαλαιότητι ψυχῆς, κατ' ἐχθρῶν μονομαχῶν, ὁ πλιαθεὶς Θεοφόρε, διέκοψας τὰς αὐτῶν, παρατάξεις κραταιῶς, καὶ τὴν νίκην, ἀνεδήσω Μάρκελλε.

Ἐκ τῶν ἀχράντων σου Ἁγνὴ, καὶ τιμίων αἱμάτων, σαρκωθεὶς ἀποῤῥήτως, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἀνεδείχθη ὡς Θεὸς, τῶν κτισμάτων, σὲ ἁπάντων Δέσποιναν.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.

Τιμήσωμεν ἅπαντες, τοὺς Ἀθλητὰς οἱ πιστοὶ ὡς συνήλικας, καὶ Μάρτυρας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ καθαιρετὰς Ἡρώδου, καὶ πίστεως ἔρεισμα, καὶ τεῖχος ἡμῶν ἄῤῥηκτον.

Εὐφραίνεται σήμερον, ἡ Ἐκκλησία μυστικῶς. τῶν γὰρ Νηπίων τῷ αἵματι, φαιδρῶς ὡραΐζεται, ὡς πορφύρᾳ καὶ βύσσῳ, ἀπαύστως δοξάζουσα, Χριστὸν τὸν νικητὴν καὶ Θεόν. Θεοτοκίον.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, Μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι ἡμᾶς.

Ἄλ-

Digitized by Google

Ἄλλος. Ὁ στερεῶν βροντήν.

Ἐν τῷ λειμῶνι Πάτερ τῶν ἀγώνων, ἐμφρόνως εἰσεληλυθας, καὶ τῶν ἀνθέων τῶν ἀρετῶν, τὰ ἐξαίρετα συλλέξας, ὡς σίμβλον τὴν καρδίαν σου. τῇ ἐγκρατείᾳ ἔδειξας.

Ἐν προστασίᾳ ὤφθης πενήτων, καὶ ἐν ἐλέῳ δόκιμος. ἐκ τῶν ἀσύλων γὰρ θησαυρῶν, τῆς καρδίας σου σκορπίσας, δικαιοσύνην μένουσαν, ἐτρύγησας Μάρκελλε.

Θεοτοκίον.

Ἐκ σοῦ Ἀπάτωρ ὤφθη ὁ Ἀμήτωρ, πρὸ τῶν αἰώνων Κύριος, καὶ πλαστουργεῖται ὑπερφυῶς, καὶ ἀνάπλασιν δωρεῖται, τῆς ἐξ Ἀδὰμ θεώσεως, Παρθένε ἀπειρόγαμε.

Κοντάκιον τῆς ἑορτῆς. εἶτα Κάθισμα. τῶν Ἁγίων Νηπίων. Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Τῷ τεχθέντι σήμερον, ἐκ τῆς Παρθένου, τῶν Νηπίων στράτευμα, ὡς Ποιητῇ καὶ Βασιλεῖ, δεκτὰ προσάγονται σφάγια, προτεθυμένα, Χριστῷ διὰ πίστεως.

Δόξα. τοῦ Ὁσίου. Ἦχος ὁ αὐτός.

Ταχὺ προκατάλαβε,

Ἁγνείας τοῖς ἄνθραξι, προκαθαρθεὶς τὴν ψυχὴν, σῶμα ἐστόμωσας, πρὸς ἀπαθείας ἰσχὺν, Πατὴρ ἡμῶν Μάρκελλε ὅθεν καὶ ἀνεδείχθης, ἐνδιαίτημα θεῖον, νόσους ἀποδιώκων, καὶ φωτίζων τοὺς πίστει, ἀεὶ προσερχομένους σοι, καὶ ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἐκμαθὼν, Ἡρώδης ἄναξ ὁ δεινός. ἐκζητῶν θυμομαχῶν, τὸν γεννηθέντα ἐπὶ γῆς, ἄνακτα νέον τὸν Χριστόν. καὶ δειλίᾳ καὶ φόβῳ πολλῷ συγχεθεὶς, στέλλει στρατιὰν, ἀνελεῖν ἐν θυμῷ, βρέφη Βηθλεὲμ νηπιάζοντα, συνανελεῖν πειρώμενος τὸν Κτίστην, δι' εὐσπλαγχνίαν πτωχεύσαντα. Παρθένου μήτρας, καὶ γὰρ προῆλθε, σῶσαι θέλων τὸ γένος ἡμῶν.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἰδοῦσαι Κύριε, τὴν ἐν σπηλαίῳ σου, συγκατάβασιν τάξεις Ἀγγελικαὶ, φόβῳ ἐξεπλάγησαν, καὶ διανύμνησαν Χριστὲ, τὸ ἀνείκαστόν σου ἔλεος.

Τὸ ξίφος ὤθησε, μανεὶς ὁ ἄνομος, καὶ παράφρων Ἡρώδης, καθ' ἑαυτοῦ, ἀνελεῖν πειρώμενος, τὸν Εὐεργέτην τοῦ παντὸς, καὶ ἀνώλεθρον θεότητι. Τοῦ Ὁσίου.

Οἱ πόνοι Ὅσιε, καὶ οἱ ἱδρῶτές σου, τῶν αἱμάτων τοῖς ῥείθροις τοῖς τῶν βρεφῶν, κεκραμένοι Μάρκελλε, τῷ γεννηθέντι ἐν σαρκὶ, δῶρα τίμια προσηνέχθησαν. Θεοτ.

Ὡραίαν κάλλεσι, ὑπεραστράπτουσαν, τοῦ Υἱοῦ σου ἀκτῖσιν οἱ τῶν ἐθνῶν, δορυφόροι Ἄχραντε, ἰδόντες θέαμα καινὸν, καὶ παράδοξον ἀνύμνησαν.

Ἄλλος. Εἰσακήκοα τὴν ἀκοήν.

Νῦν πεπλήρωται, ἡ Προφητεία Ἱερεμίου, τῶν Νηπίων τὴν τελείωσιν, τῇ ἐν Ῥαμᾷ προαγγέλλουσα.

Νῦν ἀγάλλεσθε, ἐν Παραδείσῳ ἅγιοι παῖδες, τὴν τελείωσιν δι' αἵματος. ὑπὲρ Χριστοῦ ἐνδεξάμενοι. Θεοτοκίον.

Μήτηρ Ἄχραντε, εὐλογημένη Ἁγνὴ Παρθένε, τοὺς ὑμνοῦντάς σε περίσωζε, ἀπὸ πάσης περιστάσεως.

Ἄλλος. Εἰσακήκοα ὁ Θεός.

Ἐπὶ πέτραν τῶν ἀρετῶν, τοὺς τῆς ψυχῆς σου ἐρείσας πόδας, τῶν δαιμόνων ὑπεσκέλισας, Πάτερ διαβήματα, καὶ εἰς ὁδὸν εἰρήνης κατηύθυνας. Θεοτ.

Ὡς τετράστομος τῆς Ἐδὲμ, ποταμιαία πηγὴ Παμμάκαρ, τὰ τῆς ποίμνης σου διέδραμε, λογικὰ ὀμβρήματα, τὴν οἰκουμένην πᾶσαν ἀρδεύοντα.

Θεὸν Λόγον ἐν τῇ γαστρὶ, συνειληφυῖα φρικώδη Λόγου, ὑπὲρ λόγον ἀπεκύησας, σαρκὶ Πανάμωμε. διό σε ὡς Θεοτόκον δοξάζομεν.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὑπερεκκέχυται ὁ κρατὴρ, ὁ τῆς εὐσπλαγχνίας σου Χριστὲ, εἰς τὰ ποιήματα ἅπαντα, καὶ ἀφθόνους ταῦτα, ἐλέους ἔπλησε, σαρκὶ ἐπιφανέντος, καὶ γεννηθέντος σου.

Θύματα ἄμωμα τῷ Χριστῷ, σήμερον προσηνέχθησαν ὁμοῦ, καὶ μυστικῶς ἀνηνέχθησαν, ὡς πυρὶ τῷ ξίφει ὁλοκαυτώματα, τὰ βρέφη καὶ τῶν θείων βραβείων ἔτυχον.

Digitized by Google

γὰρ ἀστέρα, ὁδοιποροῦντα οἱ Μάγοι, ὀξέως τε προέτρεχον, τοῦ προσάξαι τὰ δῶρα, αὐτῷ χρυσὸν σμύρναν καὶ λίβανον, ὡς πάντων ὑπάρχοντι Θεῷ, καὶ Βασιλεῖ αἰωνίῳ, καὶ Κτίσῃ τοῦ παντὸς, ἐν σπηλαίῳ δι᾽ οἶκτον, ἐπιφανέντι βροτοῖς.

Ὁ Κανὼν τῶν Ἁγίων Νηπίων, συνψωμενος μετὰ τοῦ Ὁσίου.

Ὠδὴ αʹ. Ἦχος Πλ. βʹ.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Νεοποιεῖται ἡ Κτίσις καὶ ἡ βροτῶν, φύσις ἀναπλάττεται, ἐν σαρκὶ τοῦ Ποιητοῦ, πάντων ὑπὲρ ἔννοιαν Χριστοῦ, τικτομένου ἐξ ἁγνῆς, καὶ παναχράντου Μητρός.

Οἱ ποταμοὶ τῶν αἱμάτων τῶν ἀσεβῶν, παίδων τὴν ἀπόνοιαν, καὶ μανίαν μοντῶς, τοῦ Ἡρώδου ἔκλυσαν διὸ, ὑποβρύχιον αὐτοῦ, ὤφθη τὸ θέσπισμα.

Ἐκ στελεχῶν νεοφύτων ἡ τοῦ Χριστοῦ, Ἐκκλησία σήμερον, ὥσπερ ἄνθη εὐθαλῆ, δρεψαμένη αἵματα τερπνῶς, ἐφηδύνεται αὐτοῖς, καὶ ὡραΐζεται. Τοῦ Ὁσίου.

Γνῶσιν δεξάμενος Πάτερ παρὰ Θεοῦ, ἀληθῆ καὶ ἄπταιστον, ἐπεζήτησας αὐτὸν, διὰ βίου Μάρκελλε σεμνοῦ, καὶ ἐνθέοις ἀρεταῖς, ἐπεθεράπευσας. Θεοτοκίον.

Ἡ γῆ τῆς προτέρας κατάρας τῆς ἐν Ἐδὲμ, λύτρωσιν ἐδέξατο, αὐτῇ τοῦ Λυτρωτοῦ, γεννηθέντος Ἄχραντε ἐκ σοῦ, καὶ καινίσαντος αὐτὴν, καὶ ἁγιάσαντος.

Ἕτερος Κανὼν, τῶν Ἁγίων Νηπίων.

Ὠδὴ αʹ. Ἦχος Πλ. δʹ. Τὸν Ἰσραήλ.

Τῇ τῶν αἱμάτων ἐκχύσει, τὴν Χριστοῦ ἐκόσμησαν παῖδες οἱ πανεύφημοι, Ἐκκλησίαν σήμερον, τῇ πίστει διαλάμψαντες.

Ἡ τοῦ Ἡρώδου μανία, ἐμφανῶς ἐλέγχεται, ὑπὸ Νηπίων σήμερον, τῆς κακίας γὰρ ἄνοιαν, ἀκάκως ἐστηλίτευσαν.

Διὰ παντὸς Θεοτόκε, τὸν ἐκ σοῦ ἱκέτευε ἀῤῥήτῳ λόγῳ σαρκωθέντα, πάσης περιστάσεως, λυτρώσασθαι τοὺς δούλους σου.

Ἕτερος Κανὼν, τοῦ Ὁσίου Μαρκέλλου.

Ὠδὴ αʹ. Ἦχος δʹ. Ἔσχισας πέλαγος.

Βίον Οὐράνιον, ἐπὶ τῆς γῆς ἀναλαβὼν, καὶ τὰ τῆς γῆς ἅπαντα λιπὼν, τοῖς Ἀσωμάτοις συνήφθης. Καὶ τούτοις συναυλίζῃ, καὶ ἐντρυφᾷς θεωρίας αὐλου, καὶ χαρᾶς τῆς ἀϊδίου.

Πέλαγος Ὅσιε, τῶν ἀρετῶν ἀναδειχθεὶς, διὰ στενῆς ὁδεύσας ὁδοῦ, τὰς τῶν παθῶν ἐπιλύσεις, ξηράνας ἐγκρατείᾳ. Καὶ μὴ βραχεῖς ἁμαρτίαις, εἰσῆλθες εἰς ἀχείμαστον, λιμένα ζωῆς. Θεοτοκίον.

Θεῖον ὀχύρωμα, καὶ τεῖχος ἄῤῥηκτον Σεμνὴ, καὶ νοητὴν γέφυραν σαφῶς, καὶ ἀκαθαίρετον πύργον, καὶ ἄγκυραν καὶ σκέπην, δι᾽ ἧς σωζόμεθα πάντες κινδύνων, Θεοτόκε σὲ γινώσκομεν ἀληθῶς.

Ὠδὴ γʹ. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Νεφέλαι στάξατε ἐν γῇ, γλυκασμὸν εὐφροσύνης. ἐκ νεφέλης φωτὸς γὰρ, ἀνέτειλεν ὁ Χριστὸς, ἐν σπηλαίῳ σαρκικῶς, ὑπὲρ πᾶσαν, ἔννοιαν τικτόμενος.

Ἠπημφιάσατο τὴν πρὶν, τῶν ἀνθρώπων ἡ φύσις, ἀκοσμίαν καὶ κόσμον, περιέθετο τερπνὸν, τοῦ Κοσμήτορος αὐτῆς, ἐκ Παρθένου, σαρκὶ ἀνατείλαντος.

Τοῦ Ὁσίου.

Ῥωμαλαιότητι ψυχῆς, κατ᾽ ἐχθρῶν νοουμένων, ὁ πλυθεὶς Θεοφόρε, διέκοψας τὰς αὐτῶν, παρατάξεις κραταιῶς, καὶ τὴν νίκην, ἀνέδησω Μάρκελλε.

Ἐκ τῶν ἀχράντων σου Ἁγνὴ, καὶ τιμίων αἱμάτων, σαρκωθεὶς ἀποῤῥήτως, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἀνέδειξεν ὡς Θεὸς, τῶν κτισμάτων, σὲ ἁπάντων Δέσποιναν.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.

Τιμήσωμεν ἅπαντες, τοὺς Ἀθλητὰς οἱ πιστοὶ ὡς συνήλικας, καὶ Μάρτυρας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ καθαιρετὰς Ἡρώδου, καὶ πίστεως ἔρεισμα, καὶ τεῖχος ἡμῶν ἄῤῥηκτον.

Εὐφραίνεται σήμερον, ἡ Ἐκκλησία μυστικῶς. τῷ γὰρ Νηπίων τῷ αἵματι, φαιδρῶς ὡραΐζεται, ὡς πορφύρᾳ καὶ βύσσῳ, ἀπαύστως δοξάζουσα, Χριστὸν τὸν νικητὴν καὶ Θεόν. Θεοτοκίον.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, Μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι ἡμᾶς.

Ἄλ-

Digitized by Google

Ἄλλος. Ὁ στερεῶν βροντὴν.

Ἐν τῷ λειμῶνι Πάτερ τῶν ἀγώνων, ἐμφρόνως εἰσελήλυθας, καὶ τῶν ἀνθέων τῶν ἀρετῶν, τὰ ἐξαίρετα συλλέξας, ὡς σίμβλον τὴν καρδίαν σου. τῇ ἐγκρατείᾳ ἔδειξας.

Ἐν προστασίᾳ ὤφθης πενήτων, καὶ ἐν ἐλέῳ δόκιμος. ἐκ τῶν ἀσύλων γὰρ θησαυρῶν, τῆς καρδίας σου σκορπίσας, δικαιοσύνην μείνασαν, ἐτρύγησας Μάρκελλε.

Θεοτοκίον.

Ἐκ σοῦ Ἀπάτωρ ὤφθη ὁ Ἀμήτωρ, πρὸ τῶν αἰώνων Κύριος, καὶ πλαστουργεῖται ὑπερφυῶς, καὶ ἀνάπλασιν δωρεῖται, τῆς ἐξ Ἀδὰμ θεώσεως, Παρθένε ἀπειρόγαμε.

Κοντάκιον τῆς ἑορτῆς. εἶτα Κάθισμα. τῶν Ἁγίων Νηπίων. Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Τῷ τεχθέντι σήμερον, ἐκ τῆς Παρθένου, τῶν Νηπίων στράτευμα, ὡς Ποιητῇ καὶ Βασιλεῖ, δεκτὰ προσάγονται σφάγια, προτεθυμένα, Χριστῷ διὰ πίστεως.

Δόξα. τοῦ Ὁσίου. Ἦχος ὁ αὐτός.

Ταχὺ προκατάλαβε.

Ἀγρυπνίας τοῖς ἄνθραξι, προκαθαρθεὶς τὴν ψυχὴν, σῶμα ἐσόμωσας, πρὸς ἀπαθείας ἰσχὺν, Πατὴρ ἡμῶν Μάρκελλε ὅθεν καὶ ἀνεδείχθης, ἐνδιαίτημα θεῖον, νόσους ἀποδιώκων, καὶ φωτίζων τοὺς πίστει, ἀεὶ προσερχομένους σοι, καὶ εὐφημοῦντάς σε.

Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἐκμαθὼν, Ἡρώδης ἄναξ ὁ δεινός. ἐκζητῶν θυμομαχῶν, τὸν γεννηθέντα ἐπὶ γῆς, ἄνακτα νέον τὸν Χριστόν. καὶ δειλίᾳ καὶ φόβῳ πολλῷ συγχεθεὶς, στέλλει στρατιὰν, ἀνελεῖν ἐν θυμῷ, βρέφη Βηθλεὲμ νηπιάζοντα, συναπελεῖν πειρώμενος τὸν Κτίστην, δι' εὐσπλαγχνίαν πτωχεύσαντα. Παρθένου μήτρας, καὶ γὰρ προῆλθε, σῶσαι θέλων τὸ γένος ἡμῶν.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἰδοῦσαι Κύριε, τὴν ἐν σπηλαίῳ σου, συγκατάβασιν τάξεις Ἀγγελικαὶ, φόβῳ ἐξεπλάγησαν, καὶ διανύμνησαν Χριστὲ, τὸ ἀνείκαστόν σου ἔλεος.

Τὸ ξίφος ὤθησε, μανεὶς ὁ ἄνομος, καὶ παράφρων Ἡρώδης, καθ' ἑαυτοῦ, ἀνελεῖν πειρώμενος, τὸν Εὐεργέτην τοῦ παντὸς, καὶ ἀνόλεθρον θεότητι. Τοῦ Ὁσίου.

Οἱ πόνοι Ὅσιε, καὶ οἱ ἱδρῶτές σου, τῶν αἱμάτων τοῖς ῥείθροις τοῖς τῶν βρεφῶν, κεκραμένοι Μάρκελλε, τῷ γεννηθέντι ἐν σαρκὶ, δῶρα τίμια προσηνέχθησαν. Θκ.

Ὡραίαν κάλλει σε, ὑπεραστράπτουσαν, τοῦ Υἱοῦ σου ἀκτῖσιν οἱ τῶν ἐθνῶν, δορυφόροι Ἄχραντε, ἰδόντες θέαμα καινὸν, καὶ παράδοξον ἀνύμνησαν.

Ἄλλος. Εἰσακήκοα τὴν ἀκοήν.

Νῦν πεπλήρωται, ἡ Προφητεία Ἱερεμίου, τῶν Νηπίων τὴν τελείωσιν, τῇ ἐν Ῥαμᾷ προαγγέλλουσα.

Νῦν ἀγάλλεσθε, ἐν Παραδείσῳ ἅγιοι παῖδες, τὴν τελείωσιν δι' αἵματος. ὑπὲρ Χριστοῦ ἐνδεξάμενοι. Θεοτοκίον.

Μήτηρ ἄχραντε, εὐλογημένη Ἁγνὴ Παρθένε, τοὺς ὑμνοῦντάς σε περίσωζε, ἀπὸ πάσης περιστάσεως.

Ἄλλος. Εἰσακήκοα ὁ Θεός.

Ἐπὶ πέτραν τῶν ἀρετῶν, τοὺς τῆς ψυχῆς σου ἐρείσας πόδας, τῶν δαιμόνων ὑπεσκέλισας, Πάτερ διαβήματα, καὶ εἰς ὁδὸν εἰρήνης κατηύθυνας. Θκ.

Ὡς τετράστομος τῆς Ἐδὲμ, ποταμιαία πηγὴ Παμμάκαρ, τὰ τῆς ποίμνης σου διέδραμε, λογικὰ ὀμβρήματα, τὴν οἰκουμένην πᾶσαν ἀρδεύοντα.

Θεὸν Λόγον ἐν τῇ γαστρὶ, συνειληφυῖα φρικώδη Λόγον, ὑπὲρ λόγον ἀπεκύησας, σαρκὶ Παναμώμε. διό σε ὡς Θεοτόκον δοξάζομεν.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὑπερεκκέχυται ὁ κρατὴρ, ὁ τῆς εὐσπλαγχνίας σου Χριστὲ, εἰς τὰ ποιήματα ἅπαντα, καὶ ἀφθόνως ταῦτα, ἐλέους ἔπλησε, σαρκὶ ἐπιφανέντος, καὶ γεννηθέντος σου.

Θύματα ἄμωμα τῷ Χριστῷ, σήμερον προσηνέχθησαν ὁμοῦ, καὶ μυστικῶς ἀνηνέχθησαν, ὡς πυρὶ τῷ ξίφει ὁλοκαυτώματα, τὰ βρέφη καὶ τῶν θείων βραβείων ἔτυχον.

Digitized by Google

Τοῦ Ὁσίου.

Ὑλώδους Ὅσιε τὴν ψυχὴν, σχέσεως καὶ πάσης γεηρᾶς, καὶ ἐπικήρου τερπνότητος, πόνοις ἐκκαθάρας, τῆς σῆς ἀσκήσεως· ἰσάγγελος ἐδείχθης, ἐν Κόσμῳ Μάρκελλε.

Θεοτοκίον.

Ῥεῖθρα ἐπήγασε νοητὰ, τῆς ἀθανασίας ὁ ἐκ σοῦ, σαρκὶ τεχθεὶς, ἐν σπηλαίῳ Ἁγνὴ, καὶ τὴν τῶν ἀνθρώπων φύσιν κατήρδευσεν, ἀφθαρσίᾳ πλουτίσας, αὐτὴν ὡς εὔσπλαγχνος.

Ἄλλος. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Ἐν Βηθλεὲμ ὁ Κτίστης, καὶ Βασιλεὺς τῶν αἰώνων, τεχθεὶς ἐν σαρκὶ, στέφος ἀνεδήσατο, τὴν τῶν νηπίων ἄθλησιν σήμερον.

Ἡ τῶν νηπίων πίστις, τὴν παλαιὰν τοῦ Ἡρώδου, κατήργησε σήμερον ἀθείαν, καὶ Χριστοῦ τὴν ποίμνην ἐφώτισεν.

Θεοτοκίον.

Τῶν Χερουβὶμ φανεῖσα, τιμιωτέρα, Παρθένε πανύμνητε, πρέσβευε τῷ Υἱῷ σου, σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ἄλλος. Ἀνάτειλόν μοι Κύριε.

Ἀκύματον λιμένα σε, οἱ ἐν πελάγει κάμνοντες, τῶν ἀνιάτων νοσημάτων, Μάρκελλε κεκτημένοι, ἐκφεύγουσι κλύδωνα, καὶ πρὸς ῥῶσιν εὔδιον, καθορμίζονται πιστῶς.

Τὸν ἔλεον ἐπήγασας, τοῖς ἐνδεέσιν Ὅσιε, τὴν λαμπάδα τῆς ψυχῆς σου, ἄσβεστον τηρήσας, τῷ πυρὶ τοῦ Πνεύματος, εἰς τὴν ἄνω ἔφθασας, δᾳδουχίαν καὶ ζωήν.

Θεοτοκίον.

Τῇ αἴγλῃ τῆς πρεσβείας σου, Θεοκυῆτορ ἄχραντε, τὴν ἀβλεψίαν τῆς καρδίας μου, καταύγασον ὡς μόνη, τὸν φωστῆρα Κύριον, καὶ τῆς δόξης Ἥλιον, ἀνατείλασα Χριστόν.

Ὠδὴ ϛʹ. Τοῦ βίου τὴν θάλασσαν.

Μύρα εὐωδέστατα, ἀναδέδωκεν ἡ γῆ, ἐν ταύτῃ ὑπὲρ ἔννοιαν, τοῦ ἀκενώτου μύρου ἐκ τῆς Ἁγνῆς, σαρκὶ ἀναβλύσαντος, καὶ βροτοὺς εὐωδίας θείας πλήσαντος.

Αἵμασιν ἐφοίνιξεν, ὁ Ἡρώδης τῶν βρεφῶν, τὴν Βηθλεὲμ ὁ δείλαιος· ἀλλὰ ταῦτα βοήσαντα πρὸς Θεὸν, ἔνδικον εἰργάσατο, τὴν αὐτοῦ καταδίκην, καὶ τὸν ὄλεθρον.

Τοῦ Ὁσίου.

Τοῦ βίου τὸ πρόσκαιρον, καὶ τὸ ἄστατον σαφῶς, κατανοήσας Μάρκελλε, πρὸς τὰ ἀεὶ ἑστῶτα τὴν τῆς ψυχῆς, ἀνύψωσας ἔφεσιν· ὧν ἐπέτυχες, πόνοις τῆς ἀσκήσεως.

Θεοτοκίον.

Γεννᾶται ὁ ἄχρονος Θεὸς Λόγος ἐν γαστρὶ ἐκ σοῦ ἀχρόνως Ἄχραντε, ἵνα ζωὴν τὴν ἄχρονον τοῖς ἐν γῇ, καὶ λῆξιν αἰώνιον, ἐμπαρέξῃ καὶ δόξαν τὴν ἀκήρατον.

Ἄλλος. Χιτῶνά μοι παράσχου φωτεινόν.

Μαζῶν ἀποσπασθέντες μητρικῶν, οἱ παῖδες οἱ Ἅγιοι, Χριστῷ συνηρμόσθησαν, καὶ στεφάνους ἀφθαρσίας ἐκομίσαντο.

Εὐφραίνεσθε λαοὶ πνευματικῶς, χορὸς γὰρ συνήθροισται Νηπίων· οὐ γάλακτι ἐκτραφέντων, ἀλλὰ πίστει ἐνεργούμενος.

Θεοτοκίον.

Ἡ μόνη διὰ λόγου ἐν σαρκὶ, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Ζάλη με λογισμῶν.

Ὡς δένδρον εὐθαλὲς τῆς Ἐκκλησίας, ἐφυτεύθης Ὅσιε ἐν μέσῳ· δι᾽ ἐγκρατείας καὶ δογμάτων, ἐβλάστησας καρπούς· δι᾽ ὧν τὰ τοῦ Ἀρείου, ἀποτεφροῦνται ζιζάνια.

Τὴν μνήμην εὐφημοῦντες ἐπαξίως, τὴν σορόν σου σέβομεν, τὰ λείψανα προσκυνοῦμεν, καὶ τὴν κόνιν γεραίρομεν πιστῶς· δι᾽ ὧν καὶ ἐξαιτοῦμεν, Μάρκελλε νόσων τὴν ἴασιν.

Θεοτοκίον.

Θεός σου Υἱὸς Παναγία, τὴν φυεῖσαν ἔτεμεν, ἐν παραδείσῳ κατάραν· καὶ τὴν τρίβον τοῦ ξύλου τῆς ζωῆς, ἀνθρώποις ὑπανοίξας, τὴν εὐλογίαν ἐπήγασεν.

Ὁ Εἱρμός.

„Ζάλη με λογισμῶν καταλαβοῦσα, εἰς „βυθὸν κατήγαγεν, ἀμέτρων ἁμαρ„τημάτων· ἀλλὰ σὺ Κυβερνῆτα ἀγαθὲ, „προφθάσας με διάσωσον, ὡς τὸν Προ„φήτην, καὶ σῶσόν με.

Κοντάκιον. Ἦχος δʹ.

Ἐπεφάνης σήμερον.

Ἀστὴρ Μάγους ἔπεμψε, πρὸς τὸν τεχθέν-

Digitized by Google

θεῖα, καὶ Ἡρώδης ἄδικον, στρατὸν ἀπέστειλε παντί, φονοκτονῆσαι οἰόμενος, τὸν ἐν τῇ φάτνῃ, ὡς νήπιον κείμενον.

Ὁ Οἶκος.

Τῶν ἄνω καὶ τῶν κάτω νῦν, ὁμοῦ εὐφραινομένων, ἐν τῇ ἐπιφανείᾳ τοῦ πάντων Βασιλέως, Ἡρώδης μόνος συναλγεῖ, σὺν τοῖς προφητοκτόνοις Ἰουδαίοις. εἰκὸς γὰρ μόνους αὐτοὺς ὀδύρεσθαι. οὐ γὰρ ἀπὸ τοῦ νῦν βασιλεύσουσιν. ἀλλ' ἡ βασιλεία τοῦ Κυρίου, καὶ ἔτι κρατήσει, τὰ θράση τῶν ἐχθρῶν ἀποκρουομένη, καὶ τὰ πλήθη τῶν πιστῶν συγκαλουμένη, μετὰ τῶν σεπτῶν Νηπίων τοῦ κατοπτεύειν, τὸν ἐν τῇ φάτνῃ, ὡς Νήπιον κείμενον.

Κοντάκιον ἕτερον. Ἦχος β΄.

Τοὺς ἀσφαλεῖς.

Ὁ ἐκ Πατρὸς Ἀμήτωρ Λόγος Κύριος, καὶ ἐκ Μητρὸς Ἀπάτωρ μόνος ἄνθρωπος, νηπιάσας φύσει σώματος, χοροὺς Νηπίων στέφει σήμερον, βρεφῶν ὁ θεῖος Πλάστης, ὡς βρέφος πλάττεται, καὶ σώζει τοὺς πίστει ἀνυμνοῦντας αὐτόν.

Ὁ Οἶκος.

Ὡς ἥλιος τῆς δικαιοσύνης λάμψας ἡμῖν τοῖς ἐν τῷ σκότει τοῦ βίου, γεννηθεὶς ὁ Σωτὴρ ἐν Βηθλεὲμ ὡς ἄνθρωπος, δείκνυσι Κόσμῳ ἀστέρας νέους, ἀπαστράπτοντας αἴγλην φωτὸς ἀρρήτου. λάμπουσι γὰρ θανόντες, ὡς ζῶντες οἱ ἱεροὶ παῖδες. οὓς πόθῳ μέλποντες, ὕμνοις εὐφημήσωμεν, τούτων τὴν ἔνθεον μνήμην γεραίροντες, καὶ Χριστὸν ἱκετεύοντες ὡς Λυτρωτήν, τὸν σώζοντα τοὺς πίστει ἀνυμνοῦντας αὐτόν.

Τῷ αὐτῷ Μηνί, ΚΘ Μνήμη τῶν Ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρώδου ἀναιρεθέντων, χιλιάδων δεκατεσσάρων.

Στίχ. Διὰ ξίφους ἄωρα μητέρων βρέφη,
Ἀπεῖλεν ἐχθρός, τοῦ βρεφοπλάστου βρέφους.
Νήπια ἀμφ' ἐνάτην τάμον εἰκάδι παππάζοντα.

Προστάξας ὁ βασιλεὺς τῶν Ἰουδαίων Ἡρώδης τοῖς Μάγοις ὑποστρέψαι, καὶ διαγγεῖλαι αὐτῷ τὰ περὶ τοῦ γεννηθέντος Βασιλέως, ὃν ὁ ἀστὴρ ᾧ ἠκολούθουν ἐμήνυσεν, ὅπως σὺν ἐκείνοις προσκυνήσῃ αὐτόν, καὶ τοῦ Ἀγγέλου εἰπόντος αὐτοῖς, μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀναχωρῆσαι εἰς τὴν χώραν αὐτῶν. καὶ τοῦτο ποιησάντων, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπ' αὐτῶν, ἐθυμώθη λίαν, καὶ ἐψηφίσατο ἀκριβῶς τὸν χρόνον τοῦ φαινομένου ἀστέρος, καὶ ἀποστείλας στρατιώτας, ἐφόνευσε πάντας τοὺς ἐν Βηθλεὲμ παῖδας, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω. τοῦτο θέμενος ἐν τῇ διανοίᾳ αὐτοῦ, ὡς εἰ πάντας τοὺς παῖδας φονεύσῃ, πάντως ἀποθανεῖται καὶ ὁ μέλλων βασιλεῦσαι, καὶ οὐκ ἐπιβουλεύσει αὐτῷ, ἀλλ' εἰς μάτην ἐκοπίασεν ὁ παράφρων, μὴ εἰδώς, ὅτι Θεοῦ βουλὴν ἄνθρωπος ἐμποδίσαι οὐ δύναται. ὅθεν ἐκείνοις μὲν προεξένησε Βασιλείαν οὐρανῶν, ἑαυτῷ δὲ κόλασιν αἰώνιον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη πάντων τῶν Χριστιανῶν, καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐν λιμῷ καὶ δίψει καὶ μαχαίρᾳ καὶ κρύει τελειωθέντων. τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τοῖς Χαλκοπρατείοις, εἰς τὸν ναὸν τῆς Ὑπεραγίας Θεοτόκου, ἔνθα ἡ ἁγία σορός.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου, ἡγουμένου τῆς μονῆς τῶν ἀκοιμήτων.

Ἀϋπνίᾳ δοὺς πάντα τὸν ζωῆς χρόνον,
Μάρκελλε κοιμήθητι μικρὸν ἐν τάφῳ.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν Μάρκελλος ὑπῆρχεν ἀπὸ Ἀπαμείας, τῆς δευτέρας Συρίας, ἐξ ἐνδόξου γένους καὶ περιφανοῦς. ὅθεν καὶ πᾶσαν τὴν ἐν λόγοις παίδευσιν μετῆλθε. καὶ ταύτην παριδών, κατέλιπε τὰ οἰκεῖα, καὶ παραγίνεται εἰς Ἔφεσον, καὶ ξενίζεται παρά τισιν εὐσεβέσι, καὶ ἔν τινι τῶν Μοναστηρίων εἰσελθών, καὶ ἀσκήσας καλῶς, παραγίνεται πρὸς τὸν Ἅγιον Ἀλέξανδρον, ὄντα ἐν τῇ Μονῇ τῶν ἀκοιμήτων, μαθὼν περὶ τῆς ἐνθέου καὶ ὑψηλῆς αὐτοῦ πολιτείας. καὶ ἐν τῇ αὐτῇ Μονῇ τὴν διαγωγὴν ποιησάμενος, καὶ πάντας ὑπερβαλὼν ταῖς καθ' ἡμέραν πρὸς ἀρετὴν προκοπαῖς, μετὰ τὴν κοίμησιν Ἀλεξάνδρου, καὶ Ἰακώβου τοῦ μετ' ἐκεῖνον χρηματίσαντος Ἡγουμένου, τῆς Μονῆς καθίσταται ἀρχηγός. πολλῶν δὲ θαυ-

Digitized by Google

θαυμάτων τῇ τοῦ Χριστοῦ χάριτι ἐπιδειξάμενος δύναμιν ἐν αὐτῇ τῇ μονῇ κοιμηθείς, ἀνεπαύσατο ἐν Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θαδδαίου τοῦ Ὁμολογητοῦ.

Στ. Καὶ Θαδδαῖος ἴσχυσε κατὰ τῆς πλάνης.
Ὁμολογητὴς, ἀναφανεὶς ὡς μέγας.

Οὗτος ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Θαδδαῖος, ἀπελεύθερος γέγονε Θεοδώρου, τοῦ τὴν Μονὴν τῶν Στουδίων ἐκ βασιλικῆς ἐξουσίας λαβόντος, καὶ κοινόβιον ποιήσαντος. κείρας δὲ καὶ οὗτος τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ ἐν τῇ αὐτῇ Μονῇ, γέγονε μοναχὸς, καὶ πολιτείαν κτησάμενος θεάρεστον, ἠγαπήθη παρὰ πάντων. νηστείαν γὰρ καὶ ἀγρυπνίαν εἶχε πολλὴν, γλώσσης ἐγκράτειαν, προσοχὴν τῶν θείων λόγων, χαμευνίαν, καὶ ὑπακοὴν ὑπερβάλλουσαν, μηδὲν ἄλλο ἔχων, πλὴν ὧν περιεβέβλητο. τῶν δυσσεβῶν δὲ τότε εἰκονομάχων, Μιχαὴλ φημὶ τοῦ Τραυλοῦ, καὶ Θεοφίλου τοῦ υἱοῦ αὐτοῦ κατὰ συγχώρησιν Θεοῦ κρατούντων, πάντας τοὺς εὐσεβεῖς Ἐπισκόπους καὶ Ἡγουμένους, οὓς μὲν, ἀπέκλειον, οὓς δὲ, ἐξώριζον· ἐν οἷς ἦν καὶ ὁ μέγας ἀγωνιστὴς Θεόδωρος, ὁ τούτου γεγονὼς δεσπότης καὶ ἡγούμενος. σὺν τούτῳ οὖν ποτὲ ἀνελθὼν ἐν τῷ Παλατίῳ καὶ ὁ θεοφόρος οὗτος Θαδδαῖος, ζήλῳ θείῳ πυρωθεὶς, ἤλεγξε τὸν δυσσεβῆ ἐκεῖνον βασιλέα, ἐνώπιον πάσης τῆς συγκλήτου. ὁ δὲ ἐκέλευσε τὴν τοῦ Σωτῆρος ἡμῶν εἰκόνα ἐνεχθῆναι, καὶ τεθεῖναι ἐν τῇ γῇ. τὸν δὲ ἅγιον τοῦτον ἄνδρα, ἐπιστῆναι ἄνωθεν τῆς ἁγίας εἰκόνος, καὶ μὴ βουλόμενον, κατεχόμενον ὑπό τινων ἰσχυρῶν ἀνδρῶν ἀσφαλῶς πρὸς τὸ μὴ μεταστῆναι. καὶ, ἴδε, φησὶν ὁ Τύραννος, τὴν τοῦ Χριστοῦ σου εἰκόνα κατεπάτησας. λοιπὸν συγκατάθου καὶ ἐν τοῖς λοιποῖς. ὁ δὲ, ἐν ἀληθείᾳ πεφωτισμένος τὴν ψυχὴν, ἀπεκρίνατο πρὸς αὐτόν· ἐγὼ δυσσεβέστατε, καὶ πάσης ἀκαθαρσίας πεπληρωμένε Τύραννε, οὐκ ἐξ ἰδίας γνώμης τοῦτο πεποίηκα. μὴ γένοιτο. ἀλλὰ τῆς σῆς τοῦτο πανουργίας καὶ ἀδίκου κρίσεως. προσκυνῶ δὲ μᾶλλον ἐγὼ τῇ ἁγίᾳ εἰκόνι τοῦ Κυρίου καὶ Θεοῦ μου, καὶ κατασπάζομαι αὐτήν. καὶ ὑπὲρ αὐτῆς προθύμως ἀποθανεῖν αἱροῦμαι. τούτοις τοῖς λόγοις ὁ ἀλιτήριος αἰσχυνθεὶς, ὡς ὑπὸ ἀγροίκου καὶ Σκυθογενοῦς καὶ παντελῶς ἰδιώτου ὑβρισθεὶς, ἐκέλευσεν ἔμπροσθεν αὐτοῦ τῷ ἐδάφει ῥιφθῆναι, καὶ ἀνηλεῶς τύπτεσθαι. καὶ τοσοῦτον αὐτὸν τοῖς ῥοπάλοις ἔτυψαν, ἄχρις ἂν καὶ ἤλπιζον ἀναπνεῖν. εἶτα, νομίσαντες τεθνάναι, ἔσυρον ἐκ τῶν ποδῶν ἔξω. ὃν καί τινες τῶν παρεστώτων δήσαντες, εἵλκυσαν ὡς θνησιμαῖόν τι καὶ ἀκάθαρτον διὰ πάσης τῆς λεωφόρου. καὶ ῥίψαντες αὐτὸν πλησίον τοῦ τείχους πρὸς τὸ μέρος τῆς πηγῆς, ὑπέστρεψαν ἀπολυσάμενοι. ὁ δὲ Μακάριος Θαδδαῖος, εὐχαρίστως πάντα καὶ γενναίως ὑπενεγκὼν, τρεῖς ἐπιβιοὺς ἡμέραις, ἀπῆλθε πρὸς Κύριον.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀπεμείωσε τὴν νύκτα, ὁ τεχθεὶς σαρκὶ, Ἥλιος ἐκ Παρθένου Μητρὸς, καὶ ἐπηύξησε, τὴν διττὴν ἡμέραν τοῖς πιστοῖς, βοῶσιν αὐτῷ εἰλικρινῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἑαλωθεῖσαν ἀθεότητι τὴν ἅπασαν, Κτίσιν ὁ ἐν σπηλαίῳ τεχθεὶς, ἐπεστήριξεν, ἐπὶ γνώσει πάλιν τοῦ αὐτοῦ, ἀπαύστως κραυγάζουσαν αὐτῷ, εὐλογητὸς εἶ.

Τοῦ Ὁσίου.

Ἐν πυρὶ μὲν τῆς ἀσκήσεως κατέφλεξας, Μάρκελλε τὰς τῆς σαρκὸς ἡδονάς. ἀπαθείας δὲ, ἐν τῇ δρόσῳ ἤρδευσας ψυχὰς, βοᾶν τῷ Χριστῷ εἰλικρινῶς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἴδεν ἅπασα ἡ Κτίσις Θεονύμφευτε, τὰ θεῖα μεγαλεῖά σου, ἐν σαρκὶ ἐκ σοῦ τοῦ Δεσπότου πάντων καὶ Θεοῦ, τεχθέντος ἐν πόλει Βηθλεέμ, καὶ σὺν Μάγοις καὶ Ποιμέσι σε ἀνύμνησεν.

Ἄλλος. Ὁ τοὺς παῖδας.

Ὁ ἐν τῇ γῇ θαυμαστώσας ἐνδόξως, τῇ δωρεᾷ τοὺς Ἁγίους σου Παῖδας, εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.



Digitized by Google

Ὁ νικητὰς κραταιῶς ἀναδείξας, τῆς τοῦ ἐχθροῦ τυραννίδος τοὺς Παῖδας, εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριος, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὁ ἐν γαστρὶ, τῆς Παρθένου οἰκήσας, καὶ ἐν αὐτῇ, τὸν Ἀδὰμ ἀναπλάσας, εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Ἀβύσσους.

Ἀστράπτει ὡς Ἥλιος φαιδρὸς, ἡ μνήμη σου, πάντας τοὺς κραυγάζοντας. εὐσεβῶς φωτίζουσα· εὐλογητὸς εἶ, ὁ μόνος ὑπάρχων Θεὸς, τῶν Πατέρων ἡμῶν.

Μοναστῶν ἑδραίωμα, καὶ ὑποτύπωσις, πιστῶν ἐγκαλλώπισμα, τῶν βοώντων Ὅσιε· εὐλογητὸς εἶ, μόνος ὑπάρχων Θεὸς, τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Χαίροις ὁ ἀχείμαστος, τῆς μετανοίας λιμὴν, ἐν ᾧ καταφεύγοντες, Θεοτόκε κράζομεν· εὐλογητὸς εἶ, ὁ μόνος ὑπάρχων Θεὸς, τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Φωτοφόρον ἡ Κτίσις, στολὴν ἐνδύεται, καὶ κατήφειαν πᾶσαν, ὅλως ἀπέθετο, τοῦ καινοποιοῦ καὶ Δεσπότου τεχθέντος ἐν γῇ. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὡς χρυσίον καὶ σμύρναν, Χριστὲ καὶ λίβανον, τὰς ἡμῶν ἱκεσίας, δέξαι φιλάνθρωπε, καὶ ὡς τῶν βρεφῶν, τῶν Ἁγίων τὰ αἵματα, πρόσδεξαι Οἰκτίρμων, δίδους ἡμῖν ἐλέη.

Τοῦ Ὁσίου.

Ἀρεταῖς καθωπλίσθης, Ὅσιε Μάρκελλε, παρατάξεις Δαιμόνων, κατεπολέμησας, καὶ ὡς νικητὴς, κατ' αὐτῶν ἦρας τρόπαια, καὶ θαυμάτων χάριν, ἐκ τοῦ Θεοῦ ἐδέξω.

Θεοτοκίον.

Ὁ ἐκ σοῦ ἐν σπηλαίῳ, τεχθεὶς Πανάχραντε, αἰωνίου ἀνθρώποις, σκηνὰς ηὐτρέπισε, τοῖς εἰλικρινῶς, Θεοτόκον ὑμνοῦσί σε, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἄναρχον.

Τὸν στέψαντα, οὐρανόθεν τοὺς Παῖδας, καὶ πλήσαντα, τὸν Ἡρώδην αἰσχύνης, ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐλέγξαντα, τοῦ Ἡρώδου τὸ θράσος, καὶ σώσαντα, τῶν νηπίων τὸ πλῆθος, ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὡς ἔντιμον, καὶ ὑπέρτατον θρόνον, ὑπάρχουσαν, τοῦ Θεοῦ τοῦ ὑψίστου, ὑμνήσωμεν λαοὶ, τὴν μόνην μετὰ τόκον, Μητέρα καὶ Παρθένον.

Ἄλλος. Τὰ σύμπαντα.

Ὡς φῶς τὸ ἀκοίμητον, τῆς ἐγκρατείας εὐφημείσθω, Μάρκελλος ὁ Ὅσιος, καὶ φύλαξ τῆς ἀγρυπνίας, προσευχῆς θεμέλιος, ταπεινώσεως στῦλος, δι' οὗ πάντες βοῶμεν στηριζόμενοι, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐκρότησαν σήμερον, τῶν μονοτρόπων ἀγγελαρχίαι, κροτείτωσαν ἅπασαι, χορεῖαι Μοναζόντων, ἀγαλλέσθω τάγματα, τῆς σεπτῆς Ἐκκλησίας, ἐν τῇ μνήμῃ Μαρκέλλου καὶ βοάτωσαν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ἡ Παρθένος τέτοκεν, ὃν Ἡσαΐας προεφώνει, ῥάβδος ἐβλάστησε, τοῦ Ἰεσσαὶ ἀσπόρως. ἡ στάμνος ἐχώρησε, τὸν τοῦ μάννα δοτῆρα, σὲ γὰρ πάντες μὲν, Κόρη ἀπειρόγαμε, προτυποῦντες Προφῆται ὑμνοῦσιν, Ἁγνὴ Θεομήτορα.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Γνωστὸν ἐδείχθη, Χριστὲ τὸ ἔλεος, τὸ ὑπὲρ νοῦν τῆς σῆς φιλανθρωπίας τοῖς Ἔθνεσιν. ἐν σαρκὶ γὰρ Δέσποτα ἐπτώχευσας, ἵνα πλούτου μετόχους, κρείττονος Κύριε, ποιήσῃς ἡμᾶς ὡς ἀγαθὸς καὶ πολυέλεος.

Θεοτοκίον.

Ὁ σὸς Παρθένε, τόκος ὁ ἄρρητος, ξένην βροτοῖς καὶ θείαν παραχὼν ἀναγέννησιν, καὶ τὴν Κτίσιν πᾶσαν ἐκαινούργησε, καὶ τοὺς



Digitized by Google

ἐν γῇ Ἀγγέλους, ἰδὼν ἡμᾶς ᾄδοντας, καὶ δοξολογοῦντάς σε ἀεὶ, καὶ μεγαλύνοντας.

Τοῦ Ὁσίου.

Σταυρὸν ἐπ' ὤμων, ἄρας Μακάριε, τὸν τοῦ Χριστοῦ καὶ τὰ τούτου πάθη ἐκμιμούμενος, ἐσταυρώθης Κόσμῳ Μάρκελλε καὶ μέτοχος, δόξης τε τῆς ἀῤῥήτου, γέγονας Ὅσιε. ἐν ᾗ καὶ ἡμῶν σῶν ὑμνῳδῶν μέμνησο πάντοτε.

Θεοτοκίον.

Υἱοὺς Θεοῦ, ἡμᾶς ἀπειργάσατο, ὁ γεννηθεὶς σαρκὶ Θεὸς ἐκ σοῦ Παρθένε Ἄχραντε. καὶ τὸ πρῶτον δέδωκεν ἀξίωμα, τοῖς αὐτὸν δεξαμένοις, καὶ Θεομήτορα, σὲ δοξολογοῦσιν ἐκτενῶς, καὶ μεγαλύνουσιν.

Ἄλλος. Μεγαλύνομεν.

Ἑκουσίᾳ γνώμῃ, νηπιάσας ἀγαθὲ, τοῖς νηπίοις ἀθλίως, ἔνδοξον ἐδωρήσω, καταργῆσαι τὰ θράση, τῶν ἀθέων ἐχθρῶν.

Εὐφροσύνης πάσης, ἐνεπλήσθη Εὐφραθᾶ, καὶ χορεύει πίστει, Ῥαχὴλ τὰ παιδία, ὡς Ἀβραὰμ τὴν θυσίαν, Θεῷ προσφέρουσα.

Θεοτοκίον.

Εὐλογοῦμέν σε, τὸν Θεὸν τοῦ Ἰσραὴλ, τὸν ἐκ τῆς Παρθένου, ἐπιφανέντα τῷ Κόσμῳ, καὶ ἐγείραντα κέρας ἡμῖν.

Ἄλλος. Ὅτι ἐποίησέ σοι.

Θάλασσαν ἀπαλλαγχνίας, κεκτημένος Μάρκελλε, τοὺς κάμνοντας, ἐν κλύδωνι παθῶν, ἐλυτρώσω Μαθητὰς, καὶ εἰς γαλήνην σαῖς εὐχαῖς, τούτους καθώρμισας.

Χορεύει Ἀσωμάτων στρατιαὶ, καὶ γένος βροτῶν θεόπνευστε, τὴν σὴν τῶν ἀρετῶν, ἐν τῇ μνήμῃ σου πληθὺν, καὶ τῶν θαυμάτων τὰ φρικτὰ, ἐκδιηγούμενοι.

Θεοτοκίον.

Τῷ τόκῳ σου Παρθένε, ἐθεώθημεν οἱ πιστοί. Θεὸν γὰρ, τὸν τροφέα τοῦ παντὸς, ὁμόδοξον Πατρὶ, καὶ βρεφουργεῖς καὶ γαλουχεῖς, ὢ ξένον ἄκουσμα.

Ἐξαποστειλάριον. Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης.

Τὴν ὀχλοφόρον ἄρουραν τῶν Νηπίων, θεομαχῶν Ἡρώδης ἐξαποστείλας, ἄωρον ἐθέρισεν ὁ δείλαιος. καὶ τὸν τεχθέντα Κύριον, μὴ κατισχύσας φονεῦσαι, πάσης αἰσχύνης πληροῦται.

Ἕτερον. Τῶν μαθητῶν ὁρώντων σε.

Ἡ Βηθλεὲμ μὴ στύγναζε, ἀλλ' εὐθύμει, ἐπὶ τῶν ἱερῶν Νηπίων τῇ ἀναιρέσει. θύματα γὰρ τέλεια τῷ Δεσπότῃ, Χριστῷ προσενηνέχθησαν, ὑπὲρ αὐτοῦ γὰρ σφαγέντα, συμβασιλεύουσι τούτῳ.

Τοῦ Ὁσίου. Ὅμοιον.

Τὰ τῆς σαρκὸς σκιρτήματα Θεοφόρε, δι' ἐγκρατείας πάσης κατακοιμίσας, ἄγρυπνον ἐθέσπισας καὶ πάννυχον, τῇ μνήμῃ σου Μάρκελλε, δοξολογίαν τελεῖσθαι, Χριστοῦ εἰς αἴνεσιν Πάτερ.

Θεοτοκίον. Ὅμοιον.

Ἐπὶ τῆς γῆς εἰρήνη καὶ ἐν ἀνθρώποις, Θεοῦ κυήτορ γέγονεν εὐδοκία. Ἄγγελοι χαρέντες ἐκραύγαζον, ἐν τοῖς ὑψίστοις δόξα σοι, τῷ γεννηθέντι ἀφράστως, ἐν Βηθλεὲμ ἐκ Παρθένου.

Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ προσόμ. Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τῆς Ἡρώδου πωρώσεως. κατὰ Θεοῦ ἐμμανείς, τοῦ σαρκὶ νηπιάσαντος, Βηθλεὲμ τοῖς βρέφεσι, τὸν θυμὸν ἐπαφίησι. καὶ ξίφει πάντα, δημίων δίδωσι. ζωῆς στερῆσαι, τὸν ζωῆς αἴτιον, τούτων οἰόμενος, τῆς σφαγῆς τῷ αἵματι, ὁ λυμεὼν, τοῦ καρποῦ τῆς φύσεως, ὁ ἀπηνέστατος.

Μάγοι ἐκ Περσίδος φθάσαντες, εἰς τὴν Ἱερουσαλὴμ, τὸν Ἡρώδην ἐτάραξαν. καὶ μανεὶς ὁ δείλαιος, τὰ νήπια κατέσφαττεν. ὡς βότρυες δὲ, Χριστῷ προσήχθησαν. εἰ καὶ μητρῴων μαζῶν ἀπεσπάσθησαν, οἱ Νεομάρτυρες, τὸν Ἡρώδην πλήξαντες. διὸ Χριστὸν πίστει ἱκετεύσατε, εἰς τὸ σωθῆναι ἡμᾶς.

Κλαίει ἡ Ῥαχὴλ τὰ νήπια, ἐν τῇ Ῥαμᾶ δὲ φωνὴ, νῦν μεγάλη ἀκούεται, ὁ Ἡρώδης μαίνεται, καὶ ἀθέως φρυάττεται, ὁ Ἰωάννης φεύγει ἐν ὄρεσι. λίθος Μητέρα σὺν τέκνῳ δέχεται. ὁ Ζαχαρίας δὲ, ἐν Ναῷ φονεύεται. ὁ δὲ Χριστὸς, φεύγει ἀφεὶς ἔρημον, Ἑβραίων οἴκημα.

Digitized by Google

Δό-

Δόξα. Ἦχος Πλ. δ΄. Ἀνδρέου Κρήτης.

Ἡρώδης ὁ παράνομος, θεωρῶν τὸν ἀστέρα, ὑπὲρ πᾶσαν Κτίσιν λαμπρότερον, ἐταράττετο. Καὶ γαλακτοτροφούμενα βρέφη, ἐξ ἀγκαλῶν μητρικῶν ἀφήρπαζεν. Ἡ δὲ Ἐλισάβετ, λαβοῦσα τὸν Ἰωάννην, πέτραν παρεκάλει, δέξαι Μητέρα μετὰ τέκνου. Ὅρος ἐδέξατο τὸν Πρόδρομον. Φάτνη ἐφύλαττε τὸν Θησαυρόν, ὃν ἀστὴρ ἐμήνυσε. Μάγοι προσεκύνουν, Κύριε δόξα σοι.

Καὶ νῦν. Ὁ αὐτός.

Ἐν Βηθλεὲμ συνέδραμον Ποιμένες, τὸν ἀληθῆ μηνύοντες Ποιμένα, τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ καὶ ἀνακείμενον ἐν φάτνῃ, νηπίου μορφήν, δι' ἡμᾶς ἀνειληφότα, Κύριε δόξα σοι.

Ἀποστ. ἦχ. Ἰδιόμελ. τῶν Ἁγίων Νηπίων.

Ἦχος α΄. Κυπριανοῦ.

Τῷ ἀῤῥάντῳ σου τόκῳ Χριστὲ ὁ Θεός, πρώτη θυσία γέγονε τὰ νήπια. Ἡρώδης γὰρ χειρώσασθαι, σὲ τὸν ἀχείρωτον βουληθείς, ἠγνόησε, Μαρτύρων προσάγων σοι χορόν. Διό σε ἱκετεύομεν, τὸν ἐνανθρωπήσαντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Στ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἦχος β΄. Τοῦ αὐτοῦ.

Εἰς τὰ ὦτα Κυρίου Σαβαώθ, εἰσεληλύθει ἡ σφαγὴ ὑμῶν, βρέφη τίμια. Δι' αὐτὸν γὰρ τὸ αἷμα ἐξεχέατε, καὶ ἐν κόλποις Ἀβραὰμ ἐπαναπαύεσθε. Καὶ τὴν Ἡρώδου εἰς αἰῶνας, μισητὴν κακίαν ἀπεκρούσασθε, δυνάμει τοῦ τεχθέντος Χριστοῦ.

Στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος. Ἦχος γ΄.

Μισητὴ τοῦ Ἡρώδου ἡ παιδοκτονία, διὰ τὴν αὐτοῦ μιαιφονίαν, καὶ σεπτὴ ἡ τῶν παίδων θυσία, ὡς ἡλικιῶτις Χριστοῦ, τῆς ἡμῶν σωτηρίας, τοῦ καινοῦ σφαγίου προθυομένη, καὶ προπεπονθυῖα. Μὴ κλαῖε Ῥαχὴλ τὰ τέκνα, μιμνησκομένη τῶν κόλπων Ἀβραάμ, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία.

Δόξα. Τοῦ Ὁσίου. Ἦχος Πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, ὁ φθόγγος τῶν κατορθωμάτων σου. Διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. Τῶν Δαιμόνων ὤλεσας τὰς φάλαγγας. Τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα. Ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. Σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα, ἐν Βηθλεὲμ Σωτῆρα Κύριον. Ὅτι πᾶσα πλάνη τῶν Εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστός, εἰς τοὺς αἰῶνας.

Ἡ λοιπὴ ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνί, Λ΄.

**Τῆς Ἁγίας Μάρτυρος Ἀνυσίας, καὶ τοῦ Ὁσίου Ζωτικοῦ Πρεσβυτέρου, τοῦ Ὀρφανοτρόφου.**

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ψάλλομεν καὶ τὴν Ἀκολουθίαν τῆς Ἁγίας Μελάνης, διὰ τὸ μέλλειν ἡμᾶς ἀποδιδόναι τὴν τῶν Χριστοῦ Γεννῶν ἑορτήν, κατὰ τὴν λα΄.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχ. ς΄. καὶ ψάλλομεν, στίχ. τῆς Ἁγίας Ἀνυσίας, Ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Παρθενίας λαμπρότησι, φαιδρυνθεῖσα Πανεύφημε, Μαρτυρίου ἤστραψας ἀγωνίσμασι. Μὴ προσκυνῆσαι Ἡλίῳ γάρ, πεισθεῖσα τὴν ἄδικον, καθυπέμεινας σφαγήν, φοινιχθεῖσα τοῖς αἵμασι, καὶ παρέστηκας, τῷ Ἡλίῳ τῆς δόξης, στεφηφόρος, ταῖς ἐκεῖθεν λαμπομέναις, αὐγαζομένη φαιδρότησιν.

Ὅμοιον.

Τὸν ἐγκάρδιον ἔρωτα, ὑποφαίνουσα δάκρυσι, καταμίξει ἔνδοξε, γῆν κατέβρεχες, καὶ ταῖς θριξὶν ἐναπέσμηχες, Χριστοῦ ὑποπόδιον, ἐννοοῦσα καὶ αὐτόν, ὡς παρόντα προβλέπουσα, ὃν ἐπόθησας, καὶ ἰχνῶν ἀπτομένη διανοίᾳ, θεωρίαις θειοτάταις, καὶ τὴν ψυχὴν κατελάμπρυνας.

Καὶ τὸν πλοῦτον σκορπίσασα, καὶ πτωχοῖς ἐπαρκέσασα, ἐνυμφεύθης ἄφθο-



Digitized by Google

ρος τῷ Ποιήσαντι. καὶ ὥσπερ προῖκα προσήγαγες, αὐτῷ παμαοίδιμε, τῶν αἱμάτων τοὺς κρουνοὺς, καὶ τοῦ πάθους τὴν μίμησιν, οὗ ὑπέμεινεν, Ἀμυσία ὁ μόνος εἰς νυμφῶνα, κατοικήσας σε τὸν θεῖον, ὡς Ἀθλοφόρον καὶ Μάρτυρα.

Ἕτερα Στιχ. τῆς Ἁγίας Μελάνης.

Ἦχος ὁ αὐτός.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ἡ ταῖς Ἀγγέλων χορείαις συναφθεῖσα, ὅτε σε ὁ ἔνθεος ἔρως ἀνέφλεξε, καὶ περιίπτασθαι ἔπεισε, τῶν ὁρωμένων, δι' ἀπαθείας καὶ καθαρότητος. τότε σὺ τὸν σύνδυμον, λόγοις ἐζώγρησας, θεοπειθέα τὴν ἄστατον, ἀποβαλόντα, τύρβην τοῦ βίου, τὴν διαῤῥέουσαν. ὅθεν σὺν τούτῳ, τὴν αἰώνιον, εὗρες ζωὴν καὶ ἀπόλαυσιν, δυσωποῦσα Μελάνη, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Ἡ τῶν Ἀγγέλων ποθήσασα τὸν βίον, ὅτε τὴν ἔνδομον, τρυφὴν διέπτυσας, τῇ ἐγκαρτερίᾳ κολάζουσα, καὶ ἀγρυπνίᾳ, καὶ χαμευνίᾳ καὶ ταπεινότητι, τότε καθαρώτατον, σκεῦος γεγένησαι, Πνεύματος θείου χαρίσμασι, περιφανέσι, κεκοσμημένη πρὸς τοῦτο πάνσοφε. ὅθεν πρὸς ζῆλον, σὺ τὸν ἔνθεον, ἐφελκύσω λαοὺς καὶ προσήγαγες, τῷ Δεσπότῃ Μελάνη, καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἡ καλλοναῖς ἀρετῶν ὡραϊσμένη, ὅτε τὸν σωτήριον, λόγον ἐπλήρωσας, διασκορπίσασα ἔδωκας. τὰς μυριάδας, τοῦ σοῦ χρυσίου πτωχοῖς καὶ πένησι, τότε τὸν Οὐράνιον, ὄλβον ἀπείληφας, δικαιοσύνην πλουτήσασα, καὶ ἀφθαρσίαν, καὶ ἀπολύτρωσιν πανσέβασμιε. ὅθεν τιμῶμεν, σοῦ τὴν κοίμησιν, καὶ ἐκτενῶς δυσωποῦμέν σε, ἱκετεῦσαι τὸν Κτίστην, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχ. ὁ αὐτός.

Ἰωάννου Μοναχοῦ.

Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. σήμερον γὰρ ἀληθῶς, μία ποίμνη γέγονεν Ἀγγέλων καὶ ἀνθρώπων. ἐν τοῦ θαύματος. ὁ ἀόρατος ὁρᾶται, ὁ ἀχώριστος χωρεῖται, ὁ ἄναρχος ἄρχεται, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται. καὶ Παρθένος ἀπείρανδρος, Μήτηρ ὁρᾶται Θεοῦ. καὶ ἡ Μήτηρ μετὰ τὴν κύησιν, Παρθένος εὑρίσκεται. ὁ σαρκωθεὶς Λόγος τοῦ Πατρὸς, ἐν φάτνῃ ἀνακέκλιται, καὶ Ποιμένες κήρυκες, κοινωνοὶ τοῦ μυστηρίου γίνονται. Μάγοι δὲ ἐξ ἀνατολῶν τὰ δῶρα προσεκόμιζον, ὑπὸ ἀστέρος ὁδηγούμενοι, τὸν τεχθέντα Σωτῆρα προσεκύνησαν. μεθ' ὧν καὶ ἡμεῖς φιλέορτοι, τοὺς τῆς καρδίας θησαυροὺς, προθύμως ἀνοίξαντες, προσάξωμεν αὐτῷ πράξεις ἀγαθὰς, πίστιν, ἐλπίδα, ἀγάπην, ὡς χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν, τῶν Ἀσωμάτων τὴν φωνὴν βοῶντες αὐτῷ. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, τῷ ἐλθόντι σῶσαι ἐκ φθορᾶς, τὸ γένος ἡμῶν.

Ἀποστ. τὸ. προσόμ. τῆς ἑορτῆς. Ἦχος πλ. β'. α.

Χαίροις ἀσκητικῶν.

Μάγοι ἀνατολῶν Βασιλεῖς, τῷ ἐκ Παρθένου Βασιλίδος ἐκλάμψαντι, ἀπάντων Θεῷ καὶ Κτίστῃ, καὶ Βασιλεῖ ἀληθεῖ, δῶρα προσκυνοῦντες προσεκόμισαν. πρὸς οὓς ἡ Πανάμωμος, ἐκπλαγεῖσα ἐφθέγγετο. εἶπά τε δῆμοι, οἱ τὸ πῦρ σεβαζόμενοι, καὶ τὸν Ἥλιον, καὶ ἐν σκότει βαδίζοντες, πῶς τὸν ὑπερκατάληψιν, φωτίζοντα τὰ σύμπαντα, ἔγνωτε σάρκα λαβόντα καὶ ἐν σπηλαίῳ τικτόμενον; ἐν γῇ καὶ δι' οἶκτον, παρεχόμενον τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

τὸ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Λόγοις ἀκολουθοῦντες ἡμεῖς, τοῦ Βαλαὰμ πρὸς τὴν Ἀγγέλων ἀπεκρίθησαν, οἱ Μάγοι, παρετηροῦμεν, ἀνατολὴν καθαροῦ, καὶ λαμπροῦ Ἀστέρος, προσγενήσεσθαι, καὶ δὴ θεασάμενοι, ἀσυνήθη φαινόμενον. τοῦτον ἀρτίως, ὑπ' αὐτοῦ ὁδηγούμενοι, οὐκ ὠκνήσαμεν, τὴν πορείαν ποιήσασθαι. τίς οὖν ὁ ταῖς ἀγκάλαις σου, ὡς βρέφος κρατούμενος; πῶς μυστηρίῳ ἐν τούτῳ, καθυπουργῆσαι ἠξίωσαι, Σεμνὴ Παναγία; δι' οὗ εὕρατο ὁ Κόσμος, τὸ μέγα ἔλεος.

τὸ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.

Λέξω πυνθανομένοις ὑμῖν, τὰ ὑπὲρ λόγον καὶ διάνοιαν ἅπασαν, ἡ Κόρη φησί

ὡς τοῖς Μάγοις, βλέπων γὰρ γράσει ὑμᾶς, ἀφικέσθαι ὧδε τοῦ παιδίου μου. καινὰ καὶ παράδοξα, ὡς ὁρᾶτε τὰ πράγματα. ὁ γὰρ ἀχρόνως, τῷ Πατρὶ συνυμνούμενος, τὴν πτωχείαν μου, ἑκουσίως ἐφόρεσεν. ὅπως καταπλουτίσειεν, τοὺς γνώμῃ πτωχεύσαντας, καὶ Παραδείσου τὴν θείαν, διαγωγὴν ἀπολέσαντας. αὐτὸς οὗτος ἐστὶν, ὁ δωρούμενος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, Ὅμοιον.

Βρέφος σωματωθὲν ἐξ αὐτῆς. τὸν προαιώνιον Θεὸν ἡ Παναμώμητος, ὁρῶσα, χερσὶ κρατοῦσα, καταφιλοῦσα πυκνῶς, καὶ χαρᾶς πλησθεῖσα, προσεφθέγγετο αὐτῷ. Θεὲ ὕψιστε, Βασιλεῦ ἀθεώρητε, πῶς καθορῶ σε, καὶ νοεῖν τὸ μυστήριον, οὐ δεδύνημαι, τῆς ἀμέτρου πτωχείας σου; σπήλαιον γὰρ σμικρότατον, καὶ τοῦτο ἀλλότριον, ἔνδον χωρεῖ σε τεχθέντα, καὶ Παρθενίαν μὴ λύσαντα, μήτραν συντηροῦντα, ὡς πρὸ τόκου, καὶ διδόντα, τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὅμοιον.

Φέρεις Ἀδαμιαίαν μορφὴν, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων παντέλειος. καὶ θέλεις χερσὶ κρατεῖσθαι, ὁ τῇ χειρὶ τοῦ παντὸς, περιδεδραγμένος δυναστείᾳ σου, Ἁγνὴ ἡ Παναμώμητος προσεφθέγγετο χαίρουσα, πῶς σε σπαργάνοις, ἐνειλίσσω ὡς Νήπιον; πῶς θηλάσω σε, τὸν τὰ σύμπαντα τρέφοντα; πῶς σου τὴν ὑπὲρ ἔννοιαν, πτωχείαν θαυμάσωμαι; πῶς σε Υἱόν μου καλέσω; δούλη σου νῦν χρηματίζουσα. ὑμνῶ εὐλογῶ σε, τὸν δωρούμενον τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. στιχολ. καθισμ. τῆς ἑορτῆς. Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ὁ ἀχώρητος παντὶ, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρὸς, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν, ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν. ἄσαρκος γὰρ ὢν, ἐσαρκώθη ἑκὼν, καὶ γέγονεν ὁ ὢν, ὅπερ οὐκ ἦν δι' ἡμᾶς, καὶ μὴ ἐκστὰς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος. διπλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, Κόσμον θέλων ἀναπληρῶσαι.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Εἰς τὴν β'. στιχολ. καθισμ. Ὅμοιον.

Τί θαυμάζεις Μαριάμ; τί ἐκθαμβεῖσαι τὸ ἐν σοί; ὅτι ἄχρονον Υἱὸν, χρόνῳ ἐγέννησα φησὶ, τοῦ τικτομένου τὴν σύλληψιν μὴ διδαχθεῖσα. ἄνανδρος εἰμὶ, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν, τίς ἑώρακεν; ὅπου Θεὸς δὲ βούλεται, νικᾶται φύσεως τάξις, ὡς γέγραπται. Χριστὸς ἐτέχθη, τὴν πρὶν κατάραν, τοῦ Ἀδὰμ θέλων λῦσαι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. Κανὼν τῆς ἑορτῆς, εἷς. Καὶ τῆς Ἁγίας Ἀμμουσίας, καὶ τῆς Ὁσίας Μελάνης. ὁ Κανὼν τῆς Ἁγίας Ἀμμουσίας.

Ὠδὴ α'. Ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Υμνοῦντί σου τὴν φωτοφόρον μνήμην σου, φῶς μοι καταπέμψον, ὡς τῷ Πατρὶ τῶν φώτων ἐν χαρᾷ, παρεστῶσα Παμμάκαρ, τὴν τῶν παθῶν μου θύελλαν, ταῖς προσευχαῖς ἀποδιώκουσα.

Ἀσκήσει τὴν ψυχικὴν νεώσασα, Θεόφρων ἄρουραν, τοῦ μαρτυρίου στάχυν γεωργεῖς, ὑποθήκαις τηρούμενον τῷ τῇ ἰσχύϊ σοι πλουτήσαντι, Παρθενομάρτυς ἀξιάγαστε.

Χειρί σου πλουσιωτάτῃ νείμασα, πλοῦτον ἐπίκηρον, πλουτοποιὸν ἐκέρδησας ζωὴν, μηδαμῶς διαῤῥέουσαν, καὶ θησαυρὸν ἀκήρατον, Μάρτυς καὶ δόξαν ἐπουράνιον.

Θεοτ.

Ἐκ σοῦ τῆς Ὑπεραγίας σήμερον, ὁ τοῦ παντὸς Ποιητὴς, σωματικῶς γεννᾶται καθ' ἡμᾶς, καὶ σπαργάνοις εἱλίσσεται, ὁ σπαργανώσας θάλασσαν, ὁμίχλῃ Μήτηρ Ἀειπάρθενε.

Ἕτερος Κανὼν, τῆς Ἁγίας Μελάνης. Ἦχος ὁ αὐτός.

Ἀνοίξω τὸ στόμα μου.

Παθῶν ἀμαυρότητι, μελανωθέντα με παντόθεν, λαμπρῶς ἀνακάθαρισον, ταῖς φωτοβόλοις εὐχαῖς, τῆς Ὁσίας σου, φαλαμπροῦσα τῆς Μελάνης, καὶ ταύτην γεραίροντι, λόγον μοι ἔμπνευσον.

Θερμῶς ἠκολούθησας, τῷ διὰ σὲ τὸν ἑκούσιον, Σταυρὸν ὑπομείναντι, ἐπ' ὤμων φέρου-



Digitized by Google

φέρυσα, Παμμακάριςε, προθύμως τὸν Σταυρόν σου, ἐν τούτῳ ἐφύλαξας, τὰ δικαιώματα.

Τομέων προσπάθειαν, ἐν τῆς σαρκὸς συμπάθειαν, τελείως ἐξέκλινας, μόνον ποθήσασα, τὸ ἐράσμιον, Χριςοῦ Θεόφρων κάλλος, ὃ πάντα ἐφίεται, λόγου μετέχοντα.

Κλοιὸν ἀπορρίψασα, τῆς σαρκικῆς συμβιώσεως, τὸν σύζυγον ἔπεισας, σὺν σοὶ τὸν θεῖον ζυγὸν, ἐπαυχένιον, ἐν φέρειν ἐν βαδίζειν, ὁδὸν τὴν εἰσάγουσαν, εἰς τὰς αὐλὰς μονάς.

Θεοτοκίον.

Πτωχάει ὁ πλούσιος, ἐμὲ πλουτίζων Θεότητι, κακῶς τὸν πτωχάσαντα, τῇ ἀκρασίᾳ μου, καὶ ὁ ἄναρχος, ἀρχὴν ἰδοὺ λαμβάνει, Παρθένου τικτόμενος, ἁγνῆς θεόπαιδος.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Τοῦ κάλλους σου τῆς ψυχῆς, ὁ Ποιητής σου ἐρασθεὶς, νύμφευσε, ὄντως καλὴν ἐν ἄμωμον, Μάρτυς ἑαυτῷ συνηγάγετο.

Τοῦ πάθους τοῦ ἀπαθοῦς, τοῦ νεκρωθέντος δι' ἡμᾶς νέκρωσιν, Μάρτυς σεμνὴ ςέργουσα, τὸν μαρτυρικὸν θνήσκειν θάνατον.

Ως θῦμα Πνευματικὸν, ὡς ἱερεῖον καθαρὸν τέλειον, σοὶ τῷ Θεῷ προσήγεται, ἡ τὸν σὸν Σταυρὸν ἀγαπήσασα.

Θεοτοκίον.

Χωρεῖον χωρητικὸν, τοῦ ἀχωρήτου πλαςουργοῦ πέφηνας, τοῦτον σαρκὶ χωρήσασα, Κεχαριτωμένη Πανάμωμε.

Ἄλλος. Οὐκ ἐν σοφίᾳ.

Τῆς πρὸς τὰ κάτω, ἀποςᾶσα ῥοπῆς, ὅλην δέδωκας, τὴν ῥοπὴν πανόσεβῶς, τῆς προαιρέσεως ἔνδοξε, μόνα πρὸς τὰ μένοντα, ἐν αἰωνίζοντα.

Καὶ φθεγγομένη, ἐν σιγῶσα ἐδείχθης παραίνεσις, ἀςηρίκτων ςηριγμὸς, μαραινόντων ὑποτύπωσις, Μελάνη πανένδοξε. ὅθεν ὑμνοῦμέν σε.

Τῇ σιωπηρίᾳ, τῶν ἀχῶν τὰς αἰσθήσεις ἐρύθμισας, ταῖς τοῦ Πνεύματος αὐγαῖς, φωτοειδὴς ὅλη γέγονας, ἐν σώματι ἄϋλον, βίον ζηλώσασα.

Θεοτοκίον.

Ο πτεριβάλλων, Οὐρανοὺς ἐν νεφέλαις βυλήματι, σπαργανοῦται βληθεὶς, χερσὶ Παρθένου ὡς Νήπιον, χειρὸς ἀφαρπάζων με, τοῦ πολεμήτορος.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Κατὰ παθῶν τῶν τῆς σαρκὸς βασιλεύσασα, διὰ παθῶν, ζωοποιῶν ἐβασίλευσας. ἐκ τοῦ οἰκείου αἵματος φοινίξασα σεμνὴ, χλαῖναν ἀδιάφθορον, εὐσεβῶς Ἀρσυσία. ὅθεν τῷ παντάνακτος, Νύμφη ἄμωμος ὤφθης. ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας, ἐν πίςει τὴν ἔνδοξον μνήμην σου.

Δόξα. τῆς Ὁσίας Μελάνης. Ἦχος ὁ αὐτός.

Ταχὺ προκατάλαβε.

Τὰ θεῖα προςάγματα, ἐπιτελοῦσα σεμνὴ, ἐσκόρπισας ἔδωκας, τὰς μυριάδας τὰς σὰς, χρυσίου τοῖς πένησιν. ἄρασα δὲ ἐπ' ὤμων, τὸν Σταυρόν σου Μελάνη, ἅμα τῷ σῷ συζύγῳ, ἠκολούθησας πίςει, Χριςῷ τῷ ςαυρωθέντι σαρκὶ, καὶ μόνῳ Θεῷ ἡμῶν.

Καὶ νῦν. τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν πιςοὶ, ποῦ ἐγεννήθη ὁ Χριςός. ἀκολουθήσωμεν λοιπὸν, ἔνθα ὁδεύει ὁ ἀςήρ. μετὰ τῶν Μάγων ἀνατολῆς τῶν Βασιλέων. Ἄγγελοι ὑμνοῦσιν ἀκαταπαύςως ἐκεῖ. Ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον. δόξα ἐν ὑψίστοις λέγοντες, τῷ σήμερον ἐν τῷ σπηλαίῳ γεννηθέντι, ἐκ τῆς Παρθένου ἐν Θεοτόκου· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Ζωηφόροις σου τοῖς χρεσὶ πεπομένη, λόγχη πλευρὰν τιτρώσκεται, ἐν τὴν ςρεφομένην, ἀβλαβῶς παρέρχεται, ῥομφαία ἡ δούλη σου, Δέσποτα Χριστὲ ἀνυμνοῦσά σε.

Μαρτυρίου διαλάμπουσα λαμπηδόσι, ἐν ἀφθαρσίας στέφανον ἀναδησαμένη, χαίρουσα παρίςασαι, Χριςῷ τῷ Νυμφίῳ σου, Μάρτυς Ἀρσυσία Πανεύφημε.

Τὸν πτερνίσαντα ἀπάτῃ τὴν πρώτην Εὔαν, μαρτυρικαῖς ἐνςάσεσι, πτέρ-

σα-

Digitized by Google

σα καθεῖλες, δείξασα ἀνίσχυρον, καὶ χαίρουσα ἔκραζες, δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ὁ τὰς ἀΰλους οὐσίας δημιουργήσας, σωματικῶς ὡς ἄνθρωπος, ἐκ σοῦ Θεομῆτορ, σήμερον γεγέννηται. αὐτῷ μελῳδήσωμεν, δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐγκρατείᾳ τὰς ὀρέξεις, τῆς σαρκὸς θανατώσασα, τὴν ζωὴν τῶν ὅλων, ἔχεις ἐνοικοῦσάν σοι Πάνσεμνε. πρὸς ἣν ἐκ γῆς μεταστᾶσα, κατεσκήνωσας, βασιλείας τῆς ἐν Οὐρανῷ ἀπολαύουσα.

Τὰς πολλάς σου μυριάδας, τῷ χρυσοῦ διένειμας, πενομένοις ὄντως, ταύτας θησαυροῖς ἐναπέθηκας, παλαιουμένοις μηδέποτε. εἰς αἰῶνα δὲ, συντηροῦσί σου, τὴν διαρκῆ μονιμότητα.

Συμπαθείας σου ὁ πλοῦτος, ποταμὸς ὥσπερ γέγονε, κατάρδων πᾶσαν, πένητος ἀοίδιμε ἔνδειαν, ῥύπον ἐκπλύνων πτωχείας, ὄλβον ἄσυλον, προξενῶν σοι, τὸν ἐν Οὐρανοῖς μὴ κενούμενον.

Θεοτοκίον.

Ταῖς ὁρμαῖς καθυποκύψας, τῶν παθῶν ὥσπερ ἄλογος, λογικὸς ὑπάρχων, παρεσυνεβλήθην τοῖς κτήνεσιν. ἀλλ' ἡ τὸν Λόγον τεκοῦσα, τὸν ἀΐδιον, μὴ παρίδῃς με, διαπαντὸς ἀπολλύμενον.

Ὠδὴ ε΄. Σὺ Κύριε μου φῶς.

Σὲ Κύριε πηγὴν, Σωτηρίου γινώσκουσα, ποτήριον Μαρτυρίου, ἀδιστάκτῳ καρδίᾳ, ἡ Μάρτυς σου ἐξέπιεν.

Ὡς δάμαλις Χριστοῦ. ὡς θεόδεκτον σφάγιον. ὡς ἄμωμον ἱερεῖον, Ἀθληφόρε Κυρίου, ἱκέτευε σωθῆναι ἡμᾶς.

Φῶς γέγονας φωτὶ, τῷ μεγάλῳ τρανώτερον, ἐγγίζουσα καὶ φωτίζεις, φωτοφόρον τὴν μνήμην, τὴν σὴν τοὺς ἑορτάζοντας.

Θεοτοκίον.

Ῥύστις ἐστὶ τῆς φθορᾶς, ἡ Παρθένος ἀσπόρως γὰρ, γεγέννηκε τὸν τὴν φύσιν, τῶν ἀνθρώπων φθαρεῖσαν, φθορᾶς ἐλευθερώσαντα.

Ἄλλος. Ἀσεβεῖς οὐκ ὄψονται.

Τὰς ἀμόρφους τέλεον, ἰδέας τῶν παθῶν, ἐκ ψυχῆς ξέσασα Σεμνὴ, ἐγκρατείας χρώμασι, διεζωγράφησας, ἐν αὐτῇ ἀπάθειαν, καὶ ἀγάπην ἀνυπόκριτον.

Τηλαυγὲς ὡς ἔσοπτρον, ὑπάρξασα Σεμνὴ, διαυγεῖς Πνεύματος Θεοῦ, διαδόσεις ἔνδοξε, ὑποδέδεξαι, καὶ πιστοὺς ἐφώτισας, τῇ λαμπρότητι τοῦ βίου σου.

Ἐγκρατείᾳ σβέσασα, παθῶν πυρκαϊὰν, τὸν πυρσὸν ἧψας τῆς ψυχῆς, ἐν παντὶ τῷ βίῳ σου, καταλαμπρύνοντα, καὶ τὰς ἀμαυρότητας, τῶν δαιμόνων ἐκκρουόμενον.

Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, Θεὸν Ἐμμανουὴλ, ἐν σπηλαίῳ τῆς Βηθλεέμ, τὴν Ἐδὲμ ἀνοίγοντα, πάλαι κλεισθεῖσάν μοι, ἀκρασίᾳ βρώσεως, καὶ ἀπάτῃ τῇ τοῦ ὄφεως.

Ὠδὴ ς΄. Θύσω σοι, μετὰ φωνῆς.

Ἀνδρεῖον, γυναικείῳ ἐν σώματι φρόνημα, ἀναλαβοῦσα πρὸς πάλην, δυσμενῶν ἀσάρκων Μάρτυς ἐξῆλθες, καὶ ῥομφαίᾳ, ὑπομονῆς αὐτοὺς ἐθανάτωσας.

Αἱμάτων, τῇ πλημμύρᾳ θαλάσσας ἐξήρανας, κακοπιστίας, Χριστοῦ δὲ, τὴν σεπτὴν κατήρδευσας Ἐκκλησίαν, Ἀνυσία, Ἀθλοφόρων Παρθένων τὸ καύχημα.

Ἀβρόχως, τῶν ἀγώνων διῆλθες κλυδώνιον, κυβερνωμένη παλάμῃ, τοῦ τὰ πάντα λόγῳ πεποιηκότος, καὶ πρὸς ὅρμον, Σωτηρίας Παρθένε κατήντησας.

Θεοτοκίον.

Ὁ πλάσας, κατ' εἰκόνα ἰδίαν τὸν ἄνθρωπον, διὰ πολλὴν εὐσπλαγχνίαν, ἀναπλάττει τοῦτον ἐκ σοῦ Παρθένε, Θεομῆτορ, ὁλοκλήρως αὐτὸν ἐνδυσάμενος.

Ὁ αὐτός.

Ἀβρόχως, τὸ τοῦ βίου διῆλθες κλυδώνιον. ἀκαταπόντιστος ὅθεν, εἰς λιμένα ἄκλυστον καθωρμίσθης, καὶ τῆς ὄντως, ἀπολαύεις γαλήνης ἀοίδιμε.

Ἐπὶ θῆρσι, τοῦ θερμοῦ σου πρὸς Κύριον ἔρωτος, πεπυρωμένα τὰ βέλη, κατεφλέχθη πάντα τῆς ἁμαρτίας, καὶ δαιμόνων, κακουργία εἰς τέλος ἠφάνισται.



Digitized by Google

Ὁ μῦς σε, πρὸς τὸ κρεῖττον ἑνώσει θέμενος, τῆς πρὸς τὴν σάρκα φιλίας, διεζεύχθη μάσει παντοδυνάμῳ. διὰ τοῦτο, τῆς ἀσκήσεως πόνους ὑπέφερες.

Θεοτοκίον.

Θεοῖμε, γεννηθεὶς ἐκ Παρθένου ὁ Κύριος, καὶ σπαργανοῦται τὴν λύσιν, τῶν ἐμῶν ποιούμενος ἐγκλημάτων, καὶ χωρεῖται, ἐν σπηλαίῳ ὁ πᾶσιν ἀχώρητος.

Κοντάκιον. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Καταυγασθεῖσα τὴν ψυχὴν φρυκτωρίαις, τοῦ ἀναλάμψαντος ἡμῖν ἐκ Παρθένου, ἐν ἀρεταῖς διέλαμψας Πανεύφημε. πλοῦτον γὰρ σκορπίσασα, ἐπὶ γῆς ἐφθαρμένον, ἐναπεθησαύρισας, τὸν Οὐράνιον πλοῦτον, καὶ ἐν ἀσκήσει ἔλαμψας φαιδρῶς. ὅθεν Μελάνη, σὲ πόθῳ γεραίρομεν.

Ὁ Οἶκος.

Φυγοῦσα Κόσμου τὰ τερπνὰ, χρυσοῦ τὰς μυριάδας ἐσκόρπισας πλουσίως, εἰς χεῖρας τῶν πενήτων, ἀποθεμένη εὐσεβῶς. τόπους δὲ τοὺς θείους διαδραμοῦσα, τοῖς πᾶσι τὰ πάντα γέγονας, βίον διελθοῦσα ἰσάγγελον. πᾶσιν ἐπαρκοῦσα τῷ ἐλαίῳ τῆς ἀποιΐας, φαιδρύνουσα τὴν ψυχικὴν λαμπάδα, εἰσῆλθες σὺν Χριστῷ πρὸς θεῖον νυμφῶνα, βασιλείας τῆς αὐτοῦ κατατρυφῶσα. ὅθεν Μελάνη, σὲ πόθῳ γεραίρομεν.

Τῷ αὐτῷ Μηνὶ Λ'. Μνήμη τῆς Ἁγίας Μάρτυρος Ἀνυσίας, τῆς ἐν Θεσσαλονίκῃ.

Στ. Εἰς δεξιὰν νύττουσι πλευρὰν καιρίως.
Πλευρᾶς Ἀδὰμ κύημα τὴν Ἀνυσίαν.
Πλευρὰν Ἀνυσίας τριακοστῇ ἔγχος ἔνυξεν.

Αὕτη ἦν ἐπὶ τῆς Βασιλείας Μαξιμιανοῦ, ἐκ Πόλεως Θεσσαλονίκης, Γεννήτορας ἔχουσα εὐσεβεῖς καὶ πιστοὺς, καὶ περιουσίαν πολλὴν κεκτημένους. ὧν τελευτησάντων, αὕτη κατὰ μόνας ἦν, διὰ βίου καὶ πράξεως, εὐαρεστοῦσα τῷ Θεῷ. ἣν ἀπερχομένην κατὰ τὸ ἔθος εἰς τὴν Ἐκκλησίαν, στρατιώτης τίς, τοῖς εἰδώλοις προσκείμενος, κατέσχεν αὐτὴν, ἐπὶ τοὺς βωμοὺς ἕλκων καὶ ἀνθέλκων αὐτὴν, καὶ προτρεπόμενος μᾶλλον τοῖς δαίμοσι σπονδὰς προσενεγκεῖν. τῆς δὲ, τὸν Χριστὸν ὁμολογούσης, ὁ στρατιώτης θυμοῦ πλησθεὶς, (καὶ γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ ἡ Ἁγία Μάρτυς ἐνεφύσησε καὶ ἐνέπτυσε,) κατὰ τῆς πλευρᾶς αὐτῆς διελαύνει τὸ ξίφος, καὶ οὕτω τὸ μακάριον τέλος ἡ ἀοίδιμος Μάρτυς ἐδέξατο.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ὁσίας Θεοδώρας, τῆς ἀπὸ Καισαρείας.

Στίχ. Ἀπῆρε δεσμοῦ σαρκὸς ἡ Θεοδώρα,
Οὗπερ λυθῆναι, ζῶσα καὶ πρὶν ἠγάπα.

Αὕτη ἡ Ὁσία ἤσκησεν ἐν τῇ Μονῇ τῆς Ἁγίας Ἄννης, τῇ λεγομένῃ Ῥιγίδιον. ὑπῆρχε δὲ ἐπὶ τῆς Βασιλείας Λέοντος, πατρὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου, γένους οὖσα λαμπροῦ καὶ ἐνδόξου. Πατρὸς μὲν, ὀνόματι Θεοφίλου, Πατρικίου τὴν ἀξίαν, Μητρὸς δὲ Θεοδώρας. αὕτη ἡ Θεοδώρα, ἐν πολλοῖς ἔτεσι τὴν στείρωσιν ἀποδυρομένη, καὶ τὸν Θεὸν ἱκετεύουσα, καὶ τὴν Ὑπεραγίαν Θεοτόκον, δέχεται τὴν χάριν οὐρανόθεν, ταύτην κομισάσης τῆς Ἁγίας καὶ τιμίας Ἄννης, τῆς Μητρὸς τῆς Θεοτόκου. τεχθεῖσα τοιγαροῦν ἡ Νεᾶνις, καὶ εἰς μέτρον ἡλικίας φθάσασα, προσάγεται τῷ Ναῷ τῆς Ἁγίας Ἄννης, καὶ τῷ μοναχικῷ εἰσδέχεται ὡς θεῖον ἀνάθημα. θεοσεβῶς δὲ ῥυθμιζομένη παρὰ τῆς Προεστώσης, ἐκδιδάσκεται καὶ τὰ ἱερὰ γράμματα. τῆς δὲ τιμίας παιδὸς καλῶς πολιτευομένης, οὐκ ἤνεγκεν ὁ πονηρὸς Δαίμων ὁρᾷν ἑαυτὸν ὑπὸ ταύτης πατούμενον. ἀλλ' ἐξήγειρε τὸν θεομάχον Λέοντα τὸν βασιλέα, ἀγαγέσθαι ταύτην εἰς γυναῖκα Χριστοφόρῳ τῷ υἱῷ αὐτοῦ, ὃν Καίσαρα ἀνηγόρευσε. καὶ βίᾳ καὶ τυραννίδι ταύτην ἀποσπάσας τῆς Μονῆς, καταλαβεῖν τὴν Κωνσταντινούπολιν κατηνάγκασεν. ἀχθείσης δὲ αὐτῆς, τὰ τοῦ γάμου αἴσια ἐπ' αὐτῇ τελοῦνται, καὶ πάσας πήγνυται. ἀλλ' ὁ μὲν ἐκείνου σκοπὸς, τοιοῦτος. ὁ δὲ Θεὸς, ὁ τὸν Αἰγύπτιον πάλαι δειματώσας λυττῶντα κατὰ τῆς Σάρρας, ὥσπερ τὸν Ἀβιμέλεχ τῆς Ῥεβέκκας... Ῥιψιμίας καταγωνισάμενος, αὐτὸς καὶ ταύτην ἀμόλυντον διασώζει ἐκ τῆς κοινωνίας καὶ συναφείας τοῦ μνηστῆρος. παρὰ δόξαν γὰρ τῶν Σκυθῶν ἐπιστρατευσαμένων ἐν τῇ Ἑσπέρᾳ,

ωτέρᾳ, ἐν τάχει ἀποστέλλεται ὁ νυμφίος, ἀντιπαραταξάμενος τοῖς βαρβάροις. ὃς καὶ κατὰ τὴν πρώτην προσβολὴν, παραπέμπεται τῷ θανάτῳ. τότε πληροφορίαν λαβοῦσα ἡ ἀκήρατος ἀμνὰς Θεοδώρα, καὶ τοὺς ἐν τῷ παλατίῳ λαθοῦσα πάντας, χρυσόν τε καὶ ἄργυρον καὶ μαργαρίτας, καὶ ἱματισμὸν λαβοῦσα πολυτελῆ, καὶ ἐν πλοίῳ εἰσελθοῦσα, πρὸς τὴν Μονὴν ἐπανῆλθε, χαίρουσα καὶ εὐχαριστοῦσα τῷ τῶν ὅλων Θεῷ. ὡς δὲ ἐγνώσθη τὰ κατ' αὐτὴν, ἐλθὼν ὁ δεύτερος υἱὸς τοῦ θηριωνύμου, καὶ ὁρῶν αὐτὴν κεκαρμένην, καὶ ῥακώδη ἱματισμὸν ἠμφιεσμένην, Θεοῦ προνοίας συνεργησάσης, ἀφῆκεν αὐτὴν, καὶ τελείας λαβομένη ἀδείας καὶ ἐλευθερίας, ἐπὶ τοσοῦτον τὴν σάρκα κατεδάμασεν, ὥστε τὰς τῶν ὀστέων αὐτῆς ἁρμονίας καθορᾶσθαι. τροφὴ δὲ ἦν αὐτῇ ἄρτου οὐγγία μία. καὶ οὕτως, διὰ δύο, ἢ καὶ τριῶν ἡμερῶν, καὶ ὕδωρ ἕτερον. τὸ δὲ ἔνδυμα, εἶχεν ἕν, καὶ τοῦτο τρίχινον. ἥτε στρωμνὴ αὐτῆς ἄνωθεν μὲν τριχίνῳ ῥάκει περιεκεκάλυπτο, κάτωθεν δὲ, λίθοι ὑπεστρωμένοι. καὶ οὕτω τὸν τῆς ἀγρυπνίας πικρότατον ὕπνον ἐξετέλει πολλάκις καὶ διὰ πάσης τῆς νυκτὸς ἦν ἀγρυπνοῦσα. οὐ τούτοις δὲ μόνον ἠρκέσθη τοῖς παλαίσμασιν, ἀλλὰ καὶ σιδήροις τὴν σάρκα καθηλώσασα. οὕτως αὐτῆς τὰ μέλη κατεδαπάνησεν, ὥστε καὶ ἐμπνοὴν δυσώδη ἐκ ταύτης ἀποπέμπεσθαι. οὕτως οὖν ἐπὶ πλείστους χρόνους παντοίων ἀρετῶν ἰδέαις ἐνδιαπρέψασα, πρὸς τὴν ἀγήρω, καὶ μακαρίαν ζωὴν μετατίθεται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Φιλεταίρου.

Στίχ. Φιλέταιρος πέπονθεν, Ἀθλητῶν νόμῳ.
Κἂν οὐκ ἀπῆλθεν, ὡς Ἀθλητὴς ἐκ βίου.

Τοῦ Διοκλητιανοῦ ποτὲ ἐλθόντος ἐν Νικομηδείᾳ, ἐμηνύθη αὐτῷ περί τινος Χριστιανοῦ Φιλεταίρου. καὶ ἀποστείλας εὐθὺς παρέστησεν αὐτὸν ὁ Βασιλεὺς, καὶ κατεπλάγη μόνῃ τῇ θέᾳ. ἦν γὰρ ὁ Ἅγιος μέγας τῇ ἡλικίᾳ, καὶ εὐειδής. ἡ δὲ θρὶξ τῆς κεφαλῆς αὐτοῦ, καὶ ὁ πώγων, ἐν ἀληθείᾳ, ὥσπερ χρυσὸς ἦν ἐκστίλβων. ὅθεν καὶ Θεὸν αὐτὸν ἀπεκάλεσε, καὶ οὐκ ἄνθρωπον· λέγει δὲ πρὸς αὐτόν· εἰπὲ ἡμῖν, πόθεν εἶ, καὶ τί σου τὸ ὄνομα, καὶ τί τὸ ἐπιτήδευμα; καὶ ὁ Ἅγιος· ταύτης τῆς Νικομηδέων εἰμὶ Πόλεως, γέννημα καὶ θρέμμα, Υἱὸς ὑπάρχω γεγονὼς Χριστιανοῦ. ὄνομα δέ μοι Φιλέταιρος. τοῦτε ὁ Βασιλεὺς τὸν Ἅγιον προσκαλεσάμενος, καὶ κολακεύσας, ἤρξατο ῥήματα βλάσφημα ἀποφθέγγεσθαι κατὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ τοῦ Ἁγίου εὐθὺς εἰς Οὐρανὸν τὸ ὄμμα συντείναντος, καὶ ἐμφραχθείη τὸ στόμα εἰπόντος, τοῦ κατὰ Χριστοῦ μου τὰ βλάσφημα λέγοντος, βροντὴ τοιαύτη καὶ σεισμὸς γέγονεν, ὥστε τὸν Βασιλέα συγκεχομένον γενέσθαι σὺν τοῖς περὶ αὐτόν. τοίνυν καὶ εἰς κάμινον, σφοδρῶς ἐκκαυθεῖσαν, ἐμβάλλεται. προσευξάμενος δὲ, καὶ τὴν κάμινον διασκορπίσας, καὶ παντελῶς σβέσας, ἐξῆλθεν ἀσινής. διὸ καὶ ὁ Βασιλεὺς αἰδεσθεὶς, ἕνεκεν τοῦ κάλλους αὐτοῦ καὶ τοῦ γένους, πλέον δὲ, δι' ἃ πεποίηκε θαυμάσια. ἀπέλυσεν αὐτὸν, ἄνετον διάγειν, ὅπου ἐὰν ἐθέλῃ καὶ βούληται. Βασιλεύσαντος δὲ μετὰ τοῦτον ἐν Νικομηδείᾳ Μαξιμιανοῦ, διεβλήθη ὁ Ἅγιος πρὸς αὐτόν. καὶ παραστὰς, ὡμολόγησε τὸν Χριστὸν, Θεὸν ἀληθινὸν, καὶ τοῦ παντὸς Ποιητήν. καὶ πρῶτον μὲν, ῥάβδοις τύπτεται, καὶ τῶν δημίων ἀτονησάντων, καὶ κατὰ γῆς πεσόντων ὡς ἡμιθνήτων. ἐῴκει γὰρ, ὡς ἐν ἀλλοτρίῳ σώματι πάσχειν, ὑπὸ Χριστοῦ δυναμούμενος. εἶθ', οὕτως ἀναρτηθεὶς, ξέεται ἐπὶ τοσοῦτον, ὡς καὶ παραπλήσια τοῖς προτέροις τοὺς ξέοντας ὑποστῆναι. καὶ μετὰ ταῦτα θηρίοις ἐκδίδοται. καὶ τῶν θηρίων κυλιομένων παρὰ τοὺς πόδας αὐτοῦ τοῦ Ἁγίου, εἰς τὸν Ναὸν ἄγεται προσκυνήσων τοῖς εἰδώλοις. ἃ καὶ δι' εὐχῆς συντρίψας, καὶ τὴν διὰ ξίφους τελείωσιν τοῦ Μαρτυρίου, ἀποφηναμένου τοῦ Βασιλέως, παραχρῆμα ἀπεξηράνθη τὴν χεῖρα ὁ δήμιος. καὶ ἕτερος τὴν σπάθην λαβὼν, ἐκτείνας ταύτην κατὰ τοῦ Ἁγίου, τὰ ὅμοια πέπονθεν. εἶτα βάλλεται ἐν φυλακῇ, καὶ αὖθις ἐξετασθεὶς, σιδήροις κατεδεσμεύθη. ὡς δὲ εἶδεν ὁ Βασιλεὺς, μὴ δ' ὅλως κυριευόμενον αὐτὸν, εἰς Προκόννησον ἐξώρισε. καὶ δέσμιος περιαγόμενος, καθ' ὁδὸν θαύματα οὐκ ὀλίγα ἐποίει,

Digitized by Google

ποιεῖ, Δαίμονας διώκων, λεπροὺς ἀποκαθαίρων, καὶ πᾶν ἑτερομιγὲς νόσημα θεραπεύων. Εἴδωλα λόγῳ μόνῳ ἀφ' ὕψους καταράσσων, καὶ εἰς χοῦν καὶ ὕδωρ μετασκευάζων. καὶ δέσμιος ἐν Νικαίᾳ γενόμενος, καὶ προσψαύσας Εἰδωλικῷ ναῷ περιβοήτῳ, εὐθέως ἐκ θεμελίων ἅπας συμπεσὼν, συνετρίβη. καὶ διὰ τῶν τοιούτων σημείων, πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ. προσῆλθε δὲ τῷ Χριστῷ καὶ ὁ Κόμης, καὶ οἱ σὺν αὐτῷ Στρατιῶται. ὡς δὲ πρὸς τὰ μέρη τῆς Σιγριανῆς ἔφθασεν ὁ Ἅγιος, καὶ ἐκεῖσε πολλὰ εἰργάσατο θαυμάσια, εἶπον οἱ ἐκεῖσε τῷ τε Ἁγίῳ, καὶ τῷ Ἄρχοντι. ὅτι ἐστὶν ὧδε ἔγγιστα ἡμῶν ἄνθρωπός τις, Εὐβίωτος τοὔνομα, Χριστιανὸς, ποικίλα δεινὰ καὶ διάφορα ὑπομείνας διὰ τὸν Χριστὸν παρὰ τοῦ Ἄρχοντος, ἀδάμας καὶ γενναῖος, καὶ ἀβλαβὴς διαφυλαχθεὶς, καὶ σημεῖα ἐξαίσια ποιῶν. ὡς οὖν ταῦτα ἤκουσεν ὁ Ἅγιος Φιλέταιρος, ἦλθε θεάσασθαι τοῦτον. ὅθεν καὶ Ἄγγελος Κυρίου πρὸς τὸν Μακάριον Εὐβίωτον ἀπελθὼν, εἶπεν. ἔξελθε τοῦ κελλίου σου μικρὸν, καὶ δεῦρο εἰς τόνδε τὸν τόπον, εἰς συνάντησιν Φιλεταίρου τοῦ συμμάρτυρός σου. ὁ δὲ εὐθέως ἐξελθὼν, κατήρχετο ἀπὸ τοῦ Ὄρους τῆς Σιγριανῆς. ὁ δὲ Ἅγιος Φιλέταιρος ὁδηγηθεὶς πρὸς τὴν εἰς τὸν Ἅγιον Εὐβίωτον ὁδὸν παρά τινος Ἐγχωρίου, ἀνήρχετο πρὸς τὸ Ὄρος τῆς Σιγριανῆς, μετὰ τοῦ Κόμητος, καὶ τῶν ἓξ Στρατιωτῶν, τῶν πιστευσάντων, καὶ βαπτισθέντων, καὶ σὺν αὐτῷ μελλόντων εἶναι. καὶ μικρὸν προσαναβάντες, ὁρῶσι τὸν Μακάριον Εὐβίωτον, πρὸς αὐτοὺς κατερχόμενον. καὶ ἀσπασάμενοι ἀλλήλους, καὶ χαρᾶς πολλῆς πλησθέντες, εὐφρανθέντες τε, ἀνῆλθον ὁμοῦ εἰς τὸ τοῦ Ἁγίου Εὐβιώτου οἰκίδιον. καὶ προσμεινάντων ἐκεῖσε ὁμοῦ ἡμέρας ἑπτὰ, ἐκοιμήθη ὁ Μακάριος Φιλέταιρος, ὃν ὕπνον ἐπόθει. καὶ πρὸς τὸν ποθούμενον μετέστη Χριστὸν, εἰς χεῖρας αὐτοῦ τὴν ψυχὴν παραθείς. ἐκήδευσε δὲ αὐτὸν ὁ Μακάριος Εὐβίωτος εἰς τὸ ἑαυτοῦ καταγώγιον, ὡσαύτως δὲ ὅ, τε Κόμης, καὶ οἱ σὺν αὐτῷ ἓξ Στρατιῶται, κοιμηθέντες καὶ αὐτοὶ μετὰ ταῦτα, διὰ τῶν ἕνδεκα ἡμερῶν, ὧν ἐκεῖσε διεβίβασαν, καὶ ἐτέθησαν πλησίον τοῦ Ἁγίου. τὰ δὲ τοῦ Μακαρίου Εὐβιώτου, προεγράφησαν κατὰ τὴν ὀγδόην καὶ δεκάτην τοῦ ἐνεστῶτος Μηνός.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Λέων, ὁ Ἀρχιμανδρίτης, ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ῥᾷστα μεταστὰς, Χριστοῦ Λέων ἐκ βίου, Σκύμνον λέγοντος, ἐξ Ἰούδα σὲ βλέπει.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζʹ. Ὁ διασώσας ἐν πυρί.

Εὖ τὴν οἰκίαν τῆς ψυχῆς, Μάρτυς μονήτως ἱδρυμένην, ὁμολογίᾳ τοῦ Χριστοῦ, τῶν βασάνων συρράξαντες χείμαρροι, οὐδαμῶς παρεσάλευσαν, ὁ Θεὸς ἀναβοῶσα, εὐλογητὸς εἶ.

Δικαιοσύνης τὸν Χριστὸν, Ἥλιον γινώσκουσα Μάρτυς, οὐ κατεδέξω δυσσεβῶς ἐπιθῦσαι Ἡλίῳ κελεύοντος, τοῦ Τυράννου ἀλλ' ἔμελπες. Ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Ἐξ αἱμάτων ἱερῶν, βάψασα σαυτῇ ἁλουργίδα, νικητικῷ τὴν κεφαλὴν, διαδήματι Μάρτυς κατέστεψαι, καὶ Θεῷ νῦν παρίστασαι, Βασιλεῖ τῷ ἀθανάτῳ, εὐφραινομένη. Θεοτοκίον.

Ὁ σπαργανώσας Οὐρανὸν, νέφεσι τὴν γῆν δὲ ὁμίχλῃ, σοῦ ἐκ γαστρὸς ἀποτεχθεὶς, σπαργανοῦται, καὶ φάτνῃ προσκλίνεται, Θεομῆτορ Παναμώμε, πειρασμοὺ με διαλύων, τῶν ἐγκλημάτων. Ὁ αὐτός.

Ἐν τῷ συζύγῳ τὸν ζυγὸν, φέρουσα Χριστοῦ Θεοφόρε, κατενεώσατε εὐχῶν, τῷ ἀρότρῳ καὶ ψυχὰς, καὶ τὴν ἄρουραν, τῶν καλῶν γεωργήσαντες, ἐντρυφᾶτε εἰς αἰῶνας, τῆς ἄνω δόξης.

Ὡς ἐλαία ψαλμικῶς, οἴκῳ τοῦ Θεοῦ φυτευθεῖσα, καθιλαρύνεις μυστικῶς τὰς καρδίας, Ὁσία καὶ πρόσωπα, τῷ ἐλαίῳ τῶν πόνων σου, τῶν πιστῶς ἀνευφημούντων σου τοὺς ἀγῶνας.

Τῆς ἐγκρατείας δροσισμῷ, σβέσασα παθῶν τὰς καμίνους, τῇ ἐπομβρίᾳ τῶν εὐχῶν, ἰαμάτων πελάγη ἀνέβλυσας, παθημάτων ἐπήρειαν, κατακλύζοντα Μελάνη, τῶν σὲ τιμώντων.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Πόκον σε ἔφη ὁ Δαβὶδ, ὡς τὸν ὑετὸν δεξαμένην, τὸν ἐπουράνιον Ἀγνὴ, ἀνομίας χειμάῤῥους ξηραίνοντα, καὶ πιστοὺς κατάρδοντα, διανοίας χερσωθείσας τῇ ἁμαρτίᾳ.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Χήραις ὀρφανοῖς τε καὶ πτωχοῖς, καὶ πᾶσι χρήζουσι, πλοῦτον διανείμασα. τοῦ Παντοκράτορος στέργουσα, ἀδιάπτωτα προστάγματα, καὶ Μαρτυρίου τὸ σεπτὸν ζητεῖς ποτήριον, ὃ πιοῦσα, ἔστης Παρθένε Σεμνὴ τῆς ἐφέσεως.

Ὡς προῖκα προσῆξας τῷ Χριστῷ, νηστείαν δάκρυα, παθῶν τὴν νέκρωσιν, καὶ τὴν τοῦ αἵματος πρόσχυσιν. μὴ παλαιούμενον αὐτὸς, ὅθεν σοι στέφανον, καὶ παστάδα ἄφθορον νέμει, καὶ δόξαν ἀθάνατον.

Οἰκεῖς μετ' Ἀγγέλων ἐν φωτὶ, Παρθένων τάγμασι, δήμοις Μαρτύρων τε, συναγελάζουσα πρόσωπον, τοῦ νυμφίου σου πρὸς πρόσωπον, καὶ θεωροῦσα καὶ λαμπρᾶς, δόξης μετέχουσα, καὶ βοῶσα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Ἤδη νῦν ἐξέλιπε σαφῶς, ἐκ τῆς Ἰούδα φυλῆς, ἄρχων ἡγούμενος. σὺ γὰρ Παμάμωμε τέτοκας, τὰ αὐτῷ πρὶν ἀποκείμενα, τὴν προσδοκίαν τῶν ἐθνῶν, Χριστὸν ᾧ ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ναὸν τὴν καρδίαν καὶ τὸ σῶμα, Τριάδος τῆς ὑπερθέου ἐκτελέσασα, θείους ἀνεδόμησας, οἴκους ἀξιάγαστε. ἐν οἷς Παρθένων τάγματα, καὶ Μοναζόντων χοροὺς, συνήθροισας, ὑμνοῦντας συμφώνως, καὶ δοξολογοῦντας, Χριστὸν εἰς τοὺς αἰῶνας.

Φρονήσει ἀνδρείᾳ σωφροσύνῃ, καὶ θείᾳ δικαιοσύνῃ διαλάμπουσα, ἔσχες ἀνυψοῦσαν σε ὕψος πρὸς Οὐράνιον, ὑψοποιὸν ταπείνωσιν, δι' ἧς κατέβαλες, Ὁσία τὸν μεγάλαυχον ὄφιν· ὅθεν σε τιμῶμεν, ὡς ὄντως νικηφόρον.

Ἐλέῳ τὸν ἔλεον ἐκτήσω. ἐσκόρπισας ἔδωκας τοῖς πένησιν. ἡ δικαιοσύνη σου, μένει αἰωνίζουσα. καὶ τὸ ἐκ ταύτης κέρδος σοι, μὴ παλαιούμενον. Μελάνη Θεοφόρε Ὁσία, κλέος τῶν ἐν πίστει, ἀεί σε εὐφημούντων.

Θεοτοκίον.

Παθῶν με ταράττει τρικυμία. βυθός με χειμάζει ἀπογνώσεως. σῶσόν με Παμάμωμε, Μήτηρ καὶ σωθήσομαι. τὸν γὰρ Σωτῆρα Κύριον ἐκυοφόρησας, ἐν φάτνῃ, τὸν ὡς βρέφος τεχθέντα. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Λίθοις οἱ προσάπτοντες σέβας, παρὰ τὸν Κτίσαντα ὁρᾶν σε, ἔνδοξε μὴ φέροντες Θεῷ, ἀνακειμένην ξίφει συγκόπτουσι, διὰ θανάτου θείαν σοι, ἀθανασίαν μνηστευόμενοι.

Θεσσαλονικέων ἡ Πόλις, σοῦ τοῖς σπαργάνοις καὶ τοῖς ἄθλοις, Μάρτυς ἐγκαυχᾶται τῶν ἄνω, ἡ Ἐκκλησία τῶν πρωτοτόκων δὲ, μετὰ δικαίων ἔχει σου, πνεῦμα τὸ θεῖον εὐφραινόμενον.

Λίβανον χρυσόν τε καὶ σμύρναν, ἐν Βηθλεὲμ τῷ γεννηθέντι, Μάγοι προσενήνοχαν πίστει. ἡ Ἀθληφόρος δὲ τὴν δι' αἵματος, καὶ Μαρτυρίου ἄθλησιν, ὑπὲρ ἡμῶν, αὐτῷ πρεσβεύουσα.

Θεοτοκίον.

Ῥάβδος ἀνεβλάστησας ῥίζης, τοῦ Ἰεσσαὶ Θεογεννῆτορ. ἄνθος τῆς Θεότητος Χριστὸν ἡμῖν τεκοῦσα, Πάναγνε σήμερον, τὸν ὡς Θεὸν ἀχώρητον, καὶ νῦν ὡς Βρέφος σπαργανούμενον.

Ἄλλος. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Εἰς ὕψος σαφῶς τῆς ἀκραιφνοῦς, ἀνέδραμες Μακαρία τελειότητος, ἔφθασας τάξεις Ἀσωμάτων, τῷ ὄντως ἐφετῷ προσεπέλασας, πηγὴν τῶν ἀγαθῶν νῦν κατείληφας. ὅθεν σε πάντες μακαρίζομεν.

Χοροῖς συνευφραίνῃ Ἀσκητῶν, ἀσκήσασα καὶ τὰ πάθη θανατώσασα, βλέπεις ἀνακεκαλυμμένῳ, προσώπῳ τοῦ Θεοῦ τὴν λαμπρότητα, ἧς πρώην τὰς ἐμφάσεις ἐκέκτησο, σώφρον Μελάνη παναοίδιμε.

Βαδίσασα τρίβον τὴν στενὴν, εὐρύχωρον Παραδείσου, πλάτος ἔφθασας, ὅπου χαρὰ ἑορταζόντων, τὸ ξύλον τῆς ζωῆς ἐν-

θα-

Digitized by Google

θα πέφυκεν. ἡμῶν διὰ παντὸς μνημονεύουσα, τῶν ἐκτελούντων σου τὴν κοίμησιν.

Θεοτοκίον.

Ὁ νώτοις φρικτῶς Χερουβικοῖς ὀχούμενος, ἐν ἀγκάλαις νυνὶ, καθέζεται Κόρης Ἁγνῆς, καὶ σπαργανοῦται, καὶ λύει τὰς σειρὰς τῶν κακῶν ἡμῶν, καὶ γάλακτι ὡς νήπιος τρέφεται, ὁ διατρέφων πνοὴν ἅπασαν.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Ἡ θήκη τῶν λειψάνων σου, μῦρον εὐῶδες βρύουσα, ἰᾶται πάθη ποικίλα, τὰ τῶν βροτῶν Ἀμουσία, Παρθενομάρτυς ἔνδοξε. διὸ πανηγυρίζομεν, τὴν φωτοφόρον μνήμην σου, ἐν ᾗ Χριστὸν ἐκδυσώπει, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

Ἕτερον. Ὅμοιον.

Μελαίνη παναοίδιμε, Μοναζουσῶν τὸ καύχημα, παθῶν με τῇ ἀμαυρώσει, μελανωθέντα κατ' ἄμφω, λαμπρύνουσα καθάρισον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου. ὅπως φαιδρῶς γεραίρω σε, καὶ τὴν φωσφόρον σου μνήμην, λαμπροφανῶς ἑορτάζω.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ὢν σὺν τῷ Γεννήτορι, Θεὸς ἀεὶ προάναρχος, ἐκ Πνεύματος νυνὶ Ἁγίου, ἐν Βηθλεὲμ ἀποῤῥήτως, ἐκ σοῦ Παρθένε τίκτεται, ὑπὸ τὸ θεῖον σπήλαιον. ἐν φάτνῃ τῶν ἀλόγων δὲ, σπαργανωθεὶς ἀνεκλίθη, λύων σειρὰς μου πταισμάτων.

Εἰς τοὺς αἴνους ἵστ. προσόμ. Ἦχος Πλ. β'.

Αἱ Ἀγγελικαί.

Ὢ τῶν ὑπὲρ νοῦν, καὶ μεγάλων μυστηρίων. πῶς ὁ ἀναφὴς, ἐνειλούμενος σπαργάνοις, ἐν φάτνῃ τῶν ἀλόγων, ἀνεκλίθη ὡς Νήπιον, πάντας ἀλογίας ἀπαλλάττων, καὶ πρὸς Οὐρανοὺς ἡμᾶς ἀνάγων αὐτῷ κράζοντας· εὐλογημένος ὁ τεχθεὶς Θεὸς ἡμῶν δόξα σοι. Ὅμοιον.

Τὸν Ἐμμανουὴλ, ἐν σπηλαίῳ γεννηθέντα, ἄνωθεν ἀστὴρ, κατεμήνυσε τοῖς Μάγοις, δικαιοσύνης ὄντα, ἀπερίγραπτον Ἥλιον, καὶ περιγραφόμενον ἐν φάτνῃ, σάρκα ὑλικὴν ἠμφιεσμένον. πρὸς ὃν κράζομεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ὅμοιον.

Νῦν ἐπὶ τῆς γῆς, πεφανέρωται ὁ ἀΐδιον, ὁ ἐκ τοῦ Πατρὸς, γεννηθεὶς πρὸ τῶν αἰώνων. ἀγάλλου πᾶσα Κτίσις, Οὐρανοὶ εὐφρανθήτωσαν, βλέποντες τοὺς πρὶν ἀπατηθέντας, πάλιν τῷ Θεῷ οἰκειουμένους, αὐτῷ κράζοντας· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ὅμοιον.

Θέλων Οὐρανοὺς, κλίνας Κύριε κατέβης, καὶ Παρθενικὴν, μήτραν ᾤκησας ἀφράστως, καὶ βρέφος ἐγνωρίσθης, ἐν σπηλαίῳ τικτόμενος. καὶ συναναστραφεὶς τοῖς ἀνθρώποις, ἀρίστην ὁδὸν ὑποδεικνύων, τοῖς σοὶ κράζουσιν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸν φθορὸν Ἁγνὴν, ἑαυτὴν κατανοοῦσα, μετὰ τὴν φρικτὴν, καὶ ἀνέκφραστον λοχείαν, ἐβόα ἡ Παρθένος· ἀνερμήνευτε Κύριε, βρέφος σπαργανούμενον κρατῶ σε, καὶ δοξολογῶ μετὰ Ποιμένων, πιστῶς κράζουσα· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ἀπόστ. ἰδ. προσόμ. Ἦχος Πλ. β'.

Αἱ Ἀγγελικαί.

Ῥάβδῳ σιδηρᾷ, ποιμανθήσῃ Ἰουδαῖε, οἷα ἀπειθὴς, καὶ Προφήταις ἀντιπίπτων. Υἱῷ γὰρ γεννηθέντι, ὁ Πατὴρ κλῆρον δίδωσιν, ἔθνη καὶ κατάσχεσιν γῆν πᾶσαν. σὺ δὲ ἀπωθεῖται μιαιφόνε. βοᾷν οὐ παύσῃ γάρ· ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, Χριστὸς παραγέγονεν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Κράζε ὦ Δαβὶδ, Θεοπάτωρ καὶ Προφῆτα. ἄστρον φαεινὸν, προεκλάμψαν Ἑωσφόρου. καὶ ποῖον ἀνακράζεις; τὸν ἀσπόρως τικτόμενον, Κόρης ἐκ Παρθένου, καὶ βοῶμεν, εἰς τὴν χαρὰν τῆς Θεοτόκου, λαοὶ λέγοντες· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Λέγε ἐμφανῶς, Ἡσαΐα ὦ Προφῆτα. ἰδοὺ ἐν γαστρὶ, ἕξει ἄνανδρος Παρθένος, καὶ τέξεται ἀσπόρως, Πλαστουργὸν καὶ δε-

Digitized by Google

δεσπόζοντα, πάντων τῶν αἰώνων, ἐν βοῶμεν, εἰς τὴν χαρὰν τῆς Θεοτόκου, φαιδρῶς ψάλλοντες· ἀλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος Πλ. α΄.

Ὁρῶσά σε ἡ Κτίσις ἅπασα, ἐν Βηθλεὲμ σαρκὶ τικτόμενον, τὸν Δημιουργὸν καὶ Κτίστην τῶν ἁπάντων, καινουργεῖται πάλιν καὶ ἀναπλάττεται, ὁ Ἥλιος δὲ, τὸ φῶς ἐφήπλωσε, καὶ ἡ Γῆ ἐπαγάλλεται. Μάγοι ἐκ Περσίδος δὲ, Βασιλεῖς ἀστέρι τεκμαιρόμενοι. Ποιμένες θαυμάζουσιν, ἐκπλαγέντες, καὶ Θεὸν σὺν τῇ τεκούσῃ, προσκυνοῦσι σαρκί. ὢ τοῦ θαύματος· ὁ Τροφεὺς τρέφεται, Μητρὸς Παρθένου, διὰ τὴν τοῦ Κόσμου Σωτηρίαν καὶ ἀνάπλασιν.

Ἡ λοιπὴ ἀκολουθία τοῦ Ὄρθρου, ὡς σύνηθες, καὶ ἀπόλυσις.

---

## Τῷ αὐτῷ Μηνὶ, ΛΑ΄.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Μελάνης τῆς Ῥωμαίας. προεγράφη ἡ Ἀκολουθία αὐτῆς ἐν τῇ λ΄. συμψαλλομένη μετὰ τῆς Ἁγίας Ἀνυσίας.

Ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ, ἀποδίδοται ἡ Ἑορτὴ τῶν Χριστοῦ Γεννῶν. καὶ ψάλλομεν, ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καθὼς δεδήλωται ἐν τῇ Ἑορτῇ, παρεκτὸς τῆς Λιτῆς, τοῦ Πολυελέου, τῶν ἀναγνωσμάτων, καὶ ἐν τῇ Λειτουργίᾳ τῶν Ἀντιφώνων. Ἐνταῦθα κεῖται τῆς Ἁγίας Μελάνης τὸ συναξάριον.

Τῷ αὐτῷ Μηνὶ, ΛΑ΄. Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Μελάνης τῆς Ῥωμαίας.

Στ. Οὐχ᾿ ἡλίκησε χεὶρ Μελάνη καὶ μέλαν, Θεὸς δὲ κἂν τέθνηκας ἐν ζῶσι γράφει.

Πρώτῃ ἐν τριακοστῇ, ἀπῆρε βίοιο Μελάνη.

Αὕτη ἦν ἐπὶ τῆς Βασιλείας Ὁνωρίου, γένους περιδόξου, καὶ λαμπροῦ. ἐξ ὅλης δὲ ψυχῆς τὸν Κύριον ἀγαπήσασα, παρθενεύειν ᾐρετίσατο. ἀλλ᾿ οἱ ταύτης γονεῖς, ἀνδρὶ ταύτην καὶ μὴ βουλομένην ζευγνύουσι, καὶ δύο παίδων Μήτηρ ἐγένετο, εἶτα οἱ Γονεῖς αὐτῆς καὶ τὰ τέκνα, τοῦ βίου μεθίσταν-ται. καὶ αὕτη τὴν Πόλιν καταλιποῦσα, ἐν Προαστείῳ διῆγε, τοὺς ἐπιδημοῦντας ξένους ὑποδεχομένη, τοὺς ἐν φυλακαῖς καὶ ἐξορίαις ἐπισκεπτομένη διετέλει. μετὰ ταῦτα τὴν ὕπαρξιν αὐτῆς, πολλὴν οὖσαν, διαπωλήσασα, καὶ δώδεκα μυριάδας χρυσίου συναγαγοῦσα, εἰς τὰ Μοναστήρια, καὶ εἰς τὰς Ἐκκλησίας ἐξέχεεν. καὶ διὰ δύο ἡμερῶν, τροφῆς μετελάμβανεν. εἶτα διὰ πέντε, ὡς ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον ἐσθίειν, πάνυ ἐντέχνως, καὶ εὐφυῶς γράφουσα. διαγαγοῦσα δὲ ἐν Ἀφρικῇ χρόνους ἑπτὰ, καὶ τὸν πολὺν ἀποθεμένη πλοῦτον, εἰς Ἀλεξάνδρειαν ἀφίκετο. Ἐκεῖθεν εἰς Ἱεροσόλυμα, Κελλίῳ ἑαυτὴν ἐγκλεισαμένη, καὶ ἐνενήκοντα Παρθένους συναγαγοῦσα, πάντα τὰ πρὸς χρείαν αὐταῖς, ἀπαραλείπτως παρεῖχε. περιχεθεῖσα δὲ ὑπὸ τῆς τοῦ πλάνου ἀηδόνος, σφόδρα ἐνόσησε. καὶ προσκαλεσαμένη τὸν Ἐπίσκοπον Ἐλευθερουπόλεως, καὶ δεξαμένη παρ᾿ αὐτοῦ, τὴν θείαν μετάληψιν, καὶ συνταξαμένη ταῖς Ἀδελφαῖς, ἐσχάτην ταύτην ἀφῆκε φωνήν. Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. καὶ εὐθὺς παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος, καὶ Πρεσβυτέρου Ζωτικοῦ τοῦ Ὀρφανοτρόφου.

Στ. Πόλων συρόντων, Ζωτικὸς σκιρτῶν τρέχει.

Ὡς βαλβὶς ἡ γῆ, τέρμα δὲ δρόμου Πόλος.

Οὗτος ἔφυ μὲν ἐκ τῆς πρεσβυτέρας Ῥώμης, γένους ὑπάρχων ἐντίμου καὶ λαμπροῦ. ἐξ ἁπαλῶν ὀνύχων πάσῃ σοφίᾳ παιδευθεὶς, καὶ παρὰ τοῦ ἐν Βασιλεῦσι μεγάλου Βασιλέως Κωνσταντίνου, ἐν Κωνσταντινουπόλει, ὡς ἀγχίνους μετοικίζεται, καὶ Μαγιστριανὸς τιμᾶται. σὺν αὐτῷ δὲ καὶ ἕτεροι τῶν ἀπὸ Ῥώμης ἐν Κωνσταντινουπόλει συνέρχονται. ὁ τῶν Ἁρμάτων Μαγιστριανὸς, καὶ Παολῖνος ὁ τούτου ἀνεψιός. ἔτι τε καὶ Ὀλύμβριος, Βῆρος, Σεβῆρος, Μαριανὸς, Ἄνθιμος, Οὐρβῖκος, Ἰσίδωρος, Καλλίστρατος, Φλωρέντιος, Εὔβουλος, Σαμ-

ψὼν,

ψῶν, Στούδιος, καὶ ὁ θεσπέσιος Ζωτικός. ὧν καὶ αἱ ἐπωνυμίαι ἐν τοῖς ἀγέσιν αὐτῶν οἴκοις, μέχρι τῆς σήμερον ἐπικέκληνται. λέγεται δὲ κατὰ τὰς ἡμέρας ταύτας, ἐνσκῆψαι τὴν ἱερὰν νόσον ἐν τῇ Πόλει. καὶ δόγμα ἐκθέσθαι τὸν Βασιλέα, βυθῷ θαλάσσης τὸν ἐν τῇ νόσῳ ταύτῃ ἐμπεσόντα παραπέμπεσθαι, τοῦτο μὴ φέροντα ἰδεῖν, ἢ ἀκοῦσαι τὸν τίμιον ἄνδρα, πόθῳ θείῳ πυρποληθέντα, προσελθεῖν τῷ Βασιλεῖ καὶ φῆσαι. δότω ὁ Βασιλεὺς τῷ δούλῳ αὐτοῦ χρυσίου πολλοῦ, καὶ ὠνήσομαι μαργαρίτας, καὶ τιμίους λίθους καὶ διαφανεῖς, εἰς δόξαν καὶ τιμὴν τοῦ κράτους αὐτοῦ, ὡς πολλὴν πεῖραν ἔχων ἐν τούτοις. ὁ δὲ Βασιλεὺς ἐκέλευσε παραυτίκα τοῦτο γενέσθαι. ὁ δὲ θεοφιλὴς ἐκεῖνος, καὶ τοῦ Θεοῦ ἐργάτης δοκιμώτατος, τὸ χρυσίον εἰληφὼς, ἐξῄει μετ' εὐφροσύνης. καὶ τοὺς ὑπὸ τοῦ Ἐπάρχου τοῖς δημίοις παραδιδομένους εἰς ἀπώλειαν, ἱκανὸν παρέχων τίμημα, τῆς θανατικῆς πνιγμονῆς ῥυόμενος, πέραν τοῦ Βυζαντίου ἐν τῷ Ὄρει κατὰ τὸν τότε καιρὸν, Ἐλαιῶν λεγομένῳ, ἀπεκόμιζε. καὶ σκηνὰς πηγνύμενος, ἐν αὐταῖς αὐτοὺς ἐπανέπαυε. τοῦτο τὸ θεοκερδὲς ἐμπόρευμα οὐκ ἔλαθε τοὺς πολλοὺς, διὰ τὸ πλεῖστα αὐτοῖς τὸ καθ' ἡμέραν ἐπιχορηγεῖν παμπόλλοις οὖσι. καὶ τούτου γενομένου, λιμὸν τῇ πόλει οὐ μικρὸν ἔσεσθαι προσδοκᾶν. μετὰ δὲ τὴν τοῦ μεγάλου καὶ ἀοιδίμου ἐν Βασιλεῦσι Κωνσταντίνου μετάστασιν, Κωνστάντιος ὁ υἱὸς αὐτοῦ, τὴν ὅλην Βασιλείαν οὐκ εὐσεβῶς ὑποζωσάμενος, Ἀρειανίζων γὰρ ἦν, πολλοὺς τῶν εὐσεβῶν ποιναῖς διαφόροις ὑπέβαλλεν. οὗτος καὶ τὸν μακάριον Ζωτικὸν ὀρθόδοξον ὄντα, ἀπεστρέφετο, εἰ καὶ τὴν πρὸς τὸν Ὅσιον στοργὴν τοῦ Ἁγίου Κωνσταντίνου τοῦ Πατρὸς αὐτοῦ ηὐλαβεῖτο. εὐκαίρου δὲ λαβόμενος ἀφορμῆς, ἐνεῖχεν αὐτῷ, ὡς τὴν νόσον τῆς λελωβημένης λέπρας δι' αὐτῷ τῇ Πόλει ἐνσκῆψαι. συνέβη δὲ καὶ τὴν τοῦ Βασιλέως θυγατέρα τῇ αὐτῇ νόσῳ περιπεσεῖν ἥτις καὶ παρεδόθη τῷ Ἐπάρχῳ παρὰ τοῦ ἰδίου πατρὸς, πρὸς τὸ τῇ θαλάσσῃ ἐναπορριφῆναι. ὁ δὲ τίμιος Ζωτικὸς, δοὺς κατὰ τὸ εἰωθὸς τοῖς δημίοις τὸ ἐποφειλόμενον, ἐξωνήσατο τὴν παῖδα, καὶ τοῖς λοιποῖς λωβοῖς συνηρίθμησε. τοῦ δὲ προσδοκωμένου λιμοῦ, κατὰ συγχώρησιν Θεοῦ γενομένου, καὶ ἐν σπάνει χρειῶν τῆς Πόλεως καταστάσης, ὁ Βασιλεὺς ἐπειρᾶτο μαθεῖν τοῦ λιμοῦ τὴν αἰτίαν. οἱ δὲ συκοφάνται, καὶ τῆς ἀληθείας ἐχθροὶ, ἀδείας λαβόμενοι, διέβαλον τὸν Ὅσιον, καὶ αὐτὸν αἴτιον γενέσθαι τοῦ λιμοῦ διεβεβαίουν, ὡς τοῖς λωβοῖς τὰς σωματικὰς χρείας παρέχοντα δαψιλῶς, πλῆθος ἀναρίθμητον οὖσιν. ὁ δὲ Βασιλεὺς τούτων ἀκούσας, καὶ πρὸς ὀλίγον τὸν θυμὸν αὐτοῦ ταμιευσάμενος, μικρὸν ὅσον ᾐδεῖτο τὸν Ὅσιον, καὶ ὑπεστέλλετο, διὰ τὸ μήπω τοὺς μαργαρίτας, καὶ τοὺς τιμίους λίθους ἀπολαβεῖν. ὅθεν παραπεισθεὶς ὑπὸ κακοθελῶν ἀνδρῶν, συλληφθῆναι τοῦτον ἐκέλευσεν. ὁ δὲ Ὅσιος τοῦτο μαθὼν, καὶ σπουδῇ καὶ λάθρα πρὸς τὸ Παλάτιον εἰσελθὼν, ἐμφανίζεται τῷ Βασιλεῖ. ὁ δὲ Βασιλεὺς εἰρωνικῶς ἔφη πρὸς αὐτόν· ἦλθε Μαγίστριανὲ ἡ τοὺς διαφανεῖς λίθους ἀποκομίζουσα Ναῦς; ὁ δὲ φησίν. ἐλθὲ Βασιλεῦ, εἰ ἀξιοῖς μετὰ τοῦ δούλου σου, καὶ ἴδῃς πάντως αὐτήν. αὐτίκα οὖν μὴ μελλήσας ὁ Βασιλεὺς, τῆς πορείας ἀπήρξατο. ὁ δὲ μακάριος Ζωτικὸς, προλαβὼν ἐν τῷ ἐλαιῶνι, τοὺς ἐν Χριστῷ ἀδελφοὺς ἐκέλευσεν ἐξελθεῖν τῶν Καλύβων, μετὰ τῆς τοῦ Βασιλέως θυγατρὸς, πρὸς ὑπάντησιν αὐτοῦ λαμπαδηφοροῦντας. ὁ δὲ Βασιλεὺς φθάσας τὸν τόπον, καὶ ἰδὼν τοὺς λωβοὺς λαμπαδηφοροῦντας, θαυμάσας τὸ πλῆθος εἶπε· τίνες οὗτοι; ὁ δὲ τῷ ἰδίῳ δακτύλῳ ὑποδεικνὺς, οὗτοι Δέσποτα, οἱ ὑπέρτιμοι λίθοι, καὶ διαφανεῖς μαργαρῖται, οὓς ἐμπόρως ἐπριάμην. καὶ ὁ Βασιλεὺς ἐμπαιγμὸν τὸ πρᾶγμα λογισάμενος, καὶ τῷ θυμῷ ὑπερζέσας, κελεύει τοῦτον ἀφειδῶς συνδεθέντα ἀγρίοις ἡμιόνοις ἐλαύνεσθαι, ὅπως ὑπὸ τῶν ἐκεῖσε πετρῶν τῶν μελῶν αὐτοῦ κατακοπτομένων, βιαίως ἀπορραγῇ τῆς ζωῆς. τούτου οὖν διὰ τάχους γεγονότος, παρεστῶτος καὶ τοῦ Βασιλέως καὶ βλέποντος, αἱ ἡμίονοι παρὰ τῶν δημίων κέντροις βαλλόμεναι, βιαίῳ δρό-

Digitized by Google

δρόμῳ τὸν Ἅγιον, ἀπὸ τοῦ λόφου πρὸς τὸ κάταντες ἔσυρον. ὅθεν τὰ μέλη αὐτοῦ κατὰ μέρος διεσκορπίσθησαν, καὶ οἱ ὀφθαλμοὶ ἠχρειώθησαν. ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, παραυτίκα πηγὴ ἀνεδόθη καθαροῦ ὕδατος καὶ ποτίμου· ἥτις καὶ ἰᾶται πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, εἰς ἔπαινον καὶ δόξαν, καὶ τιμὴν τοῦ φιλοικτίρμονος Θεοῦ, καὶ τοῦ θεράποντος αὐτοῦ. ἐπεὶ δὲ συρόμενος ὁ Μακάριος, τὴν ψυχὴν παρέθετο τῷ Κυρίῳ, αὐτίκα καὶ αἱ ἡμίονοι ἀκίνητοι μείνασαι, καίπερ βίᾳ μαστιζόμεναι ὑπὸ τῶν Δημίων, ἀνθρωπίνῃ φωνῇ, εἰς ἐπήκοον πάντων, τοῦ Βασιλέως τὴν ὠμότητα, καὶ ἀλογίαν ἐθριάμβευον, τυφλὸν αὐτὸν καὶ ἀναίσθητον παραδόξως ἀποκαλοῦσαι. τὸν δὲ Ὅσιον, ἐν αὐτῷ τῷ τόπῳ, εἶπον ταφῆναι. ταῦτα ἰδὼν, καὶ ἀκούσας ὁ Βασιλεὺς, καὶ θάμβους τὴν ψυχὴν πληρωθεὶς, δάκρυσι πικροῖς καὶ στεναγμοῖς, τὸ Θεῖον μετὰ συντετριμμένης καρδίας ἐξιλεοῦτο, ἄγνοιαν εἶναι βοῶν τὰ παρ᾽ αὐτοῦ πραχθέντα. καὶ παραυτίκα προστάττει, μετ᾽ ἐπιμελείας πολλῆς, καὶ ὑπερβαλλούσης τιμῆς, τὸ σῶμα κηδευθῆναι τοῦ Μάρτυρος, καὶ σπουδῇ συντόμῳ ἀνεγεῖραι τοῖς λωβοῖς ἐκ Βασιλικῶν ἀναλωμάτων, μέγιστον οἶκον, πλεῖστα προάστεια, καὶ προσόδους ἐκεῖσε ἀφιερώσας. ὁ δὲ τίμιος Ζωτικὸς, ἔκτοτε ἄχρι τοῦ παρόντος, χάριτι τοῦ φιλανθρώπου Θεοῦ, ἀπείρως θαυματουργῶν οὐ παύεται. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ Ἀποστολείῳ τοῦ Ἁγίου Ἀποστόλου Παύλου, τῷ ὄντι ἐν τῷ Ὀρφανοτροφείῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Γελάσιος ἐν εἰρήνῃ τελειοῦται.

Στ. Ὁ Γελάσιος, ἄχρι καὶ τέλους βίου,
Τὸν ἄξιον γέλωτος, ἣν γελῶν βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, Αἱ Ἅγιαι δέκα Παρθένοι αἱ ἐν Νικομηδείᾳ, τοὺς ὀφθαλμοὺς διατρηθεῖσαι, καὶ τὰς πλευρὰς ξεσθεῖσαι τελειοῦνται.

Στ. Διπλοῦν τὸν ἆθλον τρῆσιν εἶτα καὶ ξέσιν,
Χοροῦ γινώσκω διπλοπέντε Παρθένων.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Ὀλυμπιοδώρα πυρὶ τελειοῦται.

Στ. Ἀγῶσι πρὸς πῦρ, τῆς Ὀλυμπιοδώρας.
Ὕμνος τὸ δῶρον οὐκ Ὀλυμπίων πίτυς.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ἅγιος Γάϊος ἐν εἰρήνῃ τελειοῦται.

Στ. Πολλοὺς ἀνέτλη Γάϊος θεῖος πόνους,
Καὶ νῦν τὰ λαμπρὰ τῶν πόνων ἔχει γέρα.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

Digitized by Google

[illegible]

[illegible] 1745 [illegible] 50

ΙϹ ΧϹ
ΝΙ ΚΑ

[illegible]

Digitized by Google

Digitized by Google

[illegible]

1745 [illegible]

[illegible] 50

ΙϹ ΧϹ
ΝΙ ΚΑ [illegible]

[illegible]

[illegible]

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google